ἵππους δὲ πεντακοσίους, καὶ Σύρους τετρακοσίους ἀπέδοτο· τόν τ' Ἀκροκόρινθον ἐφύλαττον οἱ Ἀχαιοὶ τετρακοσίοις ὁπλίταις, καὶ πεντήκοντα κυσὶ, καὶ κυνηγοῖς ἴσοις ἐν τῷ φρουρίῳ τρεφομένοις. Οἱ μὲν οὖν Ῥωμαῖοι τὸν Φιλοποίμενα θαυμάζοντες Ἑλλήνων ἔσχατον προσηγόρευον, ὡς μηδενὸς μεγάλου μετ' ἐκεῖνον ἐν τοῖς Ἕλλησι γενομένου. Ἐγὼ δὲ τῶν Ἑλληνικῶν πράξεων ταύτην ἐσχάτην καὶ νεωτάτην φαίην ἂν πεπρᾶχθαι, τοῦτο μὲν τόλμῃ, τοῦτο δὲ τύχῃ ταῖς ἀρίσταις ἐνάμιλλον, ὡς ἐδήλωσεν εὐθὺς τὰ γινόμενα. Μεγαρεῖς τε γὰρ ἀποστάντες Ἀντιγόνου τῷ Ἀράτῳ προσέθεντο, καὶ Τροιζήνιοι μετ' Ἐπιδαυρίων συνετάχθησαν εἰς τοὺς Ἀχαιούς· ἔξοδόν τε πρώτην θέμενος εἰς τὴν Ἀττικὴν ἐνέβαλε, καὶ τὴν Σαλαμῖνα διαβὰς ἐλεηλάτησεν, ὥσπερ ἐξ εἱρκτῆς λελυμένῃ τῇ δυνάμει τῶν Ἀχαιῶν, ἐφ' ὅ τι βούλοιτο, χρώμενος. Ἀθηναίοις δὲ τοὺς ἐλευθέρους ἀφῆκεν ἄνευ λύτρων, ἀρχὰς ἀποστάσεως ἐνδιδοὺς αὐτοῖς. Πτολεμαῖον δὲ σύμμαχον ἐποίησε τῶν Ἀχαιῶν, ἡγεμονίαν ἔχοντα πολέμου καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν. Οὕτω δ' ἴσχυσεν ἐν τοῖς Ἀχαιοῖς, ὥσ', ἐπεὶ μὴ κατ' ἐνιαυτὸν ἐξῆν, παρ' ἐνιαυτὸν αἱρεῖσθαι στρατηγὸν αὐτὸν, ἔργῳ δὲ καὶ γνώμῃ διὰ παντὸς ἄρχειν. Ἑώρων γὰρ αὐτὸν οὐ πλοῦτον, οὐ δόξαν, οὐ φιλίαν βασιλικὴν, οὐ τὸ τῆς αὐτοῦ πατρίδος συμφέρον, οὐκ ἄλλο τι, τῆς αὐξήσεως τῶν Ἀχαιῶν ἐπίπροσθεν ποιούμενον. Ἡγεῖτο γὰρ, ἀσθενεῖς ἰδίᾳ τὰς πόλεις ὑπαρχούσας σώζεσθαι δι' ἀλλήλων, ὥσπερ ἐνδεδεμένας τῷ κοινῷ συμφέροντι. Καὶ καθάπερ τὰ μέρη τοῦ σώματος ζῶντα καὶ συμπνέοντα διὰ τὴν πρὸς ἄλληλα συμφυΐαν, ὅταν ἀποσπασθῇ καὶ γένηται χωρὶς, ἀτροφεῖ καὶ σήπεται· παραπλησίως τὰς πόλεις ἀπόλλυσθαι μὲν ὑπὸ τῶν διασπώντων τὸ κοινὸν, αὔξεσθαι δ' ὑπ' ἀλλήλων, ὅταν, ὅλου τινὸς μεγάλου μέρη γενόμεναι, κοινῆς προνοίας τυγχάνωσιν.

ΚΕ. Ὁρῶν δὲ τοὺς ἀρίστους τῶν προσοίκων αὐτονομουμένους,

Ἀργείοις δὲ δουλεύουσιν ἀχθόμενος, ἐπεβούλευσεν ἀνελεῖν τὸν τύραννον αὐτῶν, Ἀριςόμαχον, ἅμα τῇ τε πόλει θρεπτήρια τὴν ἐλευθερίαν ἀποδοῦναι φιλοτιμούμενος, καὶ τοῖς Ἀχαιοῖς προσκομίσαι τὴν πόλιν. Οἱ μὲν οὖν τολμῶντες εὑρέθησαν, ὧν Αἰσχύλος προειςήκει, καὶ Χαριμένης, ὁ μάντις. Ξίφη δ' οὐκ εἶχον, ἀλλ' ἀπείρητο κεκτῆσθαι, καὶ ζημίαι μεγάλαι τοῖς κεκτημένοις ἐπῆσαν ὑπὸ τοῦ τυράννου. Κατασκευάσας οὖν ὁ Ἄρατος αὐτοῖς ἐν Κορίνθῳ μικρὰς παραξιφίδας, ἐνέῤῥαψεν εἰς σάγματα· καὶ ταῦτα περιθεὶς ὑποζυγίοις σκεύη τινὰ παραμελημένα κομίζουσιν, εἰς Ἄργος ἀπέςειλε. Χαριμένους δὲ, τοῦ μάντεως, προσλαβόντος ἐπὶ τὴν πρᾶξιν ἄνθρωπον, οἱ περὶ τὸν Αἰσχύλον ἠγανάκτησαν, καὶ δι' ἑαυτῶν ἔπραττον, τοῦ Χαριμένους καταγνόντες. Αἰσθόμενος δ' ἐκεῖνος, ὀργῇ κατεμήνυσε τοὺς ἄνδρας ἤδη βαδίζοντας ἐπὶ τὸν τύραννον· ὧν οἱ πλεῖςοι φθάσαντες ἐξ ἀγορᾶς ἀπέφυγον, καὶ διεξέπεσον εἰς Κόρινθον. Οὐ μὴν ἀλλὰ, χρόνου βραχέος διελθόντος, ἀποθνήσκει μὲν ὑπὸ δούλων Ἀριςόμαχος, ὑπολαμβάνει δὲ τὴν ἀρχὴν φθάσας Ἀρίςιππος, ἐξωλέςερος ἐκείνου τύραννος. Ὅσοι δὲ τῶν Ἀχαιῶν ἐν ἡλικίᾳ παρόντες ἔτυχον, τούτους ἀναλαβὼν ὁ Ἄρατος ἐβοήθει πρὸς τὴν πόλιν ὀξέως, οἰόμενος εὑρήσειν τὰ τῶν Ἀργείων πρόθυμα. Τῶν δὲ πολλῶν ἤδη διὰ συνήθειαν ἐθελοδούλως ἐχόντων, καὶ μηδενὸς ἀφιςαμένου πρὸς αὐτὸν, ἀνεχώρησεν, ἔγκλημα κατεσκευακὼς τοῖς Ἀχαιοῖς, ὡς ἐν εἰρήνῃ πόλεμον ἐξενηνοχόσι. Καὶ δίκην ἔσχον ἐπὶ τούτῳ παρὰ Μαντινεῦσιν· ἣν, Ἀράτου μὴ παρόντος, Ἀρίςιππος εἷλε διώκων, καὶ μνῶν ἐτιμήθη τριάκοντα. Τὸν δ' Ἄρατον αὐτὸν ἅμα καὶ μισῶν καὶ δεδοικὼς ἐπεβούλευεν ἀνελεῖν, συνεργοῦντος Ἀντιγόνου, τοῦ βασιλέως· καὶ πανταχοῦ σχεδὸν ἦσαν οἱ τοῦτο πράττοντες αὐτοῖς, καὶ καιρὸν ἐπιτηροῦντες. Ἀλλ' οὐδὲν οἷον ἀληθινὴ καὶ βέβαιος εὔνοια φυλακτήριον ἀνδρὸς ἄρχοντος. Ὅταν γὰρ ἐθισθῶσιν οἵ τε πολλοὶ καὶ

οἱ δυνατοὶ, μὴ τὸν ἡγούμενον, ἀλλ' ὑπὲρ τοῦ ἡγουμένου δεδιέναι, πολλοῖς μὲν ὄμμασιν ὁρᾷ, διὰ πολλῶν δ' ὤτων ἀκούει καὶ προαισθάνεται τὰ γινόμενα. Διὸ καὶ βούλομαι, τὸν λόγον ἐπιστήσας ἐνταῦθά που, διεξελθεῖν περὶ τῆς Ἀριστίππου διαίτης, ἣν ἡ ζηλοτυπουμένη τυραννὶς αὐτῷ καὶ ὁ τῆς μακαρίας καὶ περιβοήτου μοναρχίας ὄγκος περιέθηκεν.

Κϛ. Ἐκεῖνος γὰρ, Ἀντίγονον μὲν ἔχων σύμμαχον, τρέφων δὲ πολλοὺς ἕνεκα τῆς τοῦ σώματος ἀσφαλείας, οὐδένα δ' ἐν τῇ πόλει ζῶντα τῶν ἐχθρῶν ὑπολελοιπὼς, τοὺς μὲν δορυφόρους καὶ φύλακας ἔξω παρεμβάλλειν ἐκέλευεν ἐν τῷ περιστύλῳ· τοὺς δ' οἰκέτας ὁπότε δειπνήσαι τάχιστα πάντας ἐξελαύνων, καὶ τὴν μέταυλον ἀποκλείων, μετὰ τῆς ἐρωμένης αὐτὸς εἰς οἴκημα κατεδύετο μικρὸν ὑπερῷον, θύρᾳ καταρράκτῃ κλειόμενον· ἧς ὑπεράνω τὴν κλίνην ἐπιτιθεὶς, ἐκάθευδεν, ὡς εἰκὸς καθεύδειν τὸν οὕτως ἔχοντα, ταραχωδῶς καὶ περιφόβως. Τὸ δὲ κλιμάκιον ἡ τῆς ἐρωμένης μήτηρ ὑφαιροῦσα, κατέκλειεν εἰς ἕτερον οἴκημα, καὶ πάλιν ἅμ' ἡμέρᾳ προσετίθει, καὶ κατεκάλει τὸν θαυμαστὸν τύραννον, ὥσπερ ἑρπετὸν ἐκ φωλεοῦ κατερχόμενον. Ὁ δ', οὐχ ὅπλοις κατὰ βίαν, νόμῳ δ' ὑπ' ἀρετῆς, ἀκατάπαυστον ἀρχὴν περιπεποιημένος, ἐν ἱματίῳ καὶ χλαμυδίῳ τῷ τυχόντι, τῶν πώποτε τυράννων κοινὸς ἀποδεδειγμένος ἐχθρὸς, ἄχρι τῆς τήμερον ἡμέρας γένος εὐδοκιμώτατον ἀπολέλοιπεν ἐν τοῖς Ἕλλησιν. Ἐκείνων δὲ τῶν τὰς ἄκρας καταλαμβανόντων, καὶ τοὺς δορυφόρους τρεφόντων, καὶ τὰ ὅπλα καὶ τὰς πύλας καὶ τοὺς καταρράκτας προβαλλομένων ὑπὲρ τῆς τοῦ σώματος ἀσφαλείας, ὀλίγοι τὸν ἐκ πληγῆς θάνατον, ὥσπερ οἱ λαγωοὶ, διέφυγον· οἶκος δ', ἢ γένος, ἢ τάφος, ἔχων τιμωμένην μνήμην, οὐδενὸς λέλειπται.

ΚΖ. Πρὸς δ' οὖν τὸν Ἀρίστιππον ὁ Ἄρατος καὶ κρύφα πολλάκις καὶ φανερῶς προσέπταισεν, ἐπιχειρήσας καταλαμβάνειν

τὸ Ἄργος. Ἅπαξ δὲ καὶ κλίμακας προσθεὶς, μετ' ὀλίγων ἐπὶ τὸ τεῖχος ἀνέβη παραβόλως, καὶ τοὺς βοηθοῦντας ἐνταῦθα τῶν φυλάκων ἀπέκτεινεν. Εἶτα ἡμέρας ἐπιφανείσης, καὶ τοῦ τυράννου πανταχόθεν αὐτῷ προσβάλλοντος, οἱ μὲν Ἀργεῖοι, καθάπερ οὐχ ὑπὲρ τῆς ἐκείνων ἐλευθερίας τῆς μάχης οὔσης, ἀλλ' ὡς τὸν ἀγῶνα τῶν Νεμείων βραβεύοντες, ἴσοι καὶ δίκαιοι θεαταὶ καθῆντο τῶν γινομένων, πολλὴν ἡσυχίαν ἄγοντες· ὁ δ' Ἄρατος, εὐρώστως ἀμυνάμενος, λόγχῃ μὲν ἐκ χειρὸς διελαύνεται τὸν μηρὸν, ἐκράτησε δὲ τῶν τόπων, ἐν οἷς ἦν, καὶ οὐκ ἐξεώσθη μέχρι νυκτὸς, ἐνοχλούμενος ὑπὸ τῶν πολεμίων. Εἰ δὲ καὶ τὴν νύκτα τῷ πόνῳ προσεταλαιπώρησεν, οὐκ ἂν διήμαρτεν· ὁ γὰρ τύραννος ἤδη περὶ δρασμὸν εἶχε, καὶ πολλὰ τῶν ἰδίων ἐπὶ θάλασσαν προεξέπεμψε. Νῦν δὲ, τοῦτο μὲν οὐδενὸς ἐξαγγείλαντος πρὸς τὸν Ἄρατον, ὕδατος δ' ἐπιλείποντος, ἑαυτῷ τε χρήσασθαι διὰ τὸ τραῦμα μὴ δυνάμενος, ἀπήγαγε τοὺς στρατιώτας.

ΚΗ. Ἐπεὶ δὲ ταύτην ἀπέγνω τὴν ὁδὸν, ἐμβαλὼν φανερῶς τῷ στρατοπέδῳ τὴν Ἀργολίδα χώραν ἐπόρθει, καὶ περὶ τὸν Χάρητα ποταμὸν ἰσχυρᾶς μάχης γενομένης πρὸς τὸν Ἀρίστιππον, αἰτίαν ἔσχεν, ὡς ἐγκαταλιπὼν τὸν ἀγῶνα, καὶ προέμενος τὸ νίκημα. Τῆς γὰρ ἄλλης δυνάμεως ὁμολογουμένως ἐπικρατούσης, καὶ τῷ διωγμῷ πολὺ προελθούσης εἰς τοὔμπροσθεν, αὐτὸς οὐχ οὕτως ἐκβιασθεὶς ὑπὸ τῶν καθ' αὑτὸν, ὡς ἀπιστῶν τῷ κατορθώματι καὶ φοβηθεὶς, ἀνεχώρησε τεταραγμένος εἰς τὸ στρατόπεδον. Ἐπεὶ δ' ἀπὸ τῆς διώξεως ἐπανελθόντες οἱ λοιποὶ, χαλεπῶς ἔφερον, ὅτι τρεψάμενοι τοὺς πολεμίους, καὶ πολὺ πλείονας ἐκείνων καταβαλόντες, ἢ σφῶν αὐτῶν ἀπολέσαντες, παραλελοίπασι τοῖς ἡττημένοις στῆσαι κατ' αὐτῶν τρόπαιον, αἰσχυνθεὶς, πάλιν ἔγνω διαμάχεσθαι περὶ τοῦ τροπαίου, καὶ μίαν ἡμέραν διαλιπὼν, αὖθις ἐξέτασσε τὴν στρατιάν. Ὡς δ' ᾔσθετο πλείονας γεγονότας, καὶ θαῤῥαλεώτερον ἀνθισαμένους τοὺς περὶ τὸν τύραννον,

τύραννον, οὐκ ἐτόλμησεν, ἀλλ' ἀπῆλθε τοὺς νεκροὺς ὑποσπόνδους ἀνελόμενος. Οὐ μὴν ἀλλὰ τῇ περὶ τὴν ὁμιλίαν καὶ πολιτείαν ἐμπειρίᾳ καὶ χάριτι τὴν διαμαρτίαν ταύτην ἀναμαχόμενος, προσηγάγετο τὰς Κλεωνὰς τοῖς Ἀχαιοῖς· καὶ τὸν ἀγῶνα τῶν Νεμείων ἤγαγεν ἐν Κλεωναῖς, ὡς πάτριον ὄντα καὶ μᾶλλον προσήκοντα τούτοις. Ἤγαγον δὲ καὶ Ἀργεῖοι, καὶ συνεχύθη τότε πρῶτον ἡ δεδομένη τοῖς ἀγωνισταῖς ἀσυλία καὶ ἀσφάλεια, πάντας τῶν Ἀχαιῶν, ὅσους ἔλαβον ἠγωνισμένους ἐν Ἄργει, διὰ τῆς χώρας πορευομένους, ὡς πολεμίους ἀποδομένων. Οὕτω σφοδρὸς ἦν καὶ ἀπαραίτητος ἐν τῷ μισεῖν τοὺς τυράννους.

ΚΘ. Ὀλίγῳ δ' ὕςερον ἀκούσας, τὸν Ἀρίςιππον ἐπιβουλεύειν μὲν ταῖς Κλεωναῖς, φοβεῖσθαι δ' ἐκεῖνον ἐν Κορίνθῳ καθεζόμενον, ἤθροισεν ἐκ παραγγέλματος ςρατιάν. Καὶ σιτία κελεύσας πλειόνων ἡμερῶν κομίζειν, εἰς Κεγχρεὰς κατῆλθεν, ἐκκαλούμενος δι' ἀπάτης τὸν Ἀρίςιππον, ὡς αὐτοῦ μὴ παρόντος, ἐπιθέσθαι τοῖς Κλεωναίοις· ὃ καὶ συνέβη. Παρῆν γὰρ εὐθὺς ἐξ Ἄργους ἔχων τὴν δύναμιν. Ὁ δ' Ἄρατος, εἰς Κόρινθον ἤδη σκοταῖος ἐκ Κεγχρεῶν ὑποςρέψας, καὶ τὰς ὁδοὺς φυλακαῖς διαλαβὼν, ἦγε τοὺς Ἀχαιοὺς, ἑπομένους οὕτω μὲν εὐτάκτως, οὕτω δὲ ταχέως καὶ προθύμως, ὥςε μὴ μόνον ὁδεύοντας, ἀλλὰ καὶ παρελθόντας εἰς τὰς Κλεωνὰς, ἔτι νυκτὸς οὔσης, καὶ συνταξαμένους ἐπὶ μάχην ἀγνοεῖσθαι, καὶ λανθάνειν τὸν Ἀρίςιππον. Ἅμα δ' ἡμέρᾳ τῶν πυλῶν ἀνοιχθεισῶν, καὶ τῆς σάλπιγγος ἐγκελευσαμένης, δρόμῳ καὶ ἀλαλαγμῷ προσπεσὼν τοῖς πολεμίοις, εὐθὺς ἐτρέψατο, καὶ κατεῖχε διώκων, ᾗ μάλιστα φεύγειν ὑπενόει τὸν Ἀρίστιππον, ἐκτροπὰς πολλὰς τῶν χωρίων ἐχόντων. Γενομένης δὲ τῆς διώξεως ἄχρι Μυκηνῶν, ὁ μὲν τύραννος ὑπὸ Κρητός τινος, ὡς Δεινίας ἱςορεῖ, τοὔνομα Τραγίσκου, καταληφθεὶς ἀποσφάττεται, τῶν δ' ἄλλων ἔπεσον ὑπὲρ χιλίους πεντακοσίους. Ὁ δ' Ἄρατος οὕτω λαμπρῶς εὐτυχήσας,

καὶ μηδένα τῶν αὐτοῦ στρατιωτῶν ἀποβαλὼν, ὅμως οὐκ ἔλαβε τὸ Ἄργος, οὐδ' ἠλευθέρωσε, τῶν περὶ Ἀγίαν καὶ τὸν νεώτερον Ἀριστόμαχον μετὰ δυνάμεως βασιλικῆς παρεισπεσόντων καὶ κατασχόντων τὰ πράγματα. Τὸ μὲν οὖν πολὺ τῆς διαβολῆς καὶ λόγους καὶ σκώμματα καὶ βωμολοχίας παρείλετο τῶν κολακευόντων τοὺς τυράννους, καὶ διεξιόντων ἐκείνοις χαριζομένων, ὡς « Τοῦ στρατηγοῦ τῶν Ἀχαιῶν ἐκταράττοιτο μὲν ἡ κοι» λία παρὰ τὰς μάχας, κάρος δὲ προσπίπτοι καὶ ἴλιγγος ἅμα » τῷ παραστῆναι τὸν σαλπιγκτήν· ἐκτάξας δὲ τὴν δύναμιν, » καὶ τὸ σύνθημα παρεγγυήσας, καὶ πυθόμενος τῶν ὑποστρα» τήγων καὶ λοχαγῶν, μή τις αὐτοῦ χρεία παρόντος (βε» βλῆσθαι γὰρ τοὺς ἀστραγάλους), ἀπέρχοιτο καραδοκήσων » πόῤῥωθεν τὸ συμβησόμενον ». Ταῦτα γὰρ οὕτως ἴσχυσεν, ὥστε καὶ τοὺς φιλοσόφους ἐν ταῖς σχολαῖς ζητοῦντας, εἰ τὸ πάλλεσθαι τὴν καρδίαν, καὶ τὸ χρῶμα τρέπεσθαι παρὰ τὰ φαινόμενα δεινὰ, δειλίας ἐστὶν, ἢ δυσκρασίας τινὸς περὶ τὸ σῶμα καὶ ψυχρότητος, ὀνομάζειν ἀεὶ τὸν Ἄρατον, ὡς ἀγαθὸν μὲν ὄντα στρατηγὸν, ἀεὶ δὲ ταῦτα πάσχοντα παρὰ τοὺς ἀγῶνας.

Λ. Ὡς δ' οὖν τὸν Ἀρίστιππον ἀνεῖλεν, εὐθὺς ἐπεβούλευσε Λυσιάδῃ, τῷ Μεγαλοπολίτῃ, τυραννοῦντι τῆς ἑαυτοῦ πατρίδος. Ὁ δ', οὐκ ὢν ἀγεννὴς, οὐδ' ἀφιλότιμος τὴν φύσιν, οὐδ', ὥσπερ οἱ πολλοὶ τῶν μονάρχων, ἀκρασίᾳ καὶ πλεονεξίᾳ πρὸς ταύτην ῥυεὶς τὴν ἀδικίαν, ἀλλ' ἐπαρθεὶς ἔρωτι δόξης ἔτι νέος, καὶ λόγους ψευδεῖς καὶ κενοὺς λεγομένους περὶ τυραννίδος, ὡς μακαρίου καὶ θαυμαστοῦ πράγματος εἰς μέγα φρόνημα, παραδεξάμενος ἀνοήτως, καὶ καταστήσας ἑαυτὸν τύραννον, ταχὺ μεστὸς ἦν τῆς ἐκ μοναρχίας βαρύτητος. Ἅμα δὲ καὶ ζηλῶν εὐημεροῦντα, καὶ δεδοικὼς ἐπιβουλεύοντα τὸν Ἄρατον, ὥρμησε, καλλίστην ὁρμὴν μεταβαλλόμενος, πρῶτον μὲν ἑαυτὸν ἐλευθερῶσαι μίσους, καὶ φόβου, καὶ φρουρᾶς, καὶ δορυφόρων, εἶτα τῆς

πατρίδος εὐεργέτης γενέσθαι. Καὶ μεταπεμψάμενος τὸν Ἄρατον, ἀφῆκε τὴν ἀρχὴν, καὶ τὴν πόλιν εἰς τοὺς Ἀχαιοὺς μετεκόσμησεν. Ἐφ' οἷς μεγαλύνοντες αὐτὸν οἱ Ἀχαιοὶ, ςρατηγὸν εἵλοντο. Φιλοτιμούμενος δ' εὐθὺς ὑπερβαλεῖν δόξῃ τὸν Ἄρατον, ἄλλας τε πολλὰς πράξεις, οὐκ ἀναγκαίας εἶναι δοκούσας, καὶ ςρατείαν ἐπὶ Λακεδαιμονίους παρήγγελλεν. Ἐνιςάμενος δ' ὁ Ἄρατος αὐτῷ φθονεῖν ἐδόκει· καὶ τό γε δεύτερον ὁ Λυσιάδης ςρατηγὸς ᾑρέθη, ἀντιπράττοντος ἄντικρυς Ἀράτου, καὶ σπουδάζοντος ἑτέρῳ παραδοθῆναι τὴν ἀρχήν. Αὐτὸς μὲν γὰρ, ὡς εἴρηται, παρ' ἐνιαυτὸν ἦρχε. Μέχρι μὲν οὖν τρίτης ςρατηγίας ὁ Λυσιάδης εὖ φερόμενος διετέλει, καὶ παρ' ἐνιαυτὸν ἦρχεν ἐναλλὰξ τῷ Ἀράτῳ ςρατηγῶν· φανερὰν δ' ἐξενεγκάμενος ἔχθραν, καὶ πολλάκις αὐτοῦ κατηγορήσας ἐν τοῖς Ἀχαιοῖς, ἀπερρίφη. Καὶ γὰρ ὤφθη πεπλασμένῳ δοκῶν ἤθει πρὸς ἀληθινὴν καὶ ἀκέραιον ἀρετὴν ἁμιλλᾶσθαι. Καὶ, καθάπερ τῷ κόκκυγι φησὶν Αἴσωπος, ἐρωτῶντι τοὺς λεπτοὺς ὄρνιθας, ὅ τι φεύγοιεν αὐτὸν, εἰπεῖν ἐκείνους, ὡς ἔςαι ποτὲ ἱέραξ, οὕτως ἔοικε τῷ Λυσιάδῃ παρακολουθεῖν ἐκ τῆς τυραννίδος ὑποψία βλάπτουσα τὴν πίςιν αὐτοῦ τῆς μεταβολῆς.

ΛΑ. Ὁ δ' Ἄρατος εὐδοκίμησε καὶ περὶ τὰς Αἰτωλικὰς πράξεις· ὅτε συμβαλεῖν μὲν αὐτοῖς πρὸ τῆς Μεγαρικῆς ὡρμημένων τῶν Ἀχαιῶν, καὶ τοῦ βασιλέως τῶν Λακεδαιμονίων, Ἄγιδος, ἀφικομένου μετὰ δυνάμεως, καὶ συνεξορμῶντος ἐπὶ τὴν μάχην τοὺς Ἀχαιοὺς, ἐναντιωθεὶς, καὶ πολλὰ μὲν ὀνείδη, πολλὰ δ' εἰς μαλακίαν καὶ ἀτολμίαν *καὶ* σκώμματα καὶ χλευασμὸν ὑπομείνας, οὐ προήκατο τὸν τοῦ συμφέροντος λογισμὸν διὰ τὸ φαινόμενον αἰσχρὸν, ἀλλὰ παρεχώρησε τοῖς πολεμίοις ὑπερβαλοῦσι τὴν Γερανίαν ἀμαχεὶ παρελθεῖν εἰς Πελοπόννησον. Ὡς μέντοι παρελθόντες ἐξαίφνης Πελλήνην κατέλαβον, οὐκέτ' ἦν ὁ αὐτὸς, οὐδ' ἔμελλε διατρίβων καὶ περιμένων ἀθροισθῆναι καὶ

συνελθεῖν εἰς ταὐτὸ πανταχόθεν τὴν δύναμιν, ἀλλ' εὐθὺς ὥρμησε μετὰ τῶν παρόντων ἐπὶ τοὺς πολεμίους, ἐν τῷ κρατεῖν ἀσθενεστάτους δι' ἀταξίαν καὶ ὕβριν ὄντας. Ἅμα γὰρ τῷ παρελθεῖν εἰς τὴν πόλιν, οἱ μὲν στρατιῶται, διασπαρέντες ἐν ταῖς οἰκίαις, ἦσαν ἐξωθοῦντες ἀλλήλους καὶ διαμαχόμενοι περὶ τῶν χρημάτων· ἡγεμόνες δὲ καὶ λοχαγοὶ τὰς γυναῖκας καὶ τὰς θυγατέρας τῶν Πελληνέων περιιόντες ἥρπαζον, καὶ τὰ κράνη τὰ αὑτῶν ἀφαιροῦντες ἐκείναις περιετίθεσαν, τοῦ μηδένα λαβεῖν ἄλλον, ἀλλὰ τῷ κράνει δῆλον εἶναι τὸν δεσπότην ἑκάστης. Οὕτω δὲ διακειμένοις αὐτοῖς, καὶ ταῦτα πράττουσιν, ἐξαίφνης ὁ Ἄρατος ἐπιπεσὼν προσηγγέλθη. Καὶ γενομένης ἐκπλήξεως, οἵαν εἰκὸς ἐν ἀταξίᾳ τοιαύτῃ, πρὶν ἢ πάντας πυθέσθαι τὸν κίνδυνον, οἱ πρῶτοι περὶ τὰς πύλας τοῖς Ἀχαιοῖς καὶ τὰ προάστεια συμπεσόντες ἔφευγον, ἤδη νενικημένοι· καὶ κατεπίμπλασαν ἐλαυνόμενοι προτροπάδην ἀπορίας τοὺς συνισταμένους καὶ προσβοηθοῦντας.

ΛΒ. Ἐν τούτῳ δὲ τῷ ταράχῳ μία τῶν αἰχμαλώτων, Ἐπιγήθους, ἀνδρὸς ἐνδόξου, θυγάτηρ, αὐτὴ δὲ κάλλει καὶ μεγέθει σώματος εὐπρεπής, ἔτυχε μὲν ἐν τῷ ἱερῷ καθεζομένη τῆς Ἀρτέμιδος, οὗ κατέστησεν αὐτὴν ὁ ἐπιλεκτάρχης, ἑλὼν ἑαυτῷ, καὶ περιθεὶς τὴν τριλοφίαν· ἄφνω δ' ἐκδραμοῦσα πρὸς τὸν θόρυβον, ὡς ἔστη πρὸ τῶν θυρῶν τοῦ ἱεροῦ, καὶ κατέβλεψεν εἰς τοὺς μαχομένους ἄνωθεν, ἔχουσα τὴν τριλοφίαν, αὐτοῖς τε τοῖς πολίταις θέαμα σεμνότερον, ἢ κατ' ἄνθρωπον, ἐφάνη, καὶ τοῖς πολεμίοις φάσμα θεῖον ὁρᾶν δοκοῦσι φρίκην ἐνέβαλε καὶ θάμβος, ὥστε μηδένα τρέπεσθαι πρὸς ἀλκήν· αὐτοὶ δὲ Πελληνεῖς λέγουσι, τὸ βρέτας τῆς θεοῦ τὸν μὲν ἄλλον ἀποκεῖσθαι χρόνον ἄψαυστον· ὅταν δὲ κινηθὲν ὑπὸ τῆς ἱερείας ἐκφέρηται, μηδένα προσβλέπειν ἐναντίον, ἀλλ' ἀποτρέπεσθαι πάντας. Οὐ γὰρ ἀνθρώποις μόνον ὅραμα φρικτὸν εἶναι καὶ

χαλεπὸν, ἀλλὰ καὶ δένδρα ποιεῖν ἄφορα, καὶ καρποὺς ἀπαμβλίσκειν, δι᾽ ὧν ἂν κομίζηται. Τοῦτο δὴ τότε τὴν ἱέρειαν ἐξενεγκαμένην, καὶ τρέπουσαν ἀεὶ κατὰ τοὺς Αἰτωλοὺς ἀντιπρόσωπον, ἔκφρονας καταςῆσαι, καὶ παρελέσθαι τὸν λογισμόν. Ὁ δ᾽ Ἄρατος οὐδὲν ἐν τοῖς ὑπομνήμασιν εἴρηκε τοιοῦτον, ἀλλά φησι, τρεψάμενος τοὺς Αἰτωλοὺς, καὶ φεύγουσι συνεισπεσὼν εἰς τὴν πόλιν, ἐξελάσαι κατὰ κράτος, ἑπτακοσίους δ᾽ ἀποκτεῖναι. Τὸ δ᾽ ἔργον ἐν τοῖς μεγίστοις διεβοήθη, καὶ Τιμάνθης, ὁ ζωγράφος, ἐποίησεν ἐμφαντικῶς τῇ διαθέσει τὴν μάχην ἔχουσαν.

ΛΓ. Οὐ μὴν ἀλλὰ πολλῶν ἐθνῶν καὶ δυναςῶν ἐπὶ τοὺς Ἀχαιοὺς συνιςαμένων, εὐθὺς ὁ Ἄρατος ἔπραττε φιλίαν πρὸς τοὺς Αἰτωλοὺς, καὶ Πανταλέοντι, τῷ πλεῖςον Αἰτωλῶν δυναμένῳ, συνεργῷ χρησάμενος, οὐ μόνον εἰρήνην, ἀλλὰ καὶ συμμαχίαν, τοῖς Ἀχαιοῖς πρὸς τοὺς Αἰτωλοὺς ἐποίησε. Τοὺς δ᾽ Ἀθηναίους σπουδάζων ἐλευθερῶσαι, διεβλήθη καὶ κακῶς ἤκουσεν ὑπὸ τῶν Ἀχαιῶν, ὅτι, σπονδὰς πεποιημένων αὐτῶν πρὸς τοὺς Μακεδόνας, καὶ ἀνοχὰς ἀγόντων, ἐπεχείρησε τὸν Πειραιᾶ καταλαβεῖν. Αὐτὸς δ᾽ ἀρνούμενος ἐν τοῖς ὑπομνήμασιν, οἷς ἀπολέλοιπεν, Ἐργῖνον αἰτιᾶται, μεθ᾽ οὗ τὰ περὶ τὸν Ἀκροκόρινθον ἔπραξεν. Ἐκεῖνον γὰρ, ἰδίᾳ τῷ Πειραιεῖ προσβαλόντα, καὶ τῆς κλίμακος συντριβείσης, διωκόμενον, ὀνομάζειν καὶ καλεῖν συνεχῶς Ἄρατον, ὥσπερ παρόντα, καὶ διαφυγεῖν οὕτως ἐξαπατήσαντα τοὺς πολεμίους. Οὐ μὴν δοκεῖ πιθανῶς ἀπολογεῖσθαι· τὸν γὰρ Ἐργῖνον, ἄνθρωπον ἰδιώτην καὶ Σύρον, ἀπ᾽ οὐδενὸς ἦν εἰκότως ἐπὶ νοῦν βαλέσθαι τηλικαύτην πρᾶξιν, εἰ μὴ τὸν Ἄρατον εἶχεν ἡγεμόνα, καὶ παρ᾽ ἐκείνου τὴν δύναμιν καὶ τὸν καιρὸν εἰλήφει πρὸς τὴν ἐπίθεσιν. Ἐδήλωσε δὲ καὶ αὐτὸς ὁ Ἄρατος, οὐ δὶς, οὐδὲ τρὶς, ἀλλὰ πολλάκις, ὥσπερ οἱ δυσέρωτες, ἐπιχειρήσας τῷ Πειραιεῖ, καὶ πρὸς τὰς διαμαρτίας οὐκ ἀποκαμὼν, ἀλλὰ τῷ παρὰ μικρὸν ἀεὶ καὶ σύνεγγυς ἀποσφαλ-

λεσθαι τῶν ἐλπίδων πρὸς τὸ θαῤῥεῖν ἀνακαλούμενος. Ἅπαξ δὲ καὶ τὸ σκέλος ἔσπασε διὰ τοῦ Θριασίου φεύγων· καὶ τομὰς ἔλαβε πολλὰς θεραπευόμενος, καὶ πολὺν χρόνον ἐν φορείῳ κομιζόμενος, ἐποιεῖτο τὰς ςρατείας.

ΛΔ. Ἀντιγόνου δ' ἀποθανόντος, καὶ Δημητρίου τὴν βασιλείαν παραλαβόντος, ἔτι μᾶλλον ἐνέκειτο ταῖς Ἀθήναις, καὶ ὅλως κατεφρόνει τῶν Μακεδόνων. Διὸ καὶ κρατηθέντος αὐτοῦ μάχῃ περὶ Φυλακίαν ὑπὸ Βίθυος, τοῦ Δημητρίου στρατηγοῦ, καὶ λόγου γενομένου πολλοῦ μὲν, ὡς ἑάλωκε, πολλοῦ δ', ὡς τέθνηκεν, ὁ μὲν τὸν Πειραιᾶ φρουρῶν Διογένης, ἔπεμψεν ἐπιςολὴν εἰς Κόρινθον, ἐξίςασθαι τῆς πόλεως κελεύων τοὺς Ἀχαιοὺς, ἐπειδὴ Ἄρατος ἀπέθανεν· ἔτυχε δὲ, τῶν γραμμάτων κομισθέντων, παρὼν αὐτὸς ἐν Κορίνθῳ, καὶ διατριβὴν οἱ τοῦ Διογένους καὶ γέλωτα πολὺν παρασχόντες ἀπηλλάγησαν. Αὐτὸς δ' ὁ βασιλεὺς ἐκ Μακεδονίας ναῦν ἔπεμψεν, ἐφ' ἧς κομισθήσεται πρὸς αὐτὸν ὁ Ἄρατος δεδεμένος. Πᾶσαν δ' Ἀθηναῖοι κουφότητα κολακείας τῆς πρὸς Μακεδόνας ὑπερβαλόντες, ἐςεφανηφόρησαν, ὅτε πρῶτον ἠγγέλθη τεθνηκώς. Διὸ καὶ πρὸς ὀργὴν εὐθὺς ἐκςρατεύσας ἐπ' αὐτοὺς, ἄχρι τῆς Ἀκαδημίας προῆλθεν· εἶτα πεισθεὶς, οὐδὲν ἠδίκησεν. Οἱ δ' Ἀθηναῖοι, συμφρονήσαντες αὐτοῦ τὴν ἀρετὴν, ἐπεὶ, Δημητρίου τελευτήσαντος, ὥρμησαν ἐπὶ τὴν ἐλευθερίαν, ἐκεῖνον ἐκάλουν. Ὁ δὲ, καίπερ ἑτέρου μὲν ἄρχοντος τότε τῶν Ἀχαιῶν, αὐτὸς δὲ δι' ἀῤῥωςίαν τινὰ μακρὰν κλινήρης ὑπάρχων, ὅμως ἐν φορείῳ κομιζόμενος ὑπήντησε τῇ πόλει πρὸς τὴν χρείαν, καὶ τὸν ἐπὶ τῆς φρουρᾶς Διογένη συνέπεισεν ἀποδοῦναι τόν τε Πειραιᾶ, καὶ τὴν Μουνυχίαν, καὶ τὴν Σαλαμῖνα, καὶ τὸ Σούνιον, τοῖς Ἀθηναίοις, ἐπὶ πεντήκοντα καὶ ἑκατὸν ταλάντοις, ὧν αὐτὸς ὁ Ἄρατος εἴκοσι τῇ πόλει συνεβάλετο. Προσεχώρησαν δ' εὐθὺς Αἰγινῆται καὶ Ἑρμιονεῖς τοῖς Ἀχαιοῖς, ἥ τε πλείςη τῆς Ἀρκαδίας αὐτοῖς

συνετέλει. Καὶ Μακεδόνων μὲν ἀσχόλων ὄντων διά τινας προσοίκους καὶ ὁμόρους πολέμους, Αἰτωλῶν δὲ συμμαχούντων, ἐπίδοσιν μεγάλην ἡ τῶν Ἀχαιῶν ἐλάμβανε δύναμις.

ΛΕ. Ὁ δ' Ἄρατος ἐργαζόμενος τὴν παλαιὰν ὑπόθεσιν, καὶ δυσανασχετῶν τὴν ἐν Ἄργει τυραννίδα γειτνιῶσαν αὐτοῖς, ἔπειθε πέμπων τὸν Ἀριστόμαχον εἰς μέσον θεῖναι καὶ προσαγαγεῖν τοῖς Ἀχαιοῖς τὴν πόλιν· καὶ ζηλώσαντα Λυσιάδην, ἔθνους τηλικούτου μετ' εὐφημίας καὶ τιμῆς στρατηγὸν εἶναι μᾶλλον, ἢ μιᾶς πόλεως κινδυνεύοντα καὶ μισούμενον τύραννον. Ὑπακούσαντος δὲ τοῦ Ἀριστομάχου, καὶ κελεύσαντος αὐτῷ πεντήκοντα τάλαντα πέμψαι τὸν Ἄρατον, ὅπως ἀπαλλάξῃ καὶ διαλύσηται τοὺς παρ' αὐτῷ ϛρατευομένους, καὶ τῶν χρημάτων ποριζομένων, ὁ Λυσιάδης ἔτι ϛρατηγῶν, καὶ φιλοτιμούμενος ἴδιον αὐτοῦ πολίτευμα τοῦτο πρὸς τοὺς Ἀχαιοὺς γενέσθαι, τοῦ μὲν Ἀράτου κατηγόρει πρὸς Ἀριστόμαχον, ὡς δυσμενῶς καὶ ἀδιαλλάκτως ἀεὶ πρὸς τοὺς τυράννους ἔχοντος, αὐτῷ δὲ πείσας τὴν πρᾶξιν ἐπιτρέψαι, προσήγαγε τοῖς Ἀχαιοῖς τὸν ἄνθρωπον. Ἔνθα δὴ μάλιστα φανερὰν ἐποίησαν οἱ σύνεδροι τῶν Ἀχαιῶν τὴν πρὸς τὸν Ἄρατον εὔνοιαν καὶ πίϛιν. Ἀντειπόντος μὲν γὰρ αὐτοῦ δι' ὀργὴν ἀπήλασαν τοὺς περὶ τὸν Ἀριστόμαχον. Ἐπεὶ δὲ συμπεισθεὶς πάλιν αὐτὸς ἤρξατο περὶ αὐτῶν διαλέγεσθαι παρὼν, πάντα ταχέως καὶ προθύμως ἐψηφίσαντο, καὶ προσεδέξαντο μὲν τοὺς Ἀργείους καὶ Φλιασίους εἰς τὴν πολιτείαν· ἐνιαυτῷ δ' ὕϛερον καὶ τὸν Ἀριϛόμαχον εἵλοντο ϛρατηγόν. Ὁ δ', εὐημερῶν παρὰ τοῖς Ἀχαιοῖς, καὶ βουλόμενος εἰς τὴν Λακωνικὴν ἐμβαλεῖν, ἐκάλει τὸν Ἄρατον ἐξ Ἀθηνῶν. Ὁ δ' ἔγραφε μὲν αὐτῷ τὴν ϛρατείαν ἀπαγορεύων, καὶ τῷ Κλεομένει θράσος ἔχοντι καὶ παραβόλως αὐξανομένῳ συμπλέκεσθαι τοὺς Ἀχαιοὺς μὴ βουλόμενος· ὡρμημένου δὲ πάντως ὑπήκουσε, καὶ παρὼν συνεϛράτευεν. Ὅτε δὴ καὶ κωλύσας περὶ τὸ Παλλάντιον, τοῦ

Κλεομένους ἐπιφανέντος αὐτοῖς, μάχην συνάψαι τὸν Ἀριστόμαχον, ὑπὸ Λυσιάδου κατηγορήθη, καὶ περὶ τῆς στρατηγίας εἰς ἀγῶνα καὶ ἀντιπαραγγελίαν αὐτῷ καταστάς, ἐκράτησε τῇ χειροτονίᾳ, καὶ τὸ δωδέκατον ᾑρέθη στρατηγός.

Λϛ. Ἐν ταύτῃ τῇ στρατηγίᾳ περὶ τὸν Λύκαιον ἡττηθεὶς ὑπὸ τοῦ Κλεομένους ἔφυγε, καὶ πλανηθεὶς νυκτός, ἔδοξε μὲν τεθνάναι, καὶ πάλιν οὗτος ὁ λόγος κατ᾽ αὐτοῦ πολὺς ἐξεφοίτησεν εἰς τοὺς Ἕλληνας· ἀνασωθεὶς δέ, καὶ τοὺς στρατιώτας συναγαγών, οὐκ ἠγάπησεν ἀσφαλῶς ἀπελθεῖν, ἀλλ᾽ ἄριστα τῷ καιρῷ χρησάμενος, οὐδενὸς προσδοκῶντος, οὐδὲ συλλογιζομένου τὸ μέλλον, ἐξαίφνης ἐπέπεσε Μαντινεῦσι, συμμάχοις οὖσι τοῦ Κλεομένους· καὶ τὴν πόλιν ἑλών, φρουρὰν ἐνέβαλε, καὶ τοὺς μετοίκους πολίτας ἐποίησεν αὐτῶν, καὶ μόνος, ἃ νικῶντες οὐκ ἂν ῥᾳδίως ἔσχον, ἐκτήσατο νενικημένοις τοῖς Ἀχαιοῖς. Αὖθις δὲ τῶν Λακεδαιμονίων ἐπὶ Μεγάλην πόλιν στρατευσάντων, βοηθήσας, ὤκνει μὲν ἀψιμαχοῦντι τῷ Κλεομένει λαβὴν παρασχεῖν, καὶ τοῖς Μεγαλοπολίταις βιαζομένοις ἀντεῖχεν· οὔτ᾽ ἄλλως πρὸς τὰς κατὰ στόμα μάχας εὖ πεφυκώς, καὶ τότε λειπόμενός τε πλήθει, καὶ πρὸς ἄνδρα τολμητὴν καὶ νέον, ἤδη παρακμάζοντι τῷ θυμῷ καὶ κεκολασμένῃ τῇ φιλοτιμίᾳ, συνεστηκώς· καὶ νομίζων, ἣν διὰ τοῦ τολμᾶν ἐκεῖνος ἐξ οὐχ ὑπαρχόντων ἐκτᾶτο δόξαν, αὐτῷ κεκτημένῳ φυλακτέον εἶναι διὰ τῆς εὐλαβείας.

ΛΖ. Οὐ μὴν ἀλλὰ τῶν ψιλῶν ἐκδραμόντων καὶ ὠσαμένων τοὺς Σπαρτιάτας ἄχρι τοῦ στρατοπέδου, καὶ περὶ τὰς σκηνὰς διασπαρέντων, ὁ μὲν Ἄρατος οὐδ᾽ ὡς ἐπήγαγεν, ἀλλ᾽ ἐν μέσῳ λαβὼν χαράδραν, ἐπέστησε καὶ κατεκώλυσε διαβῆναι τοὺς ὁπλίτας· ὁ δὲ Λυσιάδης περιπαθῶν πρὸς τὰ γινόμενα, καὶ τὸν Ἄρατον κακίζων, ἀνεκαλεῖτο τοὺς ἱππεῖς ὡς αὐτόν, ἀξιῶν ἐπιφανῆναι τοῖς διώκουσι, καὶ μὴ προέσθαι τὸ νίκημα, μηδ᾽ ἐγκαταλιπεῖν αὐτὸν ὑπὲρ τῆς πατρίδος ἀγωνιζόμενον. Πολλῶν δὲ

συςραφέντων καὶ ἀγαθῶν, ἐπιῤῥωσθεὶς ἐνέβαλε τῷ δεξιῷ τῶν πολεμίων, καὶ τρεψάμενος ἐδίωκεν· ὑπὸ θυμοῦ δὲ καὶ φιλοτιμίας ἀταμιεύτως ἐπισπασθεὶς εἰς χωρία σκολιὰ καὶ μεςὰ δένδρων πεφυτευμένων καὶ τάφρων πλατειῶν, αὖθις ἐπιθεμένου τοῦ Κλεομένους, ἔπεσε, λαμπρῶς ἀγωνισάμενος τὸν κάλλιςον τῶν ἀγώνων ἐπὶ θύραις τῆς πατρίδος. Οἱ δ' ἄλλοι φεύγοντες εἰς τὴν φάλαγγα, καὶ συνταράξαντες τοὺς ὁπλίτας, ὅλον τὸ ςράτευμα τῆς ἥττης ἀνέπλησαν. Αἰτίαν δὲ μεγάλην ὁ Ἄρατος ἔλαβε, δόξας προέσθαι τὸν Λυσιάδην· καὶ βιασθεὶς ὑπὸ τῶν Ἀχαιῶν ἀπερχομένων πρὸς ὀργὴν, ἠκολούθησεν αὐτοῖς εἰς Αἴγιον. Ἐκεῖ δὲ συνελθόντες ἐψηφίσαντο μὴ διδόναι χρήματα αὐτῷ, μηδὲ μισθοφόρους τρέφειν, ἀλλ' αὐτῷ πορίζειν, εἰ δέοιτο πολεμεῖν.

ΛΗ. Οὕτω δὲ προπηλακισθεὶς, ἐβουλεύσατο μὲν εὐθὺς ἀποθέσθαι τὴν σφραγῖδα, καὶ τὴν ςρατηγίαν ἀφεῖναι· λογισμῷ δὲ χρησάμενος, τότε μὲν ὑπέμεινε, καὶ πρὸς Ὀρχομενὸν ἐξαγαγὼν τοὺς Ἀχαιοὺς, μάχην ἔθετο πρὸς Μεγιςόνουν, τὸν Κλεομένους πατρῷον· ἐν ᾗ κρατήσας, τριακοσίους μὲν ἀπέκτεινε, ζῶντα δὲ Μεγιςόνουν συνέλαβεν. Εἰωθὼς δὲ ςρατηγεῖν παρ' ἐνιαυτὸν, ὡς ἡ τάξις αὐτῷ περιῆλθε, καλούμενος ἐξωμόσατο, καὶ Τιμόξενος ᾑρέθη ςρατηγός. Ἐδόκει δ' ἡ μὲν πρὸς τοὺς ὄχλους ὀργὴ πρόφασις εἶναι λεγομένη τῆς ἐξωμοσίας ἀπίθανος, αἰτία δ' ἀληθὴς, τὰ περιεςῶτα τοὺς Ἀχαιούς· οὐκέθ' ὡς πρότερον ἀτρέμα καὶ σχέδην τοῦ Κλεομένους ἐπιβαίνοντος, οὐδ' ἐμπλεκομένου ταῖς πολιτικαῖς ἀρχαῖς, ἀλλ' ἐπεὶ τοὺς Ἐφόρους ἀποκτείνας, καὶ τὴν χώραν ἀναδασάμενος, καὶ πολλοὺς τῶν μετοίκων ἐμβαλὼν εἰς τὴν πολιτείαν, ἔσχεν ἰσχὺν ἀνυπεύθυνον, εὐθὺς ἐπικειμένου τοῖς Ἀχαιοῖς, καὶ τῆς ἡγεμονίας ἑαυτὸν ἀξιοῦντος. Διὸ καὶ μέμφονται τὸν Ἄρατον, ἐν σάλῳ μεγάλῳ καὶ χειμῶνι τῶν πραγμάτων φερομένων, ὥσπερ κυβερνήτην

ἀφέντα καὶ προέμενον ἑτέρῳ τοὺς οἴακας, ὅτε καλῶς εἶχε καὶ ἀκόντων ἐπιϛάντα σώζειν τὸ κοινόν. Εἰ δ' ἀπεγνώκει τὰ πράγματα καὶ τὴν δύναμιν τῶν Ἀχαιῶν, εἶξαι τῷ Κλεομένει, καὶ μὴ πάλιν τὴν Πελοπόννησον ἐκβαρβαρῶσαι φρουραῖς Μακεδόνων, μηδὲ πληρῶσαι τὸν Ἀκροκόρινθον Ἰλλυρικῶν ὅπλων καὶ Γαλατικῶν· μηδ' οὓς αὐτὸς ἐν ταῖς πράξεσι καταϛρατηγῶν καὶ καταπολιτευόμενος, ἐν δὲ τοῖς ὑπομνήμασι λοιδορῶν διετέλει, τούτους ἐπάγεσθαι δεσπότας ταῖς πόλεσι, συμμάχους ὑποκοριζόμενον. Εἰ δὲ Κλεομένης ἦν (λεγέσθω γὰρ οὕτως) παράνομος καὶ τυραννικός, ἀλλ' Ἡρακλεῖδαι πατέρες αὐτῷ καὶ Σπάρτη πατρίς, ἧς τὸν ἀφανέϛατον ἄξιον ἦν, ἀντὶ τοῦ πρώτου Μακεδόνων, ἡγεμόνα ποιεῖσθαι, τοὺς ἔν τινι λόγῳ τὴν Ἑλληνικὴν τιθεμένους εὐγένειαν. Καίτοι Κλεομένης ᾔτει τὴν ἀρχὴν παρὰ τῶν Ἀχαιῶν, ὡς πολλὰ ποιήσων ἀγαθὰ τὰς πόλεις ἀντὶ τῆς τιμῆς καὶ τῆς προσηγορίας ἐκείνης· Ἀντίγονος δὲ, καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν αὐτοκράτωρ ἡγεμὼν ἀναγορευθεὶς, οὐχ ὑπήκουσε, πρὶν τὸν μισθὸν αὐτῷ τῆς ἡγεμονίας ὁμολογηθῆναι τὸν Ἀκροκόρινθον, ἀτεχνῶς τὸν Αἰσώπου μιμησάμενος κυνηγόν. Οὐ γὰρ πρότερον ἐπέβη τοῖς Ἀχαιοῖς δεομένοις καὶ ὑποβάλλουσιν αὐτοὺς διὰ τῶν πρεσβειῶν καὶ τῶν ψηφισμάτων, ἢ τῇ φρουρᾷ καὶ τοῖς ὁμήροις, ὥσπερ χαλινουμένους, ἀνασχέσθαι. Καίτοι πᾶσαν ὁ Ἄρατος ἀφίησι φωνὴν, ἀπολογιζόμενος τὴν ἀνάγκην. Ὁ Πολύβιος δ' αὐτὸν ἐκ πολλοῦ φησὶ καὶ πρὸ τῆς ἀνάγκης ὑφορώμενον τὸ θράσος τὸ τοῦ Κλεομένους, κρύφα τῷ Ἀντιγόνῳ διαλέγεσθαι, καὶ τοὺς Μεγαλοπολίτας προκαθιέναι δεομένους Ἀχαιῶν ἐπικαλεῖσθαι τὸν Ἀντίγονον. Οὗτοι γὰρ ἐπιέζοντο τῷ πολέμῳ μάλιϛα, συνεχῶς ἄγοντος αὐτοὺς καὶ φέροντος τοῦ Κλεομένους. Ὁμοίως δὲ καὶ Φύλαρχος ἱϛόρηκε περὶ τούτων, ᾧ, μὴ τοῦ Πολυβίου μαρτυροῦντος, οὐ πάνυ τι πιϛεύειν ἄξιον ἦν. Ἐνθουσιᾷ γὰρ, ὅταν ἅψηται τοῦ Κλεομένους,

ὑπ' εὐνοίας, καὶ καθάπερ ἐν δίκῃ, τῇ ἱςορίᾳ, τῷ μὲν ἀντιδικῶν διατελεῖ, τῷ δὲ συναγορεύων.

ΛΘ. Ἀπεβάλοντο δ' οὖν οἱ Ἀχαιοὶ τὴν Μαντίνειαν, πάλιν ἑλόντος αὐτὴν τοῦ Κλεομένους· καὶ μάχῃ μεγάλῃ περὶ τὸ Ἑκατόμβαιον ἡττηθέντες, οὕτω κατεπλάγησαν, ὥςε πέμπειν εὐθὺς ἐφ' ἡγεμονίᾳ τὸν Κλεομένη καλοῦντες εἰς Ἄργος. Ὁ δ' Ἄρατος, ὡς ᾔσθετο βαδίζοντα καὶ περὶ Λέρναν ὄντα μετὰ τῆς δυνάμεως, φοβηθεὶς ἀπέςειλε πρέσβεις, τοὺς ἀξιοῦντας ὡς παρὰ φίλους καὶ συμμάχους αὐτὸν ἥκειν μετὰ τριακοσίων· εἰ δ' ἀπιςεῖ, λαβεῖν ὁμήρους. Ταῦτα ὕβριν εἶναι καὶ χλευασμὸν αὐτοῦ φήσας ὁ Κλεομένης, ἀνέζευξεν, ἐπιςολὴν γράψας τοῖς Ἀχαιοῖς, ἐγκλήματα πολλὰ κατὰ τοῦ Ἀράτου καὶ διαβολὰς ἔχουσαν. Γέγραφε δὲ κἀκεῖνος ἐπιςολὰς κατὰ τοῦ Κλεομένους· καὶ ἐφέροντο λοιδορίαι καὶ βλασφημίαι μέχρι γάμων καὶ γυναικῶν ἀλλήλους κακῶς λεγόντων. Ἐκ τούτου κήρυκα πέμψας ὁ Κλεομένης πόλεμον προεροῦντα τοῖς Ἀχαιοῖς, μικροῦ μὲν ἔλαθε τὴν Σικυωνίων πόλιν ἁρπάσας διὰ προδοσίας· ἐκεῖθεν δ' ἀποτραπεὶς, Πελλήνῃ προσέβαλε, καὶ, τοῦ ςρατηγοῦ τῶν Ἀχαιῶν ἐκπεσόντος, ἔσχε τὴν πόλιν. Ὀλίγῳ δ' ὕςερον καὶ Φενεὸν ἔλαβε καὶ Πεντέλειον. Εἶτ' εὐθὺς Ἀργεῖοι προσεχώρησαν αὐτῷ, καὶ Φλιάσιοι φρουρὰν ἐδέξαντο· καὶ ὅλως οὐδὲν ἔτι τῶν ἐπικτήτων βέβαιον ἦν τοῖς Ἀχαιοῖς, ἀλλὰ θόρυβος πολὺς ἄφνω περιειςήκει τὸν Ἄρατον, ὁρῶντα τὴν Πελοπόννησον κραδαινομένην, καὶ τὰς πόλεις ἐξανιςαμένας ὑπὸ τῶν νεωτεριζόντων πανταχόθεν.

Μ. Ἠτρέμει γὰρ οὐδὲν, οὐδ' ἔςεργεν ἐπὶ τοῖς παροῦσιν· ἀλλὰ καὶ Σικυωνίων αὐτῶν καὶ Κορινθίων ἐγένοντο πολλοὶ καταφανεῖς διειλεγμένοι τῷ Κλεομένει, καὶ πάλαι πρὸς τὸ κοινὸν ἰδίων ἐπιθυμίᾳ δυναςειῶν ὑπούλως ἔχοντες. Ἐπὶ τούτους ἐξουσίαν ἀνυπεύθυνον ὁ Ἄρατος λαβὼν, τοὺς μὲν ἐν Σικυωνίᾳ

ἐφθαρμένους ἀπέκτεινε, τοὺς δ' ἐν Κορίνθῳ πειρώμενος ἀναζητεῖν καὶ κολάζειν, ἐξηγρίαινε τὸ πλῆθος, ἤδη νοσοῦν καὶ βαρυνόμενον τὴν ὑπὸ τοῖς Ἀχαιοῖς πολιτείαν. Συνδραμόντες οὖν εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερὸν, μετεπέμποντο τὸν Ἄρατον, ἀνελεῖν, ἢ συλλαβεῖν, πρὸ τῆς ἀποστάσεως ἐγνωκότες. Ὁ δ' ἧκε μὲν αὐτὸς ἐφελκόμενος τὸν ἵππον, ὡς οὐκ ἀπιστῶν, οὐδ' ὑποπτεύων· ἀναπηδησάντων δὲ πολλῶν, καὶ λοιδορουμένων αὐτῷ καὶ κατηγορούντων, εὖ πως καθεστῶτι τῷ προσώπῳ καὶ τῷ λόγῳ πράως, ἐκέλευε καθίσαι, καὶ μὴ βοᾷν ἀτάκτως ἑστῶτας, ἀλλὰ καὶ τοὺς περὶ θύρας ὄντας εἴσω παριέναι· καὶ ταῦθ' ἅμα λέγων ὑπεξῄει βάδην, ὡς παραδώσων τινὶ τὸν ἵππον. Οὕτως δ' ὑπεκδὺς, καὶ τοῖς ὑπαντῶσι τῶν Κορινθίων ἀθορύβως διαλεγόμενος, καὶ κελεύων πρὸς τὸ Ἀπολλώνιον βαδίζειν, ὡς ἔλαθε πλησίον τῆς ἄκρας γενόμενος, ἀναπηδήσας ἐπὶ τὸν ἵππον, καὶ Κλεοπάτρῳ, τῷ ἄρχοντι τῆς φρουρᾶς, διακελευσάμενος ἐγκρατῶς φυλάττειν, ἀφίππευσεν εἰς Σικυῶνα, τριάκοντα μὲν αὐτῷ στρατιωτῶν ἑπομένων, τῶν δ' ἄλλων ἐγκαταλιπόντων καὶ διαρρυέντων. Αἰσθόμενοι δ' οἱ Κορίνθιοι μετ' ὀλίγον τὴν ἀπόδρασιν αὐτοῦ, καὶ διώξαντες, ὡς οὐ κατέλαβον, μετεπέμψαντο τὸν Κλεομένην, καὶ παρέδοσαν τὴν πόλιν, οὐδὲν οἰομένῳ λαμβάνειν παρ' αὐτῶν τοσοῦτον, ὅσου διήμαρτεν, ἀφέντων Ἄρατον. Οὗτος μὲν οὖν, προσγενομένων αὐτῷ τῶν τὴν λεγομένην Ἀκτὴν κατοικούντων, καὶ τὰς πόλεις ἐγχειρισάντων, ἀπεσταύρου καὶ περιετείχιζε τὸν Ἀκροκόρινθον.

ΜΑ. Τῷ δ' Ἀράτῳ συνῆλθον εἰς Σικυῶνα τῶν Ἀχαιῶν οἱ πολλοὶ, καὶ γενομένης ἐκκλησίας, ᾑρέθη στρατηγὸς αὐτοκράτωρ· καὶ περιεστήσατο φρουρὰν ἐκ τῶν ἑαυτοῦ πολιτῶν, τριάκοντα μὲν ἔτη καὶ τρία πεπολιτευμένος ἐν τοῖς Ἀχαιοῖς, πεπρωτευκὼς δὲ καὶ δυνάμει καὶ δόξῃ τῶν Ἑλλήνων· τότε δ' ἔρημος καὶ ἄπορος, συντετριμμένος, ὥσπερ ἐπὶ ναυαγίου, τῆς πατρίδος,

ἐν τοσούτῳ σάλῳ καὶ κινδύνῳ διαφερόμενος. Καὶ γὰρ Αἰτωλοὶ, δεομένου βοηθεῖν, ἀπείπαντο, καὶ τὴν Ἀθηναίων πόλιν, χάριτι τοῦ Ἀράτου πρόθυμον οὖσαν, οἱ περὶ Εὐκλείδην καὶ Μικίωνα διεκώλυσαν. Ὄντων δὲ τῷ Ἀράτῳ καὶ χρημάτων ἐν Κορίνθῳ καὶ οἰκίας, ὁ Κλεομένης ἥψατο μὲν οὐδενὸς, οὐδ' ἄλλον εἴασε, μεταπεμψάμενος δὲ τοὺς φίλους αὐτοῦ καὶ τοὺς διοικητὰς, ἐκέλευε πάντα ποιεῖν καὶ φυλάττειν, ὡς Ἀράτῳ λόγον ὑφέξοντας· ἰδίᾳ δὲ πρὸς αὐτὸν ἔπεμψε Τρίπυλον, καὶ πάλιν Μεγιςόνουν, τὸν πατρῳὸν, ὑπισχνούμενος ἄλλα τε πολλὰ, καὶ δώδεκα τάλαντα, σύνταξιν ἐνιαύσιον, ὑπερβαλλόμενος τῷ ἡμίσει Πτολεμαῖον· ἐκεῖνος γὰρ ἓξ τάλαντα τῷ Ἀράτῳ κατ' ἐνιαυτὸν ἀπέςελλεν. Ἠξίου δὲ τῶν Ἀχαιῶν ἡγεμὼν ἀναγορευθῆναι, καὶ κοινῇ μετ' αὐτῶν φυλάσσειν τὸν Ἀκροκόρινθον. Τοῦ δ' Ἀράτου φήσαντος, ὡς οὐκ ἔχοι τὰ πράγματα, μᾶλλον δ' ὑπ' αὐτῶν ἔχοιτο, καὶ κατειρωνεύεσθαι δόξαντος, ἐμβαλὼν εὐθὺς τὴν Σικυωνίαν ἐπόρθει καὶ κατέφθειρε, καὶ προσεκάθητο τῇ πόλει τρεῖς μῆνας, ἐγκαρτεροῦντος τοῦ Ἀράτου, καὶ διαποροῦντος, εἰ δέξαιτο τὸν Ἀντίγονον ἐπὶ τῷ παραδοῦναι τὸν Ἀκροκόρινθον· ἄλλως γὰρ οὐκ ἐβούλετο βοηθεῖν.

ΜΒ. Οἱ μὲν οὖν Ἀχαιοὶ συνεληλυθότες εἰς Αἴγιον, ἐκεῖ τὸν Ἄρατον ἐκάλουν. Ἦν δὲ κίνδυνος, τοῦ Κλεομένους πρὸς τῇ πόλει ςρατοπεδεύοντος, διελθεῖν. Καὶ κατεῖχον οἱ πολῖται δεόμενοι, καὶ προήσεσθαι τὸ σῶμα, τῶν πολεμίων ἐγγὺς ὄντων, οὐ φάσκοντες· ἐξήρτηντο δ' αὐτοῦ καὶ γυναῖκες ἤδη καὶ παῖδες, ὥσπερ πατρὸς κοινοῦ καὶ σωτῆρος περιεχόμενοι, καὶ δακρύοντες. Οὐ μὴν ἀλλὰ θαῤῥύνας καὶ παραμυθησάμενος αὐτοὺς, ἐξίππευσεν ἐπὶ τὴν θάλασσαν, ἔχων δέκα φίλους, καὶ τὸν υἱὸν ἤδη νεανίαν ὄντα· καὶ παρορμούντων ἐκεῖ πλοίων ἐπιβάντες, εἰς Αἴγιον παρεκομίσθησαν ἐπὶ τὴν ἐκκλησίαν, ἐν ᾗ καλεῖν τὸν Ἀντίγονον ἐψηφίσαντο, καὶ παραδιδόναι τὸν Ἀκροκόρινθον.

ἔπεμψε δὲ καὶ τὸν υἱὸν Ἄρατος πρὸς αὐτὸν μετὰ τῶν ἄλλων ὁμήρων. Ἐφ' οἷς οἱ Κορίνθιοι χαλεπῶς φέροντες, τά τε χρήματα διήρπασαν αὐτοῦ, καὶ τὴν οἰκίαν τῷ Κλεομένει δωρεὰν ἔδωκαν.

ΜΓ. Τοῦ δ' Ἀντιγόνου προσιόντος ἤδη μετὰ τῆς δυνάμεως (ἦγε δὲ πεζοὺς δισμυρίους Μακεδόνας, ἱππεῖς δὲ χιλίους καὶ τετρακοσίους), ἀπήντα μετὰ τῶν δημιουργῶν ὁ Ἄρατος αὐτῷ κατὰ θάλατταν εἰς Πηγὰς, λαθὼν τοὺς πολεμίους· οὐ πάνυ τι θαῤῥῶν τῷ Ἀντιγόνῳ, οὐδὲ πιστεύων τοῖς Μακεδόσιν. Ἤδει γὰρ, ηὐξημένον ἑαυτὸν ἐξ ὧν ἐκείνους κακῶς ἐποίησε, καὶ πρώτην εἰληφότα μεγίστην ὑπόθεσιν τῆς πολιτείας τὴν πρὸς Ἀντίγονον, τὸν παλαιὸν, ἔχθραν. Ἀλλ' ὁρῶν ἀπαραίτητον ἐπικειμένην ἀνάγκην, καὶ τὸν καιρὸν, ᾧ δουλεύουσιν οἱ δοκοῦντες ἄρχειν, ἐχώρει πρὸς τὸ δεινόν. Ὁ δ' Ἀντίγονος, ὥς τις αὐτῷ προσιόντα τὸν Ἄρατον ἔφρασε, τοὺς μὲν ἄλλους ἠσπάσατο μετρίως καὶ κοινῶς, ἐκεῖνον δὲ καὶ περὶ τὴν πρώτην ὑπάντησιν ἐδέξατο τῇ τιμῇ περιττῶς, καὶ *κατὰ* τἄλλα πειρώμενος ἀνδρὸς ἀγαθοῦ καὶ νοῦν ἔχοντος, ἐνδοτέρω τῆς χρείας προσηγάγετο. Καὶ γὰρ ἦν ὁ Ἄρατος οὐ μόνον ἐν πράγμασι μεγάλοις ὠφέλιμος, ἀλλὰ καὶ σχολάζοντι βασιλεῖ συγγενέσθαι παρ' ὁντινοῦν ἐπίχαρις. Διὸ, καίπερ ὢν νέος ὁ Ἀντίγονος, ὡς κατενόησε τὴν φύσιν τοῦ ἀνδρὸς, μηδὲν ἀργὸν εἰς φιλίαν βασιλικὴν οὖσαν, οὐ μόνον Ἀχαιῶν, ἀλλὰ καὶ Μακεδόνων τῶν σὺν αὐτῷ, πάντων [μάλιστα] χρώμενος ἐκείνῳ διετέλει· καὶ τὸ σημεῖον ἀπέβαινεν, ὡς ὁ θεὸς ἐπὶ τῶν ἱερῶν ἔδειξε. Λέγεται γὰρ, οὐ πρὸ πολλοῦ θύοντι τῷ Ἀράτῳ δύο χολὰς ἐν ἥπατι φανῆναι μιᾷ πιμελῇ περιεχομένας· καὶ τὸν μάντιν εἰπεῖν, ὡς ταχὺ πρὸς τὰ ἔχθιστα καὶ πολεμιώτατα σύνεισιν εἰς ἄκραν φιλίαν. Τότε μὲν οὖν παρήνεγκε τὸ ῥηθὲν, οὐδ' ἄλλως πολὺ νέμων πίστεως ἱεροῖς καὶ μαντεύμασιν, ἀλλὰ τῷ λογισμῷ χρώμενος. Ἐπεὶ δ' ὕστερον εὖ χωροῦντι

τῷ πολέμῳ συναγαγὼν ὁ Ἀντίγονος ἑςίασιν ἐν Κορίνθῳ, καὶ πολλοὺς ὑποδεχόμενος, τὸν Ἄρατον ἐπάνω κατέκλινεν ἑαυτοῦ· καὶ μετὰ μικρὸν αἰτήσας περιβόλαιον, ἠρώτησεν, εἰ δοκεῖ κἀκείνῳ ψῦχος εἶναι· τοῦ δὲ καὶ πάνυ ῥιγοῦν φήσαντος, ἐκέλευσε προσχωρεῖν ἐγγυτέρω, καὶ δάπιδος κομισθείσης, ἀμφοτέρους ὁμοῦ περιέβαλον οἱ παῖδες· τότε δὴ τὸν Ἄρατον, ἀναμνησθέντα τῶν ἱερῶν ἐκείνων, γέλως ἔλαβε, καὶ διηγεῖτο τῷ βασιλεῖ τὸ σημεῖον καὶ τὴν προαγόρευσιν. Ἀλλὰ ταῦτα μὲν ἐπράχθη χρόνοις ὕςερον.

ΜΔ. Ἐν δὲ ταῖς Πηγαῖς δόντες καὶ λαβόντες ὅρκους, εὐθὺς ἐβάδιζον ἐπὶ τοὺς πολεμίους. Καὶ περὶ τὴν πόλιν ἀγῶνες ἦσαν, εὖ πεφραγμένου τοῦ Κλεομένους, καὶ τῶν Κορινθίων ἀμυνομένων προθύμως. Ἐν τούτῳ δ' Ἀριςοτέλης, ὁ Ἀργεῖος, φίλος ὢν Ἀράτου, διαπέμπεται κρύφα πρὸς αὐτὸν, ὡς ἀποςήσων τὴν πόλιν, εἰ ςρατιώτας ἐκεῖνος ἔχων ἔλθοι. Τοῦ δ' Ἀράτου φράσαντος τῷ Ἀντιγόνῳ, καὶ μετὰ χιλίων καὶ πεντακοσίων εἰς Ἐπίδαυρον ἐξ Ἰσθμοῦ πλοίοις κομιζομένου κατὰ τάχος, οἱ μὲν Ἀργεῖοι προεξαναςάντες ἐπέθεντο τοῖς τοῦ Κλεομένους, καὶ κατέκλεισαν εἰς τὴν ἀκρόπολιν· ὁ δὲ Κλεομένης πυθόμενος ταῦτα, καὶ δείσας, μὴ κατασχόντες οἱ πολέμιοι τὸ Ἄργος ἀποκόψωσιν αὐτὸν τῆς οἴκαδε σωτηρίας, ἐκλιπὼν τὸν Ἀκροκόρινθον, ἔτι νυκτὸς ἐβοήθει. Καὶ παρελθὼν μὲν εἰς Ἄργος ἔφθη, καὶ τροπήν τινα τῶν πολεμίων ἐποιήσεν· ὀλίγῳ δ' ὕςερον Ἀράτου προσφερομένου, καὶ τοῦ βασιλέως ἐπιφαινομένου μετὰ τῆς δυνάμεως, ἀπεχώρησεν εἰς Μαντίνειαν. Ἐκ τούτου τοῖς μὲν Ἀχαιοῖς πάλιν αἱ πόλεις ἅπασαι προσεχώρησαν, Ἀντίγονος δὲ τὸν Ἀκροκόρινθον κατέλαβεν, Ἄρατος δὲ ςρατηγὸς αἱρεθεὶς ὑπ' Ἀργείων, ἔπεισεν αὐτοὺς Ἀντιγόνῳ τά τε τῶν τυράννων καὶ τὰ τῶν προδοτῶν χρήματα δωρεὰν δοῦναι. Τὸν δ' Ἀριςόμαχον ἐν Κεγχρεαῖς ςρεβλώσαντες, κατεπόντισαν· ἐφ' ᾧ καὶ

μάλιστα κακῶς ἤκουσεν ὁ Ἄρατος, ὡς ἄνθρωπον οὐ πονηρὸν, ἀλλὰ καὶ κεχρημένον ἐκείνῳ, καὶ πεπεισμένον ἀφεῖναι τὴν ἀρχὴν, καὶ προσαγαγεῖν τοῖς Ἀχαιοῖς τὴν πόλιν, ὅμως περιιδὼν παρανόμως ἀπολλύμενον.

ΜΕ. Ἤδη δὲ καὶ τῶν ἄλλων ἐκείνῳ τὰς αἰτίας ἐπέφερον· οἷον, ὅτι τὴν μὲν Κορινθίων πόλιν Ἀντιγόνῳ δωρεὰν ἔδωκαν, ὥσπερ κώμην τὴν τυχοῦσαν, τὸν Ὀρχομενὸν δὲ συνεχώρησαν αὐτῷ διαρπάσαντι φρουρὰν ἐμβαλεῖν Μακεδονικήν· ἐψηφίσαντο δ' ἄλλῳ μὴ γράφειν βασιλεῖ, μηδὲ πρεσβεύειν πρὸς ἄλλον, ἄκοντος Ἀντιγόνου· τρέφειν τε καὶ μισθοδοτεῖν ἠναγκάζοντο τοὺς Μακεδόνας· θυσίας δὲ καὶ σπονδὰς καὶ ἀγῶνας Ἀντιγόνῳ συνετέλουν, ἀρξαμένων τῶν Ἀράτου πολιτῶν, καὶ δεξαμένων τῇ πόλει τὸν Ἀντίγονον ὑπ' Ἀράτου ξενιζόμενον. Ἠτιῶντο [τούτων] πάντων ἐκεῖνον, ἀγνοοῦντες, ὅτι τὰς ἡνίας ἐκείνῳ παραδεδωκὼς, καὶ τῇ ῥύμῃ τῆς βασιλικῆς ἐφελκόμενος ἐξουσίας, οὐδενὸς ἦν, ἢ μόνης φωνῆς, ἔτι κύριος, ἐπισφαλῆ τὴν παῤῥησίαν ἐχούσης. Ἐπεὶ φανερῶς γε πολλὰ τῶν πραττομένων ἐλύπει τὸν Ἄρατον, ὥσπερ τὸ περὶ τῶν εἰκόνων· ὁ γὰρ Ἀντίγονος τὰς μὲν τῶν ἐν Ἄργει τυράννων καταβεβλημένας ἀνέστησε, τὰς δὲ τῶν ἑλόντων τὸν Ἀκροκόρινθον ἑστώσας ἀνέτρεψε, πλὴν μιᾶς τῆς ἐκείνου· καὶ πολλὰ περὶ τούτων δεηθεὶς ὁ Ἄρατος οὐκ ἔπεισεν. Ἐδόκει δὲ καὶ τὰ περὶ Μαντίνειαν οὐχ Ἑλληνικῶς διῳκῆσθαι τοῖς Ἀχαιοῖς. Κρατήσαντες γὰρ αὐτῶν διὰ Ἀντιγόνου, τοὺς μὲν ἐνδοξοτάτους καὶ πρώτους ἀπέκτειναν, τῶν δ' ἄλλων τοὺς μὲν ἀπέδοντο, τοὺς δ' εἰς Μακεδονίαν ἀπέστειλαν πέδαις δεδεμένους· παῖδας δὲ καὶ γυναῖκας ἠνδραποδίσαντο. Τοῦ δὲ συναχθέντος ἀργυρίου τὸ τρίτον αὐτοὶ διείλοντο, τὰς δὲ δύο μοίρας ἔνειμαν τοῖς Μακεδόσι. Καὶ ταῦτα μὲν ἔσχε τὸν τῆς ἀμύνης νόμον. Καὶ γὰρ, εἰ δεινὸν ἄνδρας ὁμοφύλους καὶ συγγενεῖς οὕτω μεταχειρίσασθαι δι' ὀργὴν, ἀλλ' ἐν ἀνάγκαις γλυκὺ γίνεται,

γίνεται, καὶ οὐ σκληρὸν, κατὰ Σιμωνίδην, ὥσπερ ἀλγοῦντι τῷ θυμῷ καὶ φλεγμαίνοντι θεραπείαν καὶ ἀναπλήρωσιν προσφερόντων. Τὰ δὲ μετὰ ταῦτα πραχθέντα περὶ τὴν πόλιν, οὔτ' εἰς καλὴν, οὔτ' εἰς ἀναγκαίαν ἐςὶ θέσθαι τῷ Ἀράτῳ πρόφασιν. Τῶν γὰρ Ἀργείων τὴν πόλιν παρ' Ἀντιγόνου δωρεὰν λαβόντων, καὶ κατοικίζειν ἐγνωκότων, αὐτὸς οἰκιςὴς αἱρεθεὶς, καὶ ςρατηγὸς ὢν, ἐψηφίσατο, μηκέτι καλεῖν Μαντίνειαν, ἀλλ' Ἀντιγόνειαν· ὃ καὶ μέχρι νῦν καλεῖται. Καὶ δοκεῖ δι' ἐκεῖνον ἡ μὲν ἐρατεινὴ Μαντίνεια παντάπασιν ἐξαληλῖφθαι, διαμένει δ' ἡ πόλις ἐπώνυμος τῶν ἀπολεσάντων καὶ ἀνελόντων τοὺς πολίτας.

Μϛ. Ἐκ τούτου Κλεομένης μὲν, ἡττηθεὶς μάχῃ μεγάλῃ περὶ Σελλασίαν, ἐξέλιπε τὴν Σπάρτην, καὶ ἀπέπλευσεν εἰς Αἴγυπτον· Ἀντίγονος δὲ, πάντα τὰ δίκαια καὶ φιλάνθρωπα τῷ Ἀράτῳ πεποιηκὼς, ἀνέζευξεν εἰς Μακεδονίαν, κἀκεῖ νοσῶν ἤδη τὸν διάδοχον τῆς βασιλείας, Φίλιππον, οὔπω πάνυ μειράκιον ὄντα, πέμπων εἰς Πελοπόννησον, Ἀράτῳ μάλιςα προσέχειν ἐκέλευσε, καὶ δι' ἐκείνου ταῖς πόλεσιν ἐντυχεῖν, καὶ γνωρισθῆναι τοῖς Ἀχαιοῖς. Καὶ μέντοι καὶ παραλαβὼν αὐτὸν ὁ Ἄρατος, οὕτως διέθηκεν, ὥςε πολλῆς μὲν εὐνοίας πρὸς αὐτὸν, πολλῆς δὲ πρὸς τὰς Ἑλληνικὰς πράξεις φιλοτιμίας καὶ ὁρμῆς μεςὸν εἰς Μακεδονίαν ἀποστεῖλαι.

ΜΖ. Τελευτήσαντος δ' Ἀντιγόνου, καταφρονήσαντες Αἰτωλοὶ τῶν Ἀχαιῶν διὰ τὴν ῥαθυμίαν (ἐθισθέντες γὰρ ἀλλοτρίαις σώζεσθαι χερσὶ, καὶ τοῖς Μακεδόνων ὅπλοις αὐτοὺς ὑπεςαλκότες, ἐν ἀργίᾳ πολλῇ καὶ ἀταξίᾳ διῆγον) ἐπέθεντο τοῖς κατὰ Πελοπόννησον πράγμασι· καὶ τὴν μὲν Πατρέων καὶ Δυμαίων λεηλασίαν ὁδοῦ πάρεργον ἐποιήσαντο, τὴν δὲ Μεσσήνην ἐμβαλόντες ἐπόρθουν. Ἐφ' οἷς ὁ Ἄρατος ἀγανακτῶν, καὶ τὸν ςρατηγοῦντα τότε τῶν Ἀχαιῶν, Τιμόξενον, ὁρῶν ὀκνοῦντα καὶ διατρίβοντα τὸν χρόνον, ἤδη τῆς ςρατηγίας αὐτῷ τελευτώσης,

αὐτὸς ᾑρημένος ἄρχειν μετ' ἐκεῖνον, προέλαβεν ἡμέραις πέντε τὴν ἀρχὴν ἕνεκα τοῦ βοηθῆσαι Μεσσηνίοις. Καὶ συναγαγὼν τοὺς Ἀχαιοὺς, τοῖς τε σώμασιν ἀγυμνάστους ὄντας, καὶ ταῖς διανοίαις ἐκλελυμένους πρὸς τὸν πόλεμον, ἡττᾶται περὶ Καφύας· καὶ θυμικώτερον ἐστρατηγηκέναι δόξας, οὕτως αὖ πάλιν ἀπημβλύνθη, καὶ προήκατο τὰ πράγματα καὶ τὰς ἐλπίδας, ὥστε πολλάκις λαβὴν τοὺς Αἰτωλοὺς παρασχόντας, ἀνέχεσθαι καὶ περιορᾶν ὥσπερ κωμάζοντας ἐν τῇ Πελοποννήσῳ μετὰ πολλῆς ἀσελγείας καὶ θρασύτητος. Αὖθις οὖν τὰς χεῖρας ὀρέγοντες εἰς Μακεδονίαν, ἐπεσπῶντο καὶ κατῆγον ἐπὶ τὰς Ἑλληνικὰς πράξεις τὸν Φίλιππον, οὐχ ἥκιστα διὰ τὴν πρὸς Ἄρατον εὔνοιαν αὐτοῦ καὶ πίστιν ἐλπίζοντες εὐκόλῳ περὶ πάντα χρήσεσθαι καὶ χειροήθει.

ΜΗ. Καὶ τότε πρῶτον Ἀπελλοῦ καὶ Μεγαλαίου καί τινων αὐλικῶν ἄλλων διαβαλλόντων τὸν Ἄρατον, ἀναπεισθεὶς ὁ βασιλεὺς, καὶ συναρχαιρεσιάσας τοῖς ἀπὸ τῆς ἐναντίας στάσεως, ἐσπούδασε τοὺς Ἀχαιοὺς ἑλέσθαι στρατηγὸν Ἐπήρατον. Ὡς δ', ἐκείνου μὲν καταφρονουμένου τελέως ὑπὸ τῶν Ἀχαιῶν, τοῦ δ' Ἀράτου παραμελοῦντος, ἐγίνετο τῶν χρησίμων οὐδὲν, ἔγνω διαμαρτάνων τοῦ παντὸς ὁ Φίλιππος. Καὶ ἀνακρουσάμενος αὖθις ἐπὶ τὸν Ἄρατον, ὅλος ἦν ἐκείνου, καὶ τῶν πραγμάτων αὐτῷ πρός τε δύναμιν καὶ πρὸς εὐδοξίαν ἐπιδιδόντων, ἐξήρτητο τοῦ ἀνδρὸς, ὡς δι' ἐκεῖνον εὐδοκιμῶν καὶ αὐξόμενος. Ἐδόκει τε πᾶσιν ὁ Ἄρατος οὐ μόνον δημοκρατίας, ἀλλὰ καὶ βασιλείας, ἀγαθὸς εἶναι παιδαγωγός· ἡ γὰρ προαίρεσις αὐτοῦ καὶ τὸ ἦθος, ὡς χρῶμα, ταῖς πράξεσι τοῦ βασιλέως ἐπεφαίνετο. Καὶ γὰρ ἡ πρὸς Λακεδαιμονίους ἁμαρτόντας μετριότης τοῦ νεανίσκου, καὶ ἡ πρὸς Κρῆτας ὁμιλία, δι' ἧς ὅλην προσηγάγετο τὴν νῆσον ἡμέραις ὀλίγαις, ἥ τε πρὸς Αἰτωλοὺς στρατεία γενομένη θαυμαστῶς ἐνεργὸς, εὐπειθείας μὲν τῷ Φιλίππῳ

δόξαν, εὐβουλίας δὲ τῷ Ἀράτῳ προσετίθει. Καὶ διὰ ταῦτα μᾶλλον οἱ βασιλικοὶ φθονοῦντες, ὡς οὐδὲν ἐπέραινον κρύφα διαβάλλοντες, ἀναφανδὸν ἐλοιδοροῦντο καὶ προσέκρουον αὐτῷ παρὰ τοὺς πότους μετὰ πολλῆς ἀσελγείας καὶ βωμολοχίας· ἅπαξ δὲ καὶ λίθοις βάλλοντες ἀπιόντα εἰς τὴν σκηνὴν μετὰ τὸ δεῖπνον κατεδίωξαν. Ἐφ᾽ οἷς ὁ Φίλιππος ὀργισθεὶς, εὐθὺς μὲν αὐτοὺς ἐζημίωσεν εἴκοσι ταλάντοις, ὕστερον δὲ λυμαίνεσθαι τὰ πράγματα καὶ ταράττειν δοκοῦντας ἀπέκτεινεν.

ΜΘ. Ἐπεὶ δὲ, τῆς τύχης εὐροούσης, ἐπαιρόμενος τοῖς πράγμασι, πολλὰς μὲν ἀνέφυε καὶ μεγάλας ἐπιθυμίας, ἡ δ᾽ ἔμφυτος κακία, τὸν παρὰ φύσιν σχηματισμὸν ἐκβιαζομένη καὶ ἀναδύουσα, κατὰ μικρὸν ἀπεγύμνου καὶ διέφαινεν αὐτοῦ τὸ ἦθος· πρῶτον μὲν ἰδίᾳ τὸν νεώτερον Ἄρατον ἠδίκει περὶ τὴν γυναῖκα, καὶ πολὺν χρόνον ἐλάνθανεν, ἐφέστιος ὢν, καὶ ξενιζόμενος ὑπ᾽ αὐτῶν· ἔπειτα πρὸς τὰς Ἑλληνικὰς ἐξετραχύνετο πολιτείας, καὶ φανερὸς ἦν ἤδη τὸν Ἄρατον ἀποσειόμενος. Ἀρχὴν δ᾽ ὑποψίας τὰ Μεσσηνιακὰ παρέσχε· στασιασάντων γὰρ αὐτῶν, ὁ μὲν Ἄρατος ὑστέρει βοηθῶν, ὁ δὲ Φίλιππος, ἡμέρᾳ μιᾷ πρότερον ἐλθὼν εἰς τὴν πόλιν, εὐθὺς οἶστρόν τινα κατ᾽ ἀλλήλων ἐνέβαλε τοῖς ἀνθρώποις, ἰδίᾳ μὲν ἐρωτῶν τοὺς στρατηγοὺς τῶν Μεσσηνίων, εἰ νόμους κατὰ τῶν πολλῶν οὐκ ἔχουσιν, ἰδίᾳ δὲ πάλιν τοὺς τῶν πολλῶν προεστῶτας, εἰ χεῖρας κατὰ τῶν τυραννούντων οὐκ ἔχουσιν. Ἐκ δὲ τούτου θαῤῥήσαντες, οἱ μὲν ἄρχοντες ἐπελαμβάνοντο τῶν δημαγωγῶν, ἐκεῖνοι δὲ μετὰ τῶν πολλῶν ἐπελθόντες, τούς τ᾽ ἄρχοντας ἀπέκτειναν, καὶ τῶν ἄλλων ὀλίγον ἀπολείποντας διακοσίων.

Ν. Οὕτω δὲ δεινὸν ἔργον ἐξειργασμένου τοῦ Φιλίππου, καὶ συγκρούοντος ἔτι μᾶλλον ἑαυτοῖς τοὺς Μεσσηνίους, ἐπελθὼν ὁ Ἄρατος, αὐτός τε δῆλος ἦν φέρων βαρέως, καὶ τὸν υἱὸν ἐπιτιμῶντα πικρῶς τῷ Φιλίππῳ καὶ λοιδορούμενον οὐκ ἐκώλυσεν.

ἐδόκει δ' ὁ νεανίσκος ἐρᾷν τοῦ Φιλίππου· καὶ τότε λέγων εἶπε πρὸς αὐτὸν, ὡς οὐδὲ καλὸς ἔτι φαίνοιτο τὴν ὄψιν αὐτῷ, τοιαῦτα δράσας, ἀλλὰ πάντων αἴσχιστος. Ὁ δὲ Φίλιππος ἐκείνῳ μὲν οὐδὲν ἀντεῖπε, καίπερ ἐπίδοξος ὢν ὑπ' ὀργῆς, καὶ πολλάκις ἐξυλακτήσας λέγοντος αὐτοῦ· τὸν δὲ πρεσβύτερον, ὡς ἐνῆ ὀχῶς πράως τὰ λεχθέντα, καί τις ὢν μέτριος καὶ πολιτικὸς τὴν φύσιν, ἀνέστησεν ἐκ τοῦ θεάτρου, τὴν δεξιὰν ἐμβαλών· καὶ προῆγεν εἰς τὸν Ἰθωμάταν, τῷ τε Διῒ θύσων, καὶ θεωρήσων τὸν τόπον. Ἔστι γὰρ οὐχ ἧττον εὐερκὴς τοῦ Ἀκροκορίνθου· καὶ λαβὼν φρουρὰν, γίνεται χαλεπὸς καὶ δυσεκβίαστος τοῖς προσιοῦσιν. Ἀναβὰς δὲ καὶ θύσας, ὡς προσήνεγκεν αὐτῷ τὰ σπλάγχνα τοῦ βοὸς ὁ μάντις, ἀμφοτέραις ταῖς χερσὶν ὑπολαβὼν, ἐδείκνυε τῷ τε Ἀράτῳ καὶ τῷ Φαρίῳ Δημητρίῳ, παρὰ μέρος ἀποκλίνων εἰς ἑκάτερον, καὶ πυνθανόμενος, τί καθορῶσιν ἐν τοῖς ἱεροῖς· κρατοῦντα τῆς ἄκρας αὐτὸν, ἢ τοῖς Μεσσηνίοις ἀποδιδόντα. Γελάσας οὖν ὁ Δημήτριος· « Εἰ μὲν (ἔφη) μάντεως » ἔχεις ψυχὴν, ἀφήσεις τὸν τόπον· εἰ δὲ βασιλέως, ἀμφο» τέρων τῶν κεράτων τὸν βοῦν καθέξεις », αἰνιττόμενος τὴν Πελοπόννησον, ὡς, εἰ προσλάβοι τὸν Ἰθωμάταν τῷ Ἀκροκορίνθῳ, παντάπασιν ἐσομένην ὑποχείριον καὶ ταπεινήν. Ὁ δ' Ἄρατος ἐπὶ πολὺ μὲν ἡσύχαζε, δεομένου δὲ τοῦ Φιλίππου τὸ φαινόμενον λέγειν· « Πολλὰ μὲν (εἶπεν), ὦ Φίλιππε, Κρητῶν » ὄρη καὶ μεγάλα, πολλαὶ δὲ Βοιωτῶν ἄκραι καὶ Φωκέων ἐκ» πεφύκασι τῆς γῆς, εἰσὶ δέ που πολλοὶ καὶ τῆς Ἀκαρνάνων, » τοῦτο μὲν χερσαῖοι, τοῦτο δ' ἔναλοι τόποι, θαυμαστὰς ὀχυ» ρότητας ἔχοντες· ἀλλ' οὐδένα τούτων κατείληφας, καὶ πάντες » ἑκουσίως σοι ποιοῦσι τὸ προστασσόμενον. Λῃσταὶ γὰρ ἐμ» φύονται πέτραις, καὶ κρημνῶν περιέχονται· βασιλεῖ δὲ πίστεως » καὶ χάριτος ἰσχυρότερον οὐδὲν, οὐδ' ὀχυρώτερον. Ταῦτά σοι » τὸ Κρητικὸν ἀνοίγει πέλαγος, ταῦτα τὴν Πελοπόννησον·

» ἀπὸ τούτων ὁρμώμενος σὺ, τοσοῦτος τὴν ἡλικίαν, τῶν μὲν » ἡγεμὼν, τῶν δὲ κύριος ἤδη καθέστηκας». Ἔτι λέγοντος αὐτοῦ, τὰ μὲν σπλάγχνα τῷ μάντει παρέδωκεν ὁ Φίλιππος, ἐκεῖνον δὲ τῆς χειρὸς ἐπισπασάμενος· «Δεῦρο τοίνυν (ἔφη), » τὴν αὐτὴν ὁδὸν ἴωμεν», ὥσπερ ἐκβεβιασμένος ὑπ' αὐτοῦ, καὶ τὴν πόλιν ἀφῃρημένος.

ΝΑ. Ὁ δ' Ἄρατος, ἀποῤῥέων ἤδη τῆς αὐλῆς, καὶ κατὰ μικρὸν ἑαυτὸν ἀνακομιζόμενος ἐκ τῆς πρὸς τὸν Φίλιππον συνηθείας, διαβαίνοντος εἰς Ἤπειρον αὐτοῦ, καὶ δεομένου συστρατεύειν, ἀπείπατο, καὶ κατέμεινε, δεδιὼς ἀναπλησθῆναι δόξης πονηρᾶς, ἀφ' ὧν ἐκεῖνος ἔπραττεν. Ἐπεὶ δὲ, τάς τε ναῦς ὑπὸ Ῥωμαίων ἀπολέσας αἴσχιστα, καὶ ὅλως ἀποτυχὼν ταῖς πράξεσιν, ἐπανῆλθεν εἰς Πελοπόννησον, καὶ τοὺς Μεσσηνίους αὖθις ἐπιχειρήσας φενακίζειν, καὶ μὴ λαθὼν, ἠδίκει φανερῶς, καὶ τὴν χώραν αὐτῶν ἐπόρθει· παντάπασιν ὁ Ἄρατος ἀπεστράφη καὶ διεβλήθη πρὸς αὐτὸν, ἤδη καὶ τῶν περὶ τὴν γυναικωνῖτιν ἀδικημάτων αἰσθόμενος, καὶ φέρων ἀνιαρῶς αὐτὸς, ἀποκρυπτόμενος δὲ τὸν υἱόν. Εἰδέναι γὰρ ὑβρισμένον περιῆν, ἄλλο δ' οὐδὲν, ἀμύνασθαι μὴ δυναμένῳ. Μεγίστην γὰρ ὁ Φίλιππος δοκεῖ καὶ παραλογωτάτην μεταβαλέσθαι μεταβολὴν, ἐξ ἡμέρου βασιλέως, καὶ μειρακίου σώφρονος, ἀνὴρ ἀσελγὴς καὶ τύραννος ἐξώλης γενόμενος. Τὸ δ' οὐκ ἦν ἄρα μεταβολὴ φύσεως, ἀλλ' ἐπίδειξις ἐν ἀδείᾳ κακίας πολὺν χρόνον διὰ φόβον ἀγνοηθείσης.

ΝΒ. Ὅτι γὰρ ἦν μεμιγμένον αἰσχύνῃ καὶ φόβῳ τὸ πρὸς τὸν Ἄρατον αὐτοῦ πάθος ἀπ' ἀρχῆς συντεθραμμένον, ἐδήλωσεν οἷς ἔπραξε περὶ αὐτόν. Ἐπιθυμῶν γὰρ ἀνελεῖν τὸν ἄνδρα, καὶ νομίζων, οὐδ' ἂν ἐλεύθερος, ἐκείνου ζῶντος, εἶναι, μήτιγε τύραννος, ἢ βασιλεὺς, βίᾳ μὲν οὐδὲν ἐπεχείρησε, Ταυρίωνα δὲ, τῶν στρατηγῶν τινα καὶ φίλων, ἐκέλευσεν ἀδήλῳ τρόπῳ τοῦτο πρᾶξαι, μάλιστα διὰ φαρμάκων, αὐτοῦ μὴ παρόντος. Ὁ δὲ,

ποιησάμενος τὸν Ἄρατον συνήθη, φάρμακον αὐτῷ δίδωσιν, οὐκ ὀξὺ καὶ σφοδρὸν, ἀλλὰ τῶν θέρμας τε μαλακὰς τὸ πρῶτον ἐν τῷ σώματι καὶ βῆχα κινούντων ἀμβλεῖαν, εἶτα οὕτως κατὰ μικρὸν εἰς φθόην περαινόντων. Οὐ μὴν ἔλαθέ γε τὸν Ἄρατον· ἀλλ᾽ ὡς οὐδὲν ἦν ὄφελος ἐλέγχοντι, πράως καὶ σιωπῇ τὸ πάθος, ὡς δή τινα νόσον κοινὴν καὶ συνήθη νοσῶν, διήντλει. Πλὴν ἑνός γε τῶν συνήθων ἐν τῷ δωματίῳ παρόντος, ἀναπτύσας δίαιμον, ἰδόντος ἐκείνου καὶ θαυμάσαντος· «Ταῦτ᾽ (εἶπεν), » ὦ Κεφάλων, ἐπίχειρα τῆς βασιλικῆς φιλίας».

ΝΓ. Οὕτω δ᾽ αὐτοῦ τελευτήσαντος ἐν Αἰγίῳ, τὸ ἑπτακαιδέκατον στρατηγοῦντος, καὶ τῶν Ἀχαιῶν φιλοτιμουμένων ἐκεῖ γενέσθαι ταφὰς καὶ μνήματα πρέποντα τῷ βίῳ τοῦ ἀνδρὸς, Σικυώνιοι συμφορὰν ἐποιοῦντο μὴ παρ᾽ αὐτοῖς τεθῆναι τὸ σῶμα. Καὶ τοὺς μὲν Ἀχαιοὺς ἔπεισαν ἐφιέναι· νόμου δ᾽ ὄντος ἀρχαίου, μηδένα θάπτεσθαι τειχῶν ἐντὸς, ἰσχυρᾶς τε τῷ νόμῳ δεισιδαιμονίας προσούσης, ἔπεμψαν εἰς Δελφοὺς, ὑπὲρ τούτων ἐρησόμενοι τὴν Πυθίαν. Ἡ δ᾽ αὐτοῖς ἀναιρεῖ τὸν χρησμὸν τόνδε·

*Βουλεύῃ, Σικυών, ζωάγριον αἶρεν Ἀράτου,*
*Ἀμφ᾽ ὁσίῃ θαλίῃ τε κατοιχομένοιο ἄνακτος.*
*Ὡς τὸ βαρυνόμενον τῷδ᾽ ἀνέρι καὶ τὸ βαρῦνον,*
*Γαίης ἔτ᾽ ἀσέβημα καὶ οὐρανοῦ ἠδὲ θαλάσσης.*

Κομισθείσης δὲ τῆς μαντείας, οἵ τ᾽ Ἀχαιοὶ σύμπαντες ἥσθησαν, καὶ διαφερόντως οἱ Σικυώνιοι, μεταβαλόντες εἰς ἑορτὴν τὸ πένθος, εὐθὺς ἐκ τοῦ Αἰγίου τὸν νεκρὸν ἐστεφανωμένοι καὶ λευχειμονοῦντες ὑπὸ παιάνων καὶ χορῶν εἰς τὴν πόλιν ἀνῆγον, καὶ τόπον ἐξελόμενοι περίοπτον, ὥσπερ οἰκιστὴν καὶ σωτῆρα τῆς πόλεως ἐκήδευσαν. Καὶ καλεῖται μέχρι νῦν Ἀράτειον, καὶ θύουσιν αὐτῷ θυσίαν, τὴν μὲν, ᾗ τὴν πόλιν ἀπήλλαξε τῆς τυραννίδος, ἡμέρᾳ πέμπτῃ Δαισίου μηνὸς, ὃν Ἀθηναῖοι καλοῦσιν

Ἀνθεστηριῶνα, καὶ τὴν θυσίαν ἐκείνην Σωτήρια προσαγορεύουσι· τὴν δὲ τοῦ μηνὸς, ἐν ᾧ γενέσθαι τὸν ἄνδρα διαμνημονεύουσι. Τῆς μὲν οὖν προτέρας ὁ τοῦ Διὸς τοῦ Σωτῆρος κατήρχετο θυηπόλος· τῆς δὲ δευτέρας ὁ τοῦ Ἀράτου, στρόφιον οὐχ ὅλον λευκὸν, ἀλλὰ μεσοπόρφυρον ἔχων. Μέλη δ' ᾔδετο πρὸς κιθάραν ὑπὸ τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν· καὶ συνεπόμπευεν ὁ γυμνασίαρχος, ἡγούμενος τῶν τε παίδων καὶ τῶν ἐφήβων, εἶτ' ἐφείπετο ἡ βουλὴ στεφανηφοροῦσα, καὶ τῶν ἄλλων πολιτῶν ὁ βουλόμενος. Ὧν ἔτι δείγματα μικρὰ ταῖς ἡμέραις ἐκείναις ἐξοσιούμενοι διαφυλάττουσιν· αἱ δὲ πλεῖσαι τῶν τιμῶν ὑπὸ χρόνου καὶ πραγμάτων ἄλλων ἐκλελοίπασιν.

ΝΔ. Ἀλλὰ γὰρ ὁ μὲν πρεσβύτερος Ἄρατος οὕτω βιῶσαι καὶ τοιοῦτος γενέσθαι τὴν φύσιν ἱςορεῖται· τὸν δ' υἱὸν αὐτοῦ, μιαρὸς ὢν φύσει καὶ μετ' ὠμότητος ὑβριστὴς ὁ Φίλιππος, οὐ θανασίμοις, ἀλλὰ μανικοῖς, ἐξέστησε τοῦ λογισμοῦ φαρμάκοις, καὶ παρέτρεψεν εἰς δεινὰς καὶ ἀλλοκότους ἐπιφορὰς, πράξεων ἀτόπων καὶ σὺν αἰσχύνῃ παθῶν ὀλεθρίων ὀρεγόμενον· ὥςε τὸν θάνατον αὐτῷ, καίπερ ὄντι νέῳ καὶ ἀνθοῦντι, μὴ συμφορὰν, ἀλλ' ἀπόλυσιν κακῶν καὶ σωτηρίαν γενέσθαι. Δίκας γε μὴν ὁ Φίλιππος οὐ μεμπτὰς Διῒ ξενίῳ καὶ φιλίῳ τῆς ἀνοσιουργίας ταύτης τίνων διετέλεσε. Καταπολεμηθεὶς μὲν γὰρ ὑπὸ Ῥωμαίων, ἐπέτρεψεν ἐκείνοις τὰ καθ' αὑτόν· ἐκπεσὼν δὲ τῆς ἄλλης ἀρχῆς, καὶ τὰς ναῦς, πλὴν πέντε, πάσας προέμενος, καὶ χίλια προσεκτίσειν ὁμολογήσας τάλαντα, καὶ τὸν υἱὸν ὁμηρεύσοντα παραδοὺς, δι' οἶκτον ἔτυχε Μακεδονίας καὶ τῶν συντελούντων. Ἀποκτείνων δ' ἀεὶ τοὺς ἀρίςους καὶ συγγενεςάτους, φρίκης ἐνέπλησε καὶ μίσους ὅλην τὴν βασιλείαν πρὸς αὐτόν. Ἓν δὲ μόνον ἐν τοσούτοις κακοῖς εὐτύχημα κτησάμενος, υἱὸν ἀρετῇ διαφέροντα, τοῦτον φθόνῳ καὶ ζηλοτυπίᾳ τῆς παρὰ Ῥωμαίοις τιμῆς ἀνεῖλε·

Περσεῖ δὲ θατέρῳ τὴν ἀρχὴν παρέδωκεν, ὃν οὐ γνήσιον, ἀλλ' ὑπόβλητον εἶναι φασὶν, ἐκ Γναθαινίου τινὸς ἀκεςρίας γενόμενον. Τοῦτον Αἰμίλιος ἐθριάμβευσεν· καὶ κατέςρεψεν ἐνταῦθα τῆς Ἀντιγονικῆς βασιλείας ἡ διαδοχή. Τὸ δ' Ἀράτου γένος ἐν τῇ Σικυῶνι καὶ τῇ Πελλήνῃ διέμεινε καθ' ἡμᾶς.

ΒΙΒΛΙΟΘΗΚΗ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

# ΠΛΟΥΤΑΡΧΟΥ ΓΑΛΒΑΣ.

Ὁ μὲν Ἀθηναῖος Ἰφικράτης τὸν μισθοφόρον ἠξίου ςρατιώτην καὶ φιλόπλουτον εἶναι καὶ φιλήδονον, ὅπως ταῖς ἐπιθυμίαις χορηγίαν ἐπιζητῶν ἀγωνίζηται παραβολώτερον· οἱ δὲ πλεῖςοι, καθάπερ αἰωρούμενον σῶμα, τὸ στρατιωτικὸν ἀξιοῦσιν, ἰδίᾳ μηδέποτε χρώμενον ὁρμῇ, συγκινεῖσθαι τῇ τοῦ στρατηγοῦ. Διὸ καὶ Παῦλον Αἰμίλιον λέγουσι τὴν ἐν Μακεδονίᾳ δύναμιν παραλαβόντα λαλιᾶς καὶ περιεργίας, οἷον διαστρατηγοῦσαν, ἀνάπλεων, παρεγγυῆσαι τὴν χεῖρα ποιεῖν ἑτοίμην καὶ τὴν μάχαιραν ὀξεῖαν ἕκαστον, αὐτῷ δὲ τῶν ἄλλων μελήσειν. Ὁ δὲ Πλάτων, οὐδὲν ἔργον ὁρῶν ἄρχοντος ἀγαθοῦ καὶ στρατηγοῦ, στρατιᾶς μὴ σωφρονούσης, μηδ' ὁμοπαθούσης, ἀλλὰ τὴν πειθαρχικὴν ἀρετὴν, ὁμοίως τῇ βασιλικῇ, νομίζων φύσεώς τε γενναίας καὶ τροφῆς φιλοσόφου δεῖσθαι μάλιστα, τῷ πράῳ καὶ φιλανθρώπῳ τὸ θυμοειδὲς καὶ δραστήριον ἐμμελῶς ἀνακεραννυμένης, ἄλλα τε πάθη πολλὰ, καὶ τὰ Ῥωμαίοις συμπεσόντα μετὰ τὴν Νέρωνος τελευτὴν, ἔχει μαρτύρια καὶ παραδείγματα τοῦ μηδὲν εἶναι φοβερώτερον ἀπαιδεύτοις χρωμένης καὶ ἀλόγοις ὁρμαῖς ἐν ἡγεμονίᾳ στρατιωτικῆς δυνάμεως. Δημάδης μὲν γὰρ, Ἀλεξάνδρου τελευτήσαντος, εἴκαζε τὴν Μακεδόνων στρατιὰν ἐκτετυφλωμένῳ τῷ Κύκλωπι, πολλὰς κινουμένην ὁρῶν κινήσεις ἀτάκτους καὶ παραφόρους. Τὴν δὲ Ῥωμαίων ἡγεμονίαν ὅμοια τοῖς λεγομένοις Τιτανικοῖς πάθεσι καὶ κινήμασι κατελάμβανεν, εἰς πολλὰ διασπωμένην ἅμα καὶ πολλαχόθεν αὖθις ἑαυτῇ συμπίπτουσαν, οὐχ οὕτως ὑπὸ φιλαρχίας τῶν ἀναγορευομένων αὐτοκρατόρων, ὡς φιλοπλουτίας καὶ ἀκολασίας τοῦ στρατιωτικοῦ, δι' ἀλλήλων, ὥσπερ ἥλους, τοὺς ἡγεμόνας ἐκκρούοντος. Καίτοι Διονύσιος

Φεραῖον ἄρξαντα Θετταλῶν δέκα μῆνας, εἶτ᾽ εὐθὺς ἀναιρεθέντα, τὸν τραγικὸν ἀνεκάλει τύραννον, ἐπισκώπτων τὸ τάχος τῆς μεταβολῆς. Ἡ δὲ τῶν Καισάρων ἑςία, τὸ Παλάτιον, ἐν ἐλάσσονι χρόνῳ τέσσαρας αὐτοκράτορας ὑπεδέξατο, τὸν μὲν εἰσαγόντων ὥσπερ διὰ σκηνῆς, τὸν δ᾽ ἐξαγόντων. Ἀλλ᾽ ἦν γε παραμυθία τοῖς κακῶς πάσχουσι μία, τὸ μὴ δεηθῆναι δίκης ἑτέρας ἐπὶ τοὺς αἰτίους, ἀλλ᾽ ὁρᾶν αὐτοὺς ὑφ᾽ ἑαυτῶν φονευομένους· πρῶτον δὲ, καὶ δικαιότατα πάντων, τὸν δελεάσαντα καὶ διδάξαντα τοσοῦτον ἐλπίζειν ἐπὶ μεταβολῇ Καίσαρος, ὅσον αὐτὸς ὑπέσχετο, κάλλιςον ἔργον διαβαλὼν τῷ μισθῷ, τὴν ἀπὸ Νέρωνος ἀποςασίαν, προδοσίαν γενομένην.

Β. Νυμφίδιος γὰρ Σαβῖνος, ὢν ἔπαρχος, ὥσπερ εἴρηται, μετὰ Τιγελλίνου τῆς αὐλῆς, ἐπεὶ τὰ Νέρωνος ἀπέγνωςο παντάπασι, καὶ δῆλος ἦν ἀποδρασόμενος εἰς Αἴγυπτον, ἔπεισε τὸ ςρατιωτικὸν, ὡς μηκέτι παρόντος, ἀλλ᾽ ἤδη πεφευγότος, αὐτοκράτορα Γάλβαν ἀναγορεῦσαι, καὶ δωρεὰν ὑπέσχετο κατ᾽ ἄνδρα τοῖς αὐλικοῖς καὶ ςρατηγικοῖς προσαγορευομένοις δραχμὰς ἑπτακισχιλίας πεντακοσίας, τοῖς δ᾽ ἐκτὸς ςρατευομένοις πεντήκοντα καὶ διακοσίας ἐπὶ χιλίαις, ὅσον ἀμήχανον ἦν συναγαγεῖν μὴ πλείονα μυριάκις κακὰ παρασχόντα πᾶσιν ἀνθρώποις, ὧν Νέρων παρέσχε. Τοῦτο γὰρ εὐθὺς μὲν ἀπώλεσε Νέρωνα, μετ᾽ ὀλίγον δὲ καὶ Γάλβαν. Τὸν μὲν γὰρ ὡς ληψόμενοι προήκαντο, τὸν δὲ μὴ λαμβάνοντες ἐπέκτειναν· εἶτα τὸν τοσοῦτον δώσοντα ζητοῦντες, ἔφθησαν ἐν ταῖς ἀποςάσεσι καὶ προδοσίαις ἀναλώσαντες αὐτοὺς, ἢ τυχόντες ὧν ἤλπισαν. Τὰ μὲν οὖν καθ᾽ ἕκαςα τῶν γενομένων ἀπαγγέλλειν ἀκριβῶς, τῆς πραγματικῆς ἱςορίας ἐςίν· ὅσα δ᾽ ἄξια λόγου τοῖς τῶν Καισάρων ἔργοις καὶ πάθεσι συμπέπτωκεν, οὐδ᾽ ἐμοὶ προσήκει παρελθεῖν.

Γ. Γάλβας Σουλπίκιος, ὅτι μὲν ἰδιώτης πλουσιώτατος ἁπάντων εἰς τὸν Καισάρων παρῆλθεν οἶκον, ὁμολογεῖται· μέγα δ᾽

ἔχων εὐγενείας ἀξίωμα, τὸν Σερουΐων οἶκον, αὐτὸς ἐφρόνει μεῖζον ἐπὶ τῇ Κάτλου συγγενείᾳ, πρωτεύσαντος ἀνδρὸς ἀρετῇ καὶ δόξῃ τῶν καθ' ἑαυτὸν, εἰ καὶ τὸ δύνασθαι μᾶλλον ἑκὼν ἑτέροις παρῆκεν. Ἦν δέ τι καὶ Λιβίᾳ, τῇ Καίσαρος γυναικὶ, κατὰ γένος προσήκων ὁ Γάλβας, καὶ διὰ τοῦτο, Λιβίας παρασχούσης, ὕπατος ἐκ Παλατίου προῆλθε. Λέγεται δὲ καὶ στρατεύματος ἐν Γερμανίᾳ καλῶς ἄρξαι, καὶ Λιβύης ἀνθύπατος γενόμενος, σὺν ὀλίγοις ἐπαινεθῆναι. Τὸ δ' εὔκολον αὐτοῦ τῆς διαίτης καὶ φειδωλὸν ἐν δαπάναις καὶ ἀπέριττον, αἰτίαν ἔσχεν, αὐτοκράτορος γενομένου, μικρολογίας, ἣν ἕωλόν τινα δόξαν εὐταξίας ἔφερε καὶ σωφροσύνης. Ἐπέμφθη δ' ὑπὸ Νέρωνος Ἰβηρίας ἄρχων, οὔπω δεδιδαγμένου φοβεῖσθαι τοὺς ἐν ἀξιώμασι μεγάλοις τῶν πολιτῶν. Ἐκείνῳ δὲ καὶ φύσει δοκοῦντι πράῳ γεγονέναι προσετίθει πίστιν εὐλαβείας τὸ γῆρας.

Δ. Ἐπεὶ δὲ, τῶν ἀλιτηρίων ἐπιτρόπων ὠμῶς καὶ ἀγρίως τὰς ἐπαρχίας ἐκείνῳ διαφορούντων, ἄλλο μὲν εἶχεν οὐδὲν βοηθεῖν, αὐτῷ δὲ τῷ φανερὸς εἶναι συναλγῶν καὶ συναδικούμενος ἁμωσγέπως ἀναπνοήν τινα καὶ παραμυθίαν τοῖς καταδικαζομένοις καὶ πωλουμένοις παρέσχε· καὶ ποιημάτων εἰς Νέρωνα γινομένων, καὶ πολλαχοῦ περιφερομένων καὶ ᾀδομένων, οὐκ ἐκώλυεν, οὐδὲ συνηγανάκτει τοῖς ἐπιτρόποις· ἐφ' οἷς ἔτι μᾶλλον ἠγαπᾶτο ὑπὸ τῶν ἀνθρώπων. Καὶ γὰρ ἦν ἤδη συνήθης, ἔτος ὄγδοον ἐκεῖνο τὴν ἀρχὴν ἔχων· ἐν ᾧ Ἰούνιος Οὐΐνδιξ ἐπανέστη Νέρωνι, Γαλατίας ὢν στρατηγός. Λέγεται μὲν οὖν καὶ πρὸ τῆς ἐμφανοῦς ἀποστάσεως γράμματα πρὸς αὐτὸν ἀφικέσθαι παρὰ τοῦ Οὐΐνδικος, οἷς μήτε πιστεῦσαι, μήτε μηνῦσαι καὶ κατειπεῖν, ὡς ἕτεροι τῶν ἡγεμονικῶν ἐπιστολὰς αὐτοῖς γραφείσας ἔπεμψαν πρὸς Νέρωνα, καὶ διέφθειραν, ὅσον ἐπ' αὐτοῖς, τὴν πρᾶξιν, ἧς ὕστερον μετασχόντες ὡμολόγησαν αὐτῶν οὐδὲν ἧττον, ἢ ἐκείνου, προδόται γεγονέναι. Ἀλλ' ἐπειδὴ λαμπρῶς τὸν

πόλεμον ἐκφήνας ὁ Οὐίνδιξ ἔγραψε τῷ Γάλβᾳ παρακαλῶν ἀναδέξασθαι τὴν ἡγεμονίαν, καὶ παρασχεῖν ἑαυτὸν ἰσχυρῷ σώματι ζητοῦντι κεφαλὴν ταῖς Γαλατίαις, δέκα μυριάδας ἀνδρῶν ὡπλισμένων ἐχούσαις, ἄλλας τε πλείονας ὁπλίσαι δυναμέναις, προὔθηκε βουλὴν τοῖς φίλοις. Ὧν οἱ μὲν ἠξίουν περιμένειν, καραδοκοῦντα, τίνα κίνησιν ἡ Ῥώμη καὶ φορὰν ἕξει πρὸς τὸν νεωτερισμόν· Τίτος δὲ Οὐίνιος, ὁ τοῦ ςρατιωτικοῦ τάγματος ἡγεμὼν, « Αὐτὸς (εἶπεν), ὦ Γάλβα, τίνα τρόπον βουλεύῃ; τὸ γὰρ » ζητεῖν, Νέρωνι εἰ πιστοὶ μένοιμεν, ἤδη μὴ μενόντων ἐςίν. » Ὡς οὖν ὑπάρχοντος ἐχθροῦ Νέρωνος, οὐ δὴ προσετέον τὴν » τοῦ Οὐίνδικος φιλίαν, ἢ καὶ κατηγορητέον εὐθὺς αὐτοῦ καὶ » πολεμητέον, ὅτι σὲ βούλεται Ῥωμαίους ἔχειν ἄρχοντα μᾶλ- » λον, ἢ Νέρωνα τύραννον ».

Ε. Ἐκ τούτου προγράμματι μὲν ἐδήλωσεν ὁ Γάλβας ἡμέραν, ἐν ᾗ τὰς κατὰ μέρος ἐλευθερώσεις ἀποδώσοι τοῖς δεομένοις· λαλιὰ δὲ καὶ φήμη προεκπεσοῦσα πλῆθος ἀνθρώπων ἤθροιζε προθύμων ἐπὶ τὸν νεωτερισμόν. Οὐκ ἔφθη γοῦν φανερῶς ἐπὶ τοῦ βήματος γενόμενος, καὶ πάντες αὐτὸν ὁμοφώνως αὐτοκράτορα προσεῖπον. Ὁ δὲ ταύτην μὲν εὐθὺς οὐ προσεδέξατο τὴν προσηγορίαν· κατηγορήσας δὲ τοῦ Νέρωνος, καὶ τῶν ἀνῃρημένων ἀνδρῶν ὑπ' αὐτοῦ τοὺς ἐπιφανεςάτους ὀλοφυράμενος, ὡμολόγησεν ἐπιδώσειν τῇ πατρίδι τὴν ἑαυτοῦ πρόνοιαν, οὔτε Καῖσαρ, οὔτ' αὐτοκράτωρ, ςρατηγὸς δὲ συγκλήτου καὶ δήμου Ῥωμαίων ὀνομαζόμενος. Ὅτι δ' ὀρθῶς ὁ Οὐίνδιξ καὶ λελογισμένως ἐξεκαλεῖτο τὸν Γάλβαν ἐπὶ τὴν ἡγεμονίαν, ἐπιςώσατο μάρτυρι τῷ Νέρωνι. Προσποιούμενος γὰρ ἐκείνου καταφρονεῖν, καὶ παρ' οὐδὲν ἡγεῖσθαι τὰ Γαλατῶν, ἅμα τῷ πυθέσθαι τὰ περὶ Γάλβαν (ἔτυχε δὲ λελουμένος καὶ ἀριςῶν) ἀνέτρεψε τὴν τράπεζαν. Οὐ μὴν ἀλλὰ, συγκλήτου ψηφισαμένης πολέμιον τὸν Γάλβαν, αὐτός τε παίζειν καὶ θρασύνεσθαι πρὸς τοὺς

φίλους βουλόμενος, οὐ φαύλην ἔφη πρόῤῥησιν ἐμπεπτωκέναι λογισμοῦ δεομένῳ χρημάτων αὐτῷ· καὶ τὰ μὲν Γαλατῶν, ὅταν ὑποχείριοι γένωνται, λαφυραγωγήσεσθαι *καὶ λίαν*· ἡ δὲ Γάλβα πάρεστιν οὐσία, χρῆσθαι καὶ πωλεῖν, ἤδη πολεμίου πεφηνότος. Οὗτός τε δὴ τὰ Γάλβα πιπράσκειν ἐκέλευε· καὶ Γάλβας ἀκούσας, ὅσα Νέρωνος ἦν ἐν Ἰβηρίᾳ κηρύττων, εὕρισκε πολλοὺς προθυμοτέρους ὠνητάς.

ΣΤ. Ἀφισαμένων δὲ πολλῶν τοῦ Νέρωνος, καὶ πάντων ἐπιεικῶς τῷ Γάλβᾳ προσιθεμένων, μόνος Κλώδιος Μάκρος ἐν Λιβύῃ, καὶ Οὐεργίνιος Ῥοῦφος ἐν Γαλατίᾳ τοῦ Γερμανικοῦ ςρατεύματος ἡγούμενος, αὐτοὶ καθ' ἑαυτοὺς ἔπραττον, οὐ τὴν αὐτὴν αἵρεσιν ἔχοντες. Ἀλλ' ὁ μὲν Κλώδιος, ἐν ἁρπαγαῖς πραγμάτων γεγονὼς καὶ φόνοις ἀνδρῶν δι' ὠμότητα καὶ πλεονεξίαν, δῆλος ἦν ἐν τῷ μήτε κατέχειν, μήτ' ἀφιέναι τὴν ἀρχὴν δύνασθαι περιφερόμενος· Οὐεργίνιος δὲ, ταγμάτων ἐπιςατῶν δυνατωτάτων, πολλάκις αὐτὸν ἀναγορευόντων αὐτοκράτορα καὶ βιαζομένων, οὔτ' αὐτὸς ἔφη λήψεσθαι τὴν ἡγεμονίαν, οὔτ' ἄλλῳ περιόψεσθαι διδομένην, ὃν ἂν μὴ ἡ σύγκλητος ἕληται. Ταῦτα τὸν Γάλβαν οὐ μετρίως ἐθορύβει τὸ πρῶτον· ἐπεὶ δὲ τὰ Οὐεργινίου καὶ Οὐΐνδικος ςρατεύματα τρόπον τινὰ βίᾳ τοὺς ἡγεμόνας, ὥσπερ *τοὺς* ἡνιόχους κρατῆσαι χαλινῶν μὴ δυνηθέντας, εἰς μάχην ἐξενεγκόντα μεγάλην συνέῤῥαξαν, καὶ Οὐΐνδικος ἑαυτὸν ἀνελόντος ἐπὶ δισμυρίοις Γαλατῶν πεσοῦσι, διῆλθε λόγος, ὡς βουλομένων πάντων ἐπὶ νίκῃ τοσαύτῃ τὸν Οὐεργίνιον ἀναδέξασθαι τὴν ἡγεμονίαν, ἢ πάλιν μεταβαλουμένων πρὸς Νέρωνα, τότε δὴ παντάπασι περίφοβος γενόμενος ὁ Γάλβας ἔγραψε τῷ Οὐεργινίῳ, παρακαλῶν κοινοπραγεῖν καὶ διαφυλάσσειν ἅμα τὴν ἡγεμονίαν καὶ τὴν ἐλευθερίαν Ῥωμαίοις· αὖθις δὲ μετὰ τῶν φίλων εἰς Κλουνίαν, Ἰβηρικὴν πόλιν, ἀναχωρήσας, ἐν τῷ μετανοεῖν περὶ τῶν γεγονότων, καὶ ποθεῖν τὴν

συνήθη καὶ σύντροφον ἀπραγμοσύνην μᾶλλον, ἢ πράττειν τι τῶν ἀναγκαίων, διέτριβεν.

Ζ. Ἦν δὲ θέρος ἤδη, καὶ βραχὺ πρὸ δείλης ἧκεν ἀπὸ Ῥώμης Ἴκελος, ἀνὴρ ἀπελεύθερος, ἑβδομαῖος. Πυθόμενος δὲ, τὸν Γάλβαν ἀναπαύεσθαι καθ' ἑαυτὸν, ἐβάδιζε συντόνως ἐπὶ τὸ δωμάτιον αὐτοῦ, καὶ βίᾳ τῶν θαλαμηπόλων ἀνοίξας καὶ παρελθὼν, ἀπήγγειλεν, ὅτι καὶ ζῶντος ἔτι τοῦ Νέρωνος, οὐκ ὄντος δὲ φανεροῦ, τὸ στράτευμα πρῶτον, εἶτα ὁ δῆμος καὶ ἡ σύγκλητος, αὐτοκράτορα τὸν Γάλβαν ἀναγορεύσειεν· ὀλίγον δ' ὕστερον ἀπαγγελθείη τεθνηκὼς ἐκεῖνος. Οὐ μὴν αὐτός γε πιστεύσας ἔφη τοῖς ἀπαγγέλλουσιν, ἀλλ' ἐπελθὼν τῷ νεκρῷ καὶ κείμενον θεασάμενος, οὕτως ἐξελθεῖν. Ταῦτ' ἀπαγγελλόμενα λαμπρὸν ἦρε τὸν Γάλβαν, καὶ συνέδραμε πλῆθος ἀνδρῶν ἐπὶ θύρας ἐκτεθαῤῥηκότων ὑπ' αὐτοῦ βεβαίως· καίτοι τὸ τάχος ἦν ἄπιστον. Ἀλλὰ καὶ δυσὶν ἡμέραις [ὕστερον] Οὐίνιος Τίτος * πολλὰ τῶν* ἀπὸ στρατοπέδου μεθ' ἑτέρων ἀφίκετο τὰ δόξαντα τῇ συγκλήτῳ καθ' ἕκαστον ἀπαγγέλλων. Οὗτος μὲν οὖν εἰς τάξιν ἔντιμον προήχθη· τῷ δ' ἀπελευθέρῳ δακτυλίους τε χρυσοῦς ἔδωκε, καὶ Μαρκιανὸς Ἴκελος ἤδη καλούμενος εἶχε τὴν πρώτην ἐν τοῖς ἀπελευθέροις δύναμιν.

Η. Ἐν δὲ Ῥώμῃ Νυμφίδιος Σαβῖνος οὐκ ἠρέμα καὶ κατὰ μικρὸν, ἀλλὰ συλλήβδην ὁμοῦ, πάντα πράγματα φέρων περιήνεγκεν εἰς ἑαυτὸν, ὡς Γάλβαν μὲν ὄντα πρεσβύτην, καὶ μόλις εἰς Ῥώμην ἐξαρκέσοντα φοράδην κομισθῆναι διὰ γῆρας (ἦν γὰρ ἐτῶν τριῶν καὶ ἑβδομήκοντα), τὰ δ' αὐτόθι στρατεύματα, καὶ πάλαι πρὸς αὐτὸν εὐνόως ἔχοντα, καὶ νῦν ἑνὸς ἐξηρτημένα μόνου, διὰ τὸ τῆς δωρεᾶς μέγεθος εὐεργέτην ἐκεῖνον ἡγεῖσθαι, Γάλβαν δὲ χρεωφειλέτην. Εὐθὺς οὖν Τιγελλίνῳ μὲν, τῷ συνάρχοντι, προσέταξεν ἀποθέσθαι τὸ ξίφος· ὑποδοχὰς δὲ ποιούμενος, ἐδείπνιζε τοὺς ὑπατικοὺς καὶ τοὺς ἡγεμονικοὺς, ἔτι τὸ Γάλβα

προστιθεὶς ὄνομα ταῖς κλήσεσιν· ἔν τε τῷ στρατοπέδῳ πολλοὺς παρεσκεύασε λέγειν, ὡς πεμπτέον ἐστὶ πρὸς Γάλβαν, αἰτουμένους ἔπαρχον ἐσαεὶ Νυμφίδιον ἄνευ συνάρχοντος. Ἃ δ' ἡ σύγκλητος εἰς τιμὴν ἔπραττεν αὐτοῦ καὶ δύναμιν, ἀνακαλοῦσα εὐεργέτην, καὶ συντρέχουσα καθ' ἡμέραν ἐπὶ θύρας, καὶ παντὸς ἐξάρχειν δόγματος ἀξιοῦσα καὶ βεβαιοῦν, ἔτι περαιτέρω τόλμης ἀνῆγεν αὐτόν· ὥστε ὀλίγου χρόνου τοῖς θεραπεύουσι μὴ μόνον ἐπίφθονον, ἀλλὰ καὶ φοβερὸν εἶναι. Τῶν δ' ὑπάτων οἰκέτας δημοσίους προχειρισαμένων τὰ δόγματα κομίζοντας τῷ αὐτοκράτορι, καὶ τὰ καλούμενα διπλώματα σεσημασμένα δόντων, ἃ γνωρίζοντες οἱ κατὰ πόλιν ἄρχοντες ἐν ταῖς τῶν ὀχημάτων ἀμοιβαῖς ἐπιταχύνουσι τὰς προπομπὰς τῶν γραμματηφόρων, οὐ μετρίως ἠγανάκτησεν, ὅτι μὴ παρ' αὐτοῦ καὶ σφραγῖδα καὶ στρατιώτας λαβόντες ἀνέπεμψαν. Ἀλλὰ λέγεται καὶ βουλεύσασθαι περὶ τῶν ὑπάτων· εἶτα τὴν ὀργὴν ἀπολογησαμένοις καὶ δεηθεῖσιν ἀνῆκε. Τῷ δὲ δήμῳ χαριζόμενος, οὐκ ἐκώλυε τὸν παραπίπτοντα τῶν Νέρωνος ἀποτυμπανίζειν. Σπῖκλον μὲν οὖν, τὸν μονομάχον, ἀνδριάσι Νέρωνος ἑλκομένοις ὑποβαλόντες ἐν ἀγορᾷ διέφθειραν· Ἀπόνιον δέ τινα τῶν κατηγορικῶν ἀνατρέψαντες, ἁμάξας λιθοφόρους ἐπήγαγον, ἄλλους δὲ διέσπασαν πολλοὺς, ἐνίους μηδὲν ἀδικοῦντας· ὥστε καὶ Μαυρίσκον, ἄνδρα τῶν ἀρίστων καὶ ὄντα καὶ δοκοῦντα, πρὸς τὴν σύγκλητον εἰπεῖν, ὅτι φοβεῖται, μὴ ταχὺ Νέρωνα ζητήσωσιν.

Θ. Οὕτω δὲ προσάγων ὁ Νυμφίδιος ἐγγυτέρω ταῖς ἐλπίσιν, οὐκ ἔφευγε Γαΐου Καίσαρος υἱὸς λέγεσθαι τοῦ μετὰ Τιβέριον ἄρξαντος. Ἐγνώκει γὰρ ὁ Γάϊος, ὡς ἔοικε, τὴν τεκοῦσαν αὐτὸν, ἔτι μειράκιον ὢν, οὐκ ἀηδῆ τὴν ὄψιν οὖσαν, ἐκ δ' ἀκεστρίας ἐπὶ μισθῷ Καλλίστῳ, Καίσαρος ἀπελευθέρῳ, γεγενημένην. Ἀλλ' ἦν ἡ πρὸς Γάϊον ἔντευξις αὐτῆς, ὡς ἔοικε, νεωτέρα τῆς Νυμφιδίου γενέσεως. Αἰτίαν δ' ἔσχεν, ἐκ Μαρτιανοῦ,

τοῦ μονομάχου, γεγονέναι, τῆς Νυμφιδίας ἐρασθείσης διὰ δόξαν αὐτοῦ, καὶ μᾶλλον ἐδόκει καθ' ὁμοιότητα τῆς ἰδέας ἐκείνῳ προσήκειν. Ἀλλ' ὁμολογῶν γε Νυμφιδίας εἶναι μητρὸς, ἔργον μὲν αὐτοῦ μόνου τὴν Νέρωνος ἐποιεῖτο κατάλυσιν, ἆθλα δ' αὐτῆς οὐ νομίζων ἱκανὰ καρποῦσθαι τὰς τιμὰς καὶ τὰ χρήματα, καὶ τὸ Σπόρῳ τοῦ Νέρωνος συγκαθεύδειν, ὃν εὐθὺς ἀπὸ τῆς πυρᾶς ἔτι καιομένου τοῦ νεκροῦ μεταπεμψάμενος ἐκεῖνος ἐν γαμετῆς εἶχε τάξει, καὶ Ποππαίαν προσηγόρευεν, ἐπὶ τὴν διαδοχὴν παρεδύετο τῆς ἡγεμονίας. Καὶ τὰ μὲν αὐτὸς ἐν Ῥώμῃ διὰ τῶν φίλων ὑπειργάζετο, καὶ γυναικῶν τινων αὐτῷ καὶ συγκλητικῶν ἀνδρῶν κρύφα συλλαμβανομένων· ἕνα δὲ τῶν φίλων, Γελλιανὸν, εἰς Ἰβηρίαν ἔπεμψε, [Γάλβαν] ἢ παρείκοι κατασκεψόμενον.

I. Τῷ δὲ Γάλβᾳ, μετὰ τὴν Νέρωνος τελευτὴν, [προσ]εχώρει πάντα. Οὐεργίνιος δὲ Ῥοῦφος, ἀμφίβολος ὢν ἔτι, φροντίδα παρεῖχε μὴ τῷ δυνάμεως πολλῆς μαχιμωτάτης ἄρχειν προσειληφὼς τὸ νενικηκέναι Οὐίνδικα, καὶ κεχειρῶσθαι μέγα μέρος τῆς Ῥωμαίων ἡγεμονίας, ἐν σάλῳ γενομένην ἀποστατικῶς Γαλατίαν ἅπασαν, ὑπακοῦσαι τοῖς παρακαλοῦσιν αὐτὸν ἐπὶ τὴν ἀρχήν. Οὐδενὸς γὰρ ἦν ὄνομα μεῖζον, οὐδ' εἶχε δόξαν οὐδεὶς, ὅσην ὁ Οὐεργίνιος, ὡς μεγίστη ῥοπὴ τοῖς Ῥωμαίων πράγμασι, τυραννίδος ὁμοῦ χαλεπῆς καὶ Γαλατικῶν πολέμων ἀπαλλαγῆ, γενόμενος. Ἀλλ' ἐκεῖνος τότε, τοῖς ἐξ ἀρχῆς ἐμμένων λογισμοῖς, ἐφύλαττε τῇ συγκλήτῳ τὴν αἵρεσιν τοῦ αὐτοκράτορος. Καίτοι, φανερᾶς γε τῆς Νέρωνος τελευτῆς γενομένης, τό τε πλῆθος ἐνέκειτο τῷ Οὐεργινίῳ πάλιν, καὶ τῶν χιλιάρχων τις τῶν ἐν τῇ σκηνῇ, σπασάμενος τὸ ξίφος, ἐκέλευε τὸν Οὐεργίνιον δέχεσθαι τὴν ἡγεμονίαν, ἢ τὸν σίδηρον. Ἐπεὶ δὲ Φάβιος Οὐάλης, ἄρχων ἑνὸς τάγματος, ὤρκωσε πρῶτος εἰς Γάλβαν, καὶ γράμματα ἧκεν ἀπὸ Ῥώμης περὶ ὧν ἡ σύγκλητος ἐψηφίσατο, χαλεπῶς μὲν καὶ

μόλις,

μόλις, ἔπεισε δ' οὖν τοὺς ςρατιώτας αὐτοκράτορα τὸν Γάλβαν ἀνειπεῖν· καὶ πέμψαντος αὐτοῦ διάδοχον Φλάκκον Ὀρδεώνιον ἐδέξατο. Καὶ παραδοὺς ἐκείνῳ τὴν δύναμιν, αὐτὸς ἀπήντησε τῷ Γάλβᾳ πρόσω χωροῦντι, καὶ συνανέςρεφεν, οὔτ' ὀργῆς, οὔτε τιμῆς ἐπιδήλου τυγχάνων. Αἴτιος δὲ τοῦ μὲν αὐτὸς ὁ Γάλβας, αἰδούμενος τὸν ἄνδρα, τοῦ δ' οἱ φίλοι· καὶ μάλιςα Οὐίνιος Τίτος, ὑπὸ φθόνου τὸν Οὐεργίνιον οἰόμενος *μὲν* κολούειν. Ἠγνόει δ' ἄρα τῷ Οὐεργινίου χρηςῷ δαίμονι συνεργῶν, ἤδη τὸν ἄνδρα πολέμων καὶ κακῶν, ὅσα τοὺς ἄλλους ἡγεμόνας κατέσχεν, ἐκτὸς εἰς βίον ἀκύμονα καὶ γῆρας εἰρήνης καὶ ἡσυχίας μεςὸν ὑπεκτιθεμένῳ.

ΙΑ. Γάλβαν δὲ περὶ Νάρβωνα, πόλιν Γαλατικὴν, οἱ παρὰ τῆς συγκλήτου πρέσβεις ἐντυχόντες ἠσπάζοντο, καὶ παρεκάλουν ἐπιφανῆναι τῷ δήμῳ ποθοῦντι ταχέως· ὁ δὲ τάς τ' ἄλλας παρεῖχεν ἐντεύξεις καὶ συνουσίας αὐτοῖς φιλανθρώπους καὶ δημοτικάς· πρός τε τὰς ἑςιάσεις πολλῆς κατασκευῆς καὶ θεραπείας βασιλικῆς παρούσης, ἣν ἐκ τῶν Νέρωνος ὁ Νυμφίδιος αὐτῷ προσέπεμψεν, οὐδενὶ χρώμενος ἐκείνων, ἀλλὰ τοῖς ἑαυτοῦ πᾶσιν, εὐδοκίμει, μεγαλόφρων ἀνὴρ καὶ κρείττων ἀπειροκαλίας φαινόμενος. Ταχὺ μέντοι τὰ γενναῖα ταῦτα καὶ ἄτυφα καὶ πολιτικὰ δημαγωγίαν Οὐίνιος ἀποφαίνων, καὶ κομψότητα μεγάλων ἀπαξιοῦσαν αὐτὴν, ἔπεισε χρήμασί τε χρῆσθαι τοῖς Νέρωνος, καὶ περὶ τὰς ὑποδοχὰς μὴ φείδεσθαι τῆς βασιλικῆς πολυτελείας. Καὶ ὅλως αἴσθησιν αὐτοῦ κατὰ μικρὸν ὑπὸ τῷ Οὐϊνίῳ γενησομένου παρεῖχεν ὁ πρεσβύτης.

ΙΒ. Ἦν δ' Οὐίνιος ἀργυρίου μὲν ἐσχάτως καὶ παρ' ὁντινοῦν ἥττων, ἔνοχος δὲ καὶ τοῖς περὶ γυναῖκας ἁμαρτήμασιν. Ἔτι γὰρ ὢν νέος, καὶ ςρατευόμενος ὑπὸ Καλβισίῳ Σαβίνῳ τὴν πρώτην ςρατείαν, ἀκόλαςον οὖσαν τὴν γυναῖκα τοῦ ἡγεμόνος παρεισήγαγε νύκτωρ εἰς τὸ ςρατόπεδον ἐν ἐσθῆτι ςρατιωτικῇ,

καὶ διέφθειρεν ἐν τοῖς ἀργείοις, ἃ Πριγκίπια καλοῦσι Ῥωμαῖοι. Ἐπὶ τούτῳ δὲ Γάϊος Καῖσαρ ἔδησεν αὐτόν· ἐκείνου δ' ἀποθανόντος, εὐτυχίᾳ χρησάμενος ἀπελύθη. Δειπνῶν δὲ παρὰ Κλαυδίῳ Καίσαρι ποτήριον ἀργυροῦν ὑφείλετο. Πυθόμενος δ' ὁ Καῖσαρ, τῇ ὑςεραίᾳ πάλιν αὐτὸν ἐπὶ δεῖπνον ἐκάλεσεν· ἐλθόντι δ' ἐκέλευσεν ἐκείνῳ μηδὲν ἀργυροῦν, ἀλλὰ κεράμεια πάντα, προσφέρειν καὶ παρατιθέναι τοὺς ὑπηρέτας. Τοῦτο μὲν οὖν διὰ τὴν Καίσαρος μετριότητα κωμικωτέραν γενομένην γέλωτος, οὐκ ὀργῆς, ἄξιον ἔδοξεν· ἃ δὲ τὸν Γάλβαν ἔχων ὑφ' αὐτῷ, καὶ δυνάμενος μέγιστον ἐπὶ χρήμασιν, ἔπραττε, τραγικῶν παθῶν καὶ συμφορῶν μεγάλων, τοῖς μὲν αἰτίαν, τοῖς δὲ πρόφασιν, παρέσχεν.

ΙΓ. Ὁ γὰρ Νυμφίδιος, εὐθὺς ἐπανελθόντος τοῦ Γελλιανοῦ πρὸς αὐτόν, ὃν ἔπεμψε τοῦ Γάλβα τρόπον τινὰ κατάσκοπον, ἀκούσας, τῆς μὲν αὐλῆς καὶ τῶν δορυφόρων ἔπαρχον ἀποδεδεῖχθαι Κορνήλιον Λάκωνα, τὸ δὲ σύμπαν εἶναι τοῦ Οὐϊνίου κράτος, αὐτῷ δὲ μηδέποτε τοῦ Γάλβα ςῆναι πλησίον ἐγγεγονέναι, μηδ' ἐντυχεῖν ἰδίᾳ, πάντων αὐτὸν ὑφορωμένων καὶ διαφυλαττόντων, ἐθορυβήθη· καὶ συναγαγὼν τοὺς ἡγεμόνας τοῦ ςρατεύματος, ἔφη, Γάλβαν μὲν αὐτὸν εἶναι πρεσβύτην ἐπιεικῆ καὶ μέτριον, ἐλάχιςα δὲ τοῖς αὐτοῦ χρώμενον λογισμοῖς, ὑπὸ δ' Οὐϊνίου καὶ Λάκωνος οὐκ εὖ διοικεῖσθαι. Πρὶν οὖν λαθεῖν αὐτοὺς ἣν ἔσχε Τιγελλῖνος ἰσχὺν ἐν τοῖς πράγμασι κτησαμένους, πεμπτέον εἶναι *δεῖν* πρὸς τὸν ἡγεμόνα πρέσβεις ἀπὸ ςρατοπέδου, τοὺς διδάξοντας, ὅτι τῶν φίλων δύο μόνους τούτους ἀποσκευασάμενος, ἡδίων παρέςαι πᾶσι καὶ ποθεινότερος. Ἐπεὶ δὲ ταῦτα λέγων οὐκ ἔπειθεν, ἀλλ' ἄτοπον ἐδόκει καὶ ἀλλόκοτον, ἡγεμόνα πρεσβύτην, ὥσπερ ἄρτι γευόμενον ἐξουσίας μειράκιον, οἷς χρήσεται φίλοις, ἢ μή, ῥυθμίζειν, ἑτέραν ὁδὸν τραπόμενος, ἔγραφε τῷ Γάλβᾳ δεδιττόμενος, νῦν μέν, ὡς

ὕπουλα καὶ μετέωρα πολλὰ τῆς πόλεως ἐχούσης, νῦν δὲ, Κλώδιον Μάκρον ἐν Λιβύῃ τὰ σιτηγὰ κατέχειν· αὖθις δὲ, παρακινεῖν τὰ Γερμανικὰ τάγματα, καὶ περὶ τῶν ἐν Συρίᾳ καὶ Ἰουδαίᾳ δυνάμεων ὅμοια πυνθάνεσθαι. Τοῦ δὲ Γάλβα μὴ πάνυ τὸν νοῦν προσέχοντος αὐτῷ, μηδὲ πιστεύοντος, ἔγνω προεπιχειρεῖν· καίτοι Κλώδιος Κέλσος Ἀντιοχεὺς, ἀνὴρ ἔμφρων, εὔνους δ' ἐκείνῳ καὶ πιςὸς, ἀπηγόρευε, λέγων, οὐκ ἂν οἴεσθαι, μίαν ἐν Ῥώμῃ συνοικίαν Καίσαρα προσειπεῖν Νυμφίδιον. Ἀλλὰ πολλοὶ κατεγέλων, καὶ Μιθριδάτης, ὁ Ποντικὸς, ἐπισκώπτων τὴν φαλακρότητα καὶ ῥυσσότητα τοῦ Γάλβα, νῦν ἔφη τινὰ δοκεῖν εἶναι Ῥωμαίοις, ὀφθέντα δὲ φανεῖσθαι τῶν ἡμερῶν τούτων, ἃς καλεῖται Καῖσαρ, ὄνειδος.

ΙΔ. Ἔδοξεν οὖν περὶ μέσας νύκτας εἰς τὴν παρεμβολὴν παραγαγόντας ἀναδεικνύειν αὐτοκράτορα τὸν Νυμφίδιον. Πρῶτος δὲ τῶν χιλιάρχων, Ἀντώνιος Ὁνωρᾶτος, ἑσπέρας γενομένης, τοὺς ὑφ' ἑαυτῷ ςρατιώτας συναγαγὼν, ἐκάκιζε μὲν αὐτὸν, ἐκάκιζε δ' ἐκείνους, ἐν ὀλίγῳ χρόνῳ τροπὰς τοσαύτας τρεπομένους κατ' οὐδένα λογισμὸν, οὐδ' αἵρεσιν ἀμεινόνων, ἀλλὰ δαίμονός τινος αὐτοὺς ἐκ προδοσίας εἰς προδοσίαν ἐλαύνοντος· « Καὶ τὰ μὲν » πρῶτα προφάσεις ἔχει, τὰ Νέρωνος ἐγκλήματα· νῦν δὲ » Γάλβαν προδιδόναι, τίνα φόνον μητρὸς ἐγκαλοῦντας, ἢ σφα- » γὴν γυναικὸς, ἢ ποίαν αἰδουμένους θυμέλην, ἢ τραγῳδίαν τοῦ » αὐτοκράτορος; Ἀλλ' οὐδ' ἐκεῖνον ἐπὶ τούτοις ὑπεμείναμεν ἐγ- » καταλιπεῖν, ἀλλὰ Νυμφιδίῳ πεισθέντες, ὅτι πρῶτος ἡμᾶς » ἐγκατέλιπε, καὶ πέφευγεν εἰς Αἴγυπτον. Πότερον οὖν Νέρω- » νι Γάλβαν ἐπιθυσώμεθα, καὶ τὸν ἐκ Νυμφιδίας ἑλόμενοι Καί- » σαρα, τὸν ἐκ Λιβίας ἀνέλωμεν, ὡς τὸν ἐξ Ἀγριππίνης ἀνεί- » λομεν; ἢ τούτῳ δίκην ἐπιθέντες ὧν δέδρακε, τιμωροὶ μὲν » Νέρωνος, Γάλβα δὲ φύλακες ἀγαθοὶ καὶ πιςοὶ φανῶμεν »; Ταῦτα λέγοντι τῷ χιλιάρχῳ προσέθεντο πάντες οἱ ςρατιῶται,



ΒΕΝΙΑΜΙΝ

καὶ τοὺς ἄλλους προσιόντες ἐμμένειν παρεκάλουν τῇ πρὸς τὸν αὐτοκράτορα πίστει· καὶ τοὺς πλείους μετέστησαν. Ἀρθείσης δὲ βοῆς, εἴτε πεισθεὶς ὁ Νυμφίδιος, ὥς φασιν ἔνιοι, καλεῖν αὐτὸν ἤδη τοὺς στρατιώτας, εἴτε προλαβεῖν σπεύδων τὸ θορυβοῦν ἔτι καὶ διστάζον, ὑπὸ φωτὶ πολλῷ προῄει λόγον τινὰ κομίζων ἐν βιβλίῳ γεγραμμένον ὑπὸ Κιγγωνίου Βάῤῥωνος, ὃν ἐκμεμελετήκει πρὸς τοὺς στρατιώτας εἰπεῖν. Ἰδὼν δὲ κεκλεισμένας τοῦ στρατοπέδου τὰς πύλας, καὶ περὶ τὰ τείχη πολλοὺς ὡπλισμένους, ἔδεισε· καὶ προσιὼν ἠρώτα, τί βούλονται, καὶ τίνος κελεύσαντος ἐν ὅπλοις γεγόνασιν. Ἀπαντώσης δ' αὐτῷ παρὰ πάντων μιᾶς φωνῆς, Γάλβαν αὐτοκράτορα γινώσκειν, κἀκεῖνος ὁμόσε χωρῶν ἐπευφήμει, καὶ τοὺς ἑπομένους ἐκέλευσε. Τῶν δὲ παρὰ τὰς πύλας παρέντων αὐτὸν εἰσελθεῖν μετ' ὀλίγων, εὐθὺς ἀκοντίζεται λόγχῃ· καὶ τὴν μὲν ἐδέξατο πρὸ αὐτοῦ θυρεῷ Σεπτίμιος· ἄλλων δὲ γυμνοῖς ξίφεσιν ἐπιφερομένων, φυγὼν καὶ διωχθεὶς, ἐν οἰκήματι στρατιώτου σφάττεται. Καὶ τὸν νεκρὸν εἰς μέσον ἑλκύσαντες, καὶ περιβαλόντες κιγκλίδα, θέαμα τοῖς βουλομένοις μεθ' ἡμέραν παρέσχον.

ΙΕ. Οὕτω δὲ τοῦ Νυμφιδίου καταστρέψαντος, ὁ Γάλβας πυθόμενος, καὶ τῶν συνωμοτῶν αὐτοῦ κελεύσας ἀποθανεῖν, ὅσοι μὴ δι' αὐτὸν εὐθὺς ἀπέθανον, ἐν οἷς ἦν καὶ Κιγγώνιος, ὁ τὸν λόγον γράψας, καὶ Μιθριδάτης, ὁ Ποντικὸς, ἔδοξε μὴ νομίμως, εἰ καὶ δικαίως, μηδὲ δημοτικῶς, ἀνῃρηκέναι πρὸ κρίσεως ἄνδρας οὐκ ἀσήμους. Ἕτερον γὰρ ἡγεμονίας σχῆμα προσεδέχοντο πάντες, ἐξαπατώμενοι συνήθως ὑπὸ τῶν ἐν ἀρχῇ λεγομένων. Ἔτι δὲ μᾶλλον ἠνίασεν αὐτοὺς ἀνὴρ ὑπατικὸς καὶ Νέρωνι πιστὸς ἀποθανεῖν κελευσθεὶς, Πετρώνιος Τουρπιλιανός. Μάκρωνα γὰρ ἐν Λιβύῃ διὰ Τρεβωνιανοῦ, καὶ Φοντήϊον ἐν Γερμανίᾳ διὰ Οὐάλεντος ἀνελὼν, πρόφασιν εἶχεν ἐν ὅπλοις καὶ στρατοπέδοις ὄντας φοβηθῆναι. Τουρπιλιανὸν δὲ, γέροντα

γυμνὸν καὶ ἄνοπλον, λόγου μεταλαβεῖν οὐδὲν ἐκώλυεν, εἴ τις, ἣν ἐπαγγέλλεται μετριότητα τοῖς πράγμασιν, ἔργῳ φυλάξειν ἔμελλε. Ταῦτα μὲν οὖν τοιαύτας ἔχει μέμψεις. Ἐπεὶ δὲ προσιὼν ἀπεῖχε τῆς πόλεως περὶ πέντε καὶ εἴκοσι ςαδίους, ἐνετύγχανεν ἀκοσμίᾳ καὶ θορύβῳ τῶν ἐρετῶν τὴν ὁδὸν προκατεχόντων καὶ περικεχυμένων πανταχόθεν. Οὗτοι δ' ἦσαν, οὓς εἰς ἓν τάγμα ὁ Νέρων συλλοχίσας, ἀπέφηνε ςρατιώτας· καὶ τότε παρόντος ἐκβεβαιώσασθαι τὴν ςρατιὰν, οὔτ' ὀφθῆναι τοῖς ἀπαντῶσιν, οὔτ' ἀκουσθῆναι, παρίεσαν τὸν αὐτοκράτορα, ἀλλ' ἐθορύβουν βοῇ, σημεῖα τῷ τάγματι καὶ χώραν αἰτοῦντες. Ἐκείνου δ' ὑπερτιθεμένου, καὶ παρεῖναι κελεύσαντος, ἀρνήσεως σχῆμα τὴν ἀναβολὴν εἶναι φάσκοντες, ἠγανάκτουν καὶ παρείποντο, μὴ φειδόμενοι βοῆς. Ἐνίων δὲ καὶ τὰς μαχαίρας σπασαμένων, ἐκέλευσε τοὺς ἱππεῖς ἐμβαλεῖν αὐτοῖς ὁ Γάλβας. Ὑπέςη δ' οὐδεὶς ἐκείνων, ἀλλ' οἱ μὲν εὐθὺς ἀνατραπέντες, οἱ δὲ φεύγοντες διεφθάρησαν, οὐ χρηςὸν, οὐδ' αἴσιον ποιοῦντες τῷ Γάλβᾳ τὸν οἰωνὸν, εἰσιόντι διὰ πολλοῦ φόνου καὶ νεκρῶν τοσούτων εἰς τὴν πόλιν. Ἀλλ' εἴ καί τις αὐτοῦ κατεφρόνει πρότερον, ἀσθενοῦς καὶ γέροντος ὁρωμένου, τότε πᾶσι φρικώδης καὶ φοβερὸς ἐγένετο.

Ιϛ. Βουλόμενος δὲ τῆς περὶ τὰς δωρεὰς ἀμετρίας καὶ πολυτελείας τοῦ Νέρωνος ἀποδεικνύναι μεγάλην μεταβολὴν, ἀςοχεῖν ἐδόκει τοῦ πρέποντος. Κάνου γὰρ αὐλήσαντος αὐτῷ παρὰ δεῖπνον (ἀκρόαμα δ' ἦν ὁ Κάνος εὐδοκιμούμενον), ἐπαινέσας καὶ ἀποδεξάμενος, ἐκέλευσεν αὐτῷ κομισθῆναι τὸ γλωσσόκομον, καὶ λαβὼν χρυσοῦς τινας, ἐπέδωκε τῷ Κάνῳ, φήσας, ἐκ τῶν ἰδίων, οὐκ ἐκ τῶν δημοσίων, χαρίζεσθαι. Τὰς δὲ δωρεὰς, ἃς Νέρων ἔδωκε τοῖς περὶ σκηνὴν καὶ παλαίςραν, ἀπαιτεῖσθαι συντόνως κελεύσας, πλὴν τοῦ δεκάτου μέρους· εἶτα μικρὰ καὶ γλίσχρα κομιζόμενος (ἀνηλώκεσαν γὰρ οἱ πλεῖςοι τῶν λαβόντων, ἐφήμεροι καὶ σατυρικοὶ τοῖς βίοις ἄνθρωποι), τοὺς πριαμένους

παρ' αὐτῶν, ἢ λαβόντας ὁτιοῦν, ἀνεζήτει, καὶ παρ' ἐκείνων ἐξέπραττε. Τοῦ δὲ πράγματος ὅρον οὐκ ἔχοντος, ἀλλὰ πόῤῥω νεμομένου καὶ προϊόντος ἐπὶ πολλοὺς, αὐτὸς μὲν ἠδόξει, φθόνον δὲ καὶ μῖσος εἶχεν Οὐίνιος, ὡς τοῖς μὲν ἄλλοις ἅπασιν ἀνελεύθερον παρέχων τὸν ἡγεμόνα καὶ μικρολόγον, αὐτὸς δὲ χρώμενος ἀσώτως, καὶ λαμβάνων πάντα καὶ πιπράσκων. Ὁ μὲν γὰρ Ἡσίοδος·

Ἀρχομένου τε πίθου καὶ λήγοντος κορέσασθαι

φησὶ δεῖν· ὁ δ' Οὐίνιος, ὁρῶν ἀσθενῆ καὶ γέροντα τὸν Γάλβαν, ἐνεπίμπλατο τῆς τύχης, ὡς ἅμα μὲν ἀρχομένης, ἅμα δὲ φθινούσης.

ΙΖ. Ὁ δὲ πρεσβύτης ἠδικεῖτο, τὰ μὲν πρῶτα τοῦ Οὐινίου κακῶς διοικοῦντος, ἃ δ' αὐτὸς ὀρθῶς προῃρεῖτο διαβάλλοντος, ἢ κωλύοντος· οἷον ἦν τὸ περὶ τὰς κολάσεις τῶν Νερωνιανῶν. Ἀπέκτεινε γὰρ τοὺς πονηροὺς, ἐν οἷς ἦν ὁ Ἥλειος, καὶ Πολύκλειτος, καὶ Πετῖνος, καὶ Πατρόβιος. Ὁ δὲ δῆμος ἐκρότει, καὶ δι' ἀγορᾶς αὐτῶν ἀγομένων, ἐβόα, καλὴν μὲν εἶναι καὶ θεοφιλῆ πομπήν· ἀπαιτεῖν δὲ καὶ θεοὺς καὶ ἀνθρώπους τὸν διδάσκαλον καὶ παιδαγωγὸν τῆς τυραννίδος, Τιγελλῖνον. Ἐφθάκει δ' ὁ γενναῖος προειληφὼς ἀῤῥαβῶσι μεγάλοις τὸν Οὐίνιον. Εἶτα Τουρπιλιανὸς μὲν, ὅτι μὴ προεδίδου, μηδ' ἐμίσει τὸν ἡγεμόνα, τοιοῦτον ὄντα, μισούμενος, ἄλλο δὲ μηδὲ ἓν μέγα συναδικήσας, ἀπέθανεν· ὁ δὲ καὶ ποιήσας ἄξιον θανάτου Νέρωνα, καὶ γενόμενον τοιοῦτον ἐγκαταλιπὼν καὶ προδοὺς, περιῆν μέγα δίδαγμα τοῦ μηδὲν ἄπρακτον εἶναι παρ' Οὐϊνίῳ, μηδ' ἀνέλπιστον τοῖς διδοῦσιν. Οὐδενὸς γὰρ οὕτω θεάματος ἐρασθεὶς ὁ Ῥωμαίων δῆμος, ὡς τοῦ Τιγελλῖνον ἰδεῖν ἀπαγόμενον, οὐδὲ παυσάμενος ἐν πᾶσι θεάτροις καὶ ςαδίοις αἰτούμενος ἐκεῖνον, ἐπεπλήχθη διαγράμματι τοῦ αὐτοκράτορος, Τιγελλῖνον μὲν οὐ πολὺν ἔτι βιώσεσθαι φάσκοντος χρόνον, ὑπὸ φθινάδος νόσου

δαπανώμενον, ἐκείνους δὲ παραιτουμένου μὴ διαγριαίνειν, μηδὲ τυραννικὴν ποιεῖν τὴν ἡγεμονίαν. Ἀχθομένου δὲ τοῦ δήμου καταγελῶντες, ὁ μὲν Τιγελλῖνος ἔθυσε σωτήρια, καὶ παρεσκεύασε λαμπρὰν ἑστίασιν· ὁ δ' Οὐΐνιος ἀναστὰς παρὰ τοῦ αὐτοκράτορος μετὰ δεῖπνον, ἐκώμασεν ὡς ἐκεῖνον, ἄγων τὴν θυγατέρα χήραν οὖσαν. Καὶ προὔπιεν ὁ Τιγελλῖνος αὐτῇ πέντε καὶ εἴκοσι μυριάδας ἀργυρίου· καὶ τῶν παλλακίδων τὴν ἀγελαρχοῦσαν ἐκέλευσε τὸν περιδέραιον κόσμον ἀφελομένην ἐκείνῃ περιάψαι, πεντεκαίδεκα μυριάδων εἶναι λεγόμενον.

III. Ἐκ δὲ τούτου καὶ τὰ μετρίως πραττόμενα διαβολὴν εἶχεν, ὡς τὰ πρὸς τοὺς Γαλάτας Οὐΐνδικι συναραμένους. Ἐδόκουν γὰρ οὐ φιλανθρωπίᾳ τοῦ αὐτοκράτορος, ἀλλ' ὠνούμενοι παρ' Οὐϊνίου, τυγχάνειν ἀνέσεώς τε δασμῶν καὶ πολιτείας. Οἱ μὲν οὖν πολλοὶ διὰ ταῦτα πρὸς τὴν ἡγεμονίαν ἀπηχθάνοντο· τοὺς δὲ στρατιώτας, τὴν δωρεὰν μὴ κομιζομένους, ἐν ἀρχῇ μὲν ἐλπὶς παρῆγεν, ὡς, εἰ καὶ μὴ τοσοῦτον, ἀλλ' ὅσον Νέρων ἔδωκεν, ἀποδώσοντος. Ἐπεὶ δὲ, μεμφομένους ἀκούσας, ἀφῆκε φωνὴν ἡγεμόνι μεγάλῳ πρέπουσαν, εἰπὼν, εἰωθέναι καταλέγειν στρατιώτας, οὐκ ἀγοράζειν, πυθομένοις τοῦτο δεινὸν εἰσῆλθε μῖσος καὶ ἄγριον πρὸς αὐτόν. Ἐδόκει γὰρ οὐκ αὐτὸς ἀποστερεῖν μόνος, ἀλλὰ νομοθετεῖν καὶ διδάσκειν τοὺς μεθ' αὐτὸν αὐτοκράτορας. Ἀλλὰ τῶν μὲν ἐν Ῥώμῃ τυφλὸν ἦν ἔτι κίνημα, καί τις αἰδὼς ἅμα πρὸς παρόντα τὸν Γάλβαν ἀμβλύτητα καὶ μέλλησιν ἐνεποίει τῷ νεωτερισμῷ, καὶ τὸ μηδεμίαν ἀρχὴν ἐμφανῆ μεταβολῆς ὁρᾶσθαι, συνέστελλε καὶ συνέκρυπτεν ἀμωσγέπως τὴν δυσμένειαν αὐτῶν. Οἱ δὲ πρότερον ὑπὸ Οὐεργινίῳ γενόμενοι, τότε δ' ὄντες ὑπὸ Φλάκκῳ περὶ Γερμανίαν, μεγάλων μὲν ἀξιοῦντες αὐτοὺς διὰ τὴν μάχην, ἣν ἐμαχέσαντο πρὸς Οὐΐνδικα, μηδενὸς δὲ τυγχάνοντες, ἀπαρηγόρητοι τοῖς ἄρχουσιν ἦσαν. Αὐτὸν δὲ τὸν Φλάκκον, ὑπὸ συντόνου ποδάγρας

ἀδύνατον ὄντα τῷ σώματι, καὶ πραγμάτων ἄπειρον, ἐν οὐδενὶ λόγῳ τοπαράπαν ἐποιοῦντο. Καί ποτε θέας οὔσης, καὶ τῶν χιλιάρχων καὶ λοχαγῶν τὸ Ῥωμαίοις σύνηθες εὐτυχίαν ἐπευχομένων τῷ αὐτοκράτορι Γάλβᾳ, διεθορύβησαν οἱ πολλοὶ τὸ πρῶτον, εἶτα ταῖς εὐχαῖς ἐπιμενόντων ἐκείνων, ἀντεφώνουν· « Εἰ ἄξιος ».

ΙΘ. Τοιαῦτα δ' ἕτερα καὶ τῶν ὑπὸ Τιγελλίνῳ ταγμάτων ὑβριζόντων πολλάκις, ἐπέμπετο γράμματα τῷ Γάλβᾳ παρὰ τῶν ἐπιτρόπων. Ὁ δὲ, φοβηθεὶς, ὡς μὴ μόνον διὰ τὸ γῆρας, ἀλλὰ καὶ διὰ τὴν ἀπαιδίαν, καταφρονούμενος, ἐβουλεύετο παῖδα θέσθαι τῶν ἐπιφανῶν τινα νεανίσκων, καὶ διάδοχον ἀποδεῖξαι τῆς ἀρχῆς· ἦν δὲ Μάρκος Ὄθων, ἀνὴρ γένει μὲν οὐκ ἀφανὴς, τρυφῇ δὲ καὶ φιληδονίαις εὐθὺς ἐκ παίδων ἐν ὀλίγοις Ῥωμαίων διεφθαρμένος. Ὡς δὲ τὸν Ἀλέξανδρον Ὅμηρος, Ἑλένης πόσιν ἠϋκόμοιο, μηδὲν ἔχοντα πρὸς δόξαν ἄλλο, σεμνύνων ἀπὸ τῆς γυναικὸς ὀνομάζει πολλάκις, οὕτως γεγονὼς περιβόητος ἐν Ῥώμῃ διὰ τὸν Ποππαίας γάμον, ἧς ἤρα μὲν ὁ Νέρων Κρισπίνῳ συνούσης, ἔτι δ' αἰδούμενος τὴν ἑαυτοῦ γυναῖκα, καὶ τὴν μητέρα φοβούμενος, ὑφῆκε τὸν Ὄθωνα πειρῶντα τὴν Ποππαίαν. Φίλῳ δὲ τῷ Ὄθωνι καὶ συμβιωτῇ διὰ τὴν ἀσωτίαν ἐχρῆτο· καὶ σκωπτόμενος ὑπ' αὐτοῦ πολλάκις εἰς μικρολογίαν καὶ ἀνελευθερίαν ἔχαιρε. Λέγεται δέ ποτε μύρῳ τῶν πολυτελῶν χρισαμένου τοῦ Νέρωνος, καὶ τὸν Ὄθωνα καταβρέξαντος, ἐκεῖνος πάλιν τῇ ὑστεραίᾳ, δεχόμενος αὐτὸν, ἅμα πολλαχόθεν ἀργυροῦς καὶ χρυσοῦς προβαλεῖν ἄφνω σωλῆνας, ὥσπερ ὕδωρ τὸ μύρον ἐκχέοντας καὶ κατακλύζοντας. Ἀλλά τήν γε Ποππαίαν προμοιχεύσας τῷ Νέρωνι, καὶ διαφθείρας ταῖς εἰς ἐκεῖνον ἐλπίσιν, ἔπεισεν ἀποστῆναι τοῦ ἀνδρός. Ἐλθούσης δὲ παρ' αὐτὸν, ὡς γαμετῆς, οὐκ ἠγάπα μετέχων, ἀλλ' ἤσχαλλε μεταδιδούς· οὐδ' αὐτῆς ἀχθομένης, ὥς φασι, τῇ ζηλοτυπίᾳ τῆς

Ποππαίας. Καὶ γὰρ ἀποκλεῖσαι τὸν Νέρωνα λέγεται, μὴ παρόντος τοῦ Ὄθωνος, εἴτε τῆς ἡδονῆς ἀφαιροῦσα τὸ πλήσμιον, εἴτε, ὥς φασιν ἔνιοι, βαρυνομένη τὸν Καίσαρος γάμον, ἐραστῇ δὲ μὴ φεύγουσα χρῆσθαι διὰ τὸ φιλακόλαστον. Ἐκινδύνευσεν οὖν ὁ Ὄθων ἀποθανεῖν· καὶ παράλογον ἦν, ὅτι, τὴν γυναῖκα καὶ ἀδελφὴν ἀποκτείνας διὰ τὸν Ποππαίας γάμον, ἐφείσατο τοῦ Ὄθωνος.

Κ. Σενέκαν δ' εἶχεν εὔνουν· κἀκείνου τὸν Νέρωνα πείσαντος καὶ παραινέσαντος, ἐξεπέμφθη Λυσιτανῶν ςρατηγὸς ἐπὶ τὸν Ὠκεανόν. Καὶ παρέσχεν ἑαυτὸν οὐκ ἄχαριν, οὐδ' ἐπαχθῆ τοῖς ὑπηκόοις, εἰδὼς φυγῆς ὑποκόρισμα καὶ παρακάλυμμα τὴν ἀρχὴν αὐτῷ δεδομένην. Ἀποςάντος δὲ Γάλβα, πρῶτος αὐτῷ προσεχώρησε τῶν ἡγεμόνων, καὶ φέρων, ὅσον εἶχεν ἐν ἐκπώμασι καὶ τραπέζαις, ἄργυρον καὶ χρυσὸν, ἔδωκε κατακόψαι ποιουμένῳ νόμισμα· καὶ τῶν οἰκετῶν ἐδωρήσατο τοὺς εἰθισμένους περὶ δίαιταν ἡγεμόνι ἐμμελῶς ὑπουργεῖν. Καὶ τὰ ἄλλα πιςὸς ἦν αὐτῷ, καὶ διδοὺς πεῖραν, οὐδενὸς ἧττον ἐδόκει πραγμάτων ἔμπειρος εἶναι· καὶ βαδίζοντι τὴν ὁδὸν ἅπασαν ἐφ' ἡμέρας πολλὰς συνοχούμενος διετέλεσεν. Ἐν δὲ τῇ συνοδίᾳ καὶ ἡ συνήθεια τὸν Οὐίνιον ἐξεθεράπευσεν ὁμιλίᾳ καὶ δώροις· μάλιςα δὲ τῶν πρωτείων ὑφιέμενος αὐτῷ, τό γε μετ' ἐκεῖνον δύνασθαι, δι' ἐκεῖνον εἶχε βεβαίως. Τῷ δ' ἀνεπιφθόνῳ περιῆν, προῖκα συμπράττων πάντα τοῖς δεομένοις, καὶ παρέχων ἑαυτὸν εὐπροσήγορον καὶ φιλάνθρωπον ἅπασι. Πλεῖςα δὲ τοῖς ςρατιωτικοῖς συνελάμβανε, καὶ προῆγε πολλοὺς ἐφ' ἡγεμονίας, τὰ μὲν αἰτούμενος ἀπὸ τοῦ αὐτοκράτορος, τὰ δὲ τὸν Οὐίνιον καὶ τοὺς ἀπελευθέρους παρακαλῶν, Ἴκελον καὶ Ἀσιατικόν. Οὗτοι γὰρ ἦσαν ἐν δυνάμει μάλιςα τῶν περὶ τὴν αὐλήν. Ὁσάκις δὲ τὸν Γάλβαν εἱςτία, τὴν παραφυλάττουσαν αἰεὶ σπεῖραν ἐδέκαζε,

χρυσοῦν ἑκάςῳ διανέμων, οἷς τιμᾶν αὐτὸν ἐδόκει, καταπολιτευόμενος καὶ δημαγωγῶν τὸ ςρατιωτικόν.

ΚΑ. Ἀλλ' οὖν βουλευομένου γε τοῦ Γάλβα περὶ διαδόχου, τὸν Ὄθωνα παρεισῆγεν ὁ Οὐίνιος· οὐδὲ τοῦτο προῖκα πράσσων, ἀλλ' ἐπὶ γάμῳ τῆς θυγατρὸς, ὁμολογίας γενομένης, γαμεῖν αὐτὴν τὸν Ὄθωνα, παῖδα τοῦ Γάλβα καὶ διάδοχον ἀποδειχθέντα τῆς ἡγεμονίας. Ὁ δὲ Γάλβας ἀεὶ μὲν ἦν δῆλος πρὸ τοῦ ἰδίου τὸ κοινὸν τιθέμενος, καὶ ζητῶν οὐχ αὑτῷ θέσθαι τὸν ἥδιςον, ἀλλὰ Ῥωμαίοις τὸν ὠφελιμώτατον· δοκεῖ δὲ μηδ' ἂν ἐπὶ τοῖς ἰδίοις χρήμασι μόνον ἑλέσθαι τὸν Ὄθωνα κληρονόμον, ἀκόλαςον εἰδὼς καὶ πολυτελῆ, καὶ πεντακισχιλίων μυριάδων ὀφλήμασι βεβαπτισμένον. Ὅθεν ἀκούσας τοῦ Οὐινίου, σιωπῇ καὶ πρᾴως ὑπερέθετο τὴν διάθεσιν. Ἀποδείξας δ' αὐτὸν ὕπατον καὶ συνάρχοντα τὸν Οὐίνιον, ἐπίδοξος ἦν ἔτους ἀρχῇ τὸν διάδοχον ἀναγορεύσειν. Καὶ τὸ ςρατιωτικὸν ἡδέως εἶχε τὸν Ὄθωνα παρ' ὁντινοῦν ἄλλον ἀναγορευθῆναι.

ΚΒ. Καταλαμβάνει δ' αὐτὸν ἔτι μέλλοντα καὶ βουλευόμενον ἐκραγέντα τὰ Γερμανικά. Κοινῇ γὰρ ἅπαντες οἱ ςρατευόμενοι τὸν Γάλβαν ἐμίσουν, οὐκ ἀποδιδόντα τὴν δωρεάν· ἰδίας δ' ἐκεῖνοι προφάσεις ἐποιοῦντο, Οὐεργίνιόν τε Ῥοῦφον ἀπερριμμένον ἀτίμως, καὶ Γαλατῶν τοὺς πολεμήσαντας αὐτοῖς δωρεῶν τυγχάνοντας· ὅσοι δὲ μὴ προσέθεντο Οὐίνδικι κολαζομένους, ᾧ μόνῳ τὸν Γάλβαν χάριν εἰδέναι, καὶ τιμᾶν τεθνηκότα καὶ γεραίρειν δημοσίοις ἐναγισμοῖς, ὡς ὑπ' ἐκείνου Ῥωμαίων ἀποδεδειγμένον αὐτοκράτορα. Τοιούτων ἀναφανδὸν ἤδη λόγων ἐν τῷ ςρατοπέδῳ περιφερομένων, ἐπῆλθεν ἡ νουμηνία τοῦ πρώτου μηνὸς, ἣν Καλάνδας Ἰανουαρίας καλοῦσι· τοῦ δὲ Φλάκκου συναγαγόντος αὐτοὺς ἐπὶ τὸν ὅρκον, ὃν ἔθος ἐςὶν ὀμνύειν ὑπὲρ τοῦ αὐτοκράτορος, τὰς μὲν εἰκόνας τοῦ Γάλβα προσελθόντες ἀνέτρεψαν καὶ κατέσπασαν· αὐτοὶ δ' ὀμόσαντες ὑπὲρ συγκλήτου

καὶ δήμου Ῥωμαίων διελύθησαν. Εἶτα τοῖς ἡγεμονικοῖς παρίςατο δεδοικέναι τὴν ἀναρχίαν, ὡς ἀπόςασιν. Λέγει δέ τις ἐν αὐτοῖς· «Τί πάσχομεν, ὦ συςρατιῶται, μήτ' ἄλλον ἡγεμόνα » ποιούμενοι, μήτε τὸν νῦν ὄντα φυλάττοντες, ὥσπερ οὐ Γάλ- » βαν, ἀλλ' ὅλως ἄρχοντα καὶ τὸ ἄρχεσθαι φεύγοντες; Φλάκ- » κον μὲν οὖν Ὀρδεώνιον οὐδὲν ἄλλο, ἢ σκιὰν ὄντα Γάλβα » καὶ εἴδωλον, ἐατέον· ἡμέρας δὲ μιᾶς ὁδὸν ἀφέςηκεν ἡμῶν » Οὐϊτέλλιος, ὁ τῆς ἑτέρας Γερμανίας ἡγούμενος, πατρός τε » τιμητοῦ καὶ τρισυπάτου γενομένου, καὶ Κλαυδίῳ Καίσαρι » τρόπον τινὰ συνάρξαντος· αὐτός τε τὴν λοιδορουμένην ὑπ' » ἐνίων πενίαν δεῖγμα λαμπρὸν ἔχων χρηςότητος καὶ μεγα- » λοφροσύνης. Φέρε, τοῦτον ἑλόμενοι, δείξωμεν ἀνθρώποις » πᾶσιν, ὡς Ἰβήρων καὶ Λυσιτανῶν ἀμείνους ἐσμὲν αὐτο- » κράτορα αἱρεῖσθαι». Ταῦτα τῶν μὲν ἤδη προσιεμένων, τῶν δ' οὐ προσιεμένων, εἷς ὑπεξελθὼν σημαιοφόρος, ἀπήγγειλε τῷ Οὐϊτελλίῳ, νυκτὸς ἑςιωμένων πολλῶν παρ' αὐτῷ. Τοῦ δὲ λόγου διαπεσόντος εἰς τὰ ςρατεύματα, πρῶτος Φάβιος Οὐάλης, ἡγεμὼν ἑνὸς τάγματος, τῇ ὑςεραίᾳ μεθ' ἱππέων συχνῶν ἐλάσας, αὐτοκράτορα τὸν Οὐϊτέλλιον προσεῖπεν. Ὁ δὲ τὰς μὲν ἔμπροσθεν ἡμέρας ἐδόκει διωθεῖσθαι καὶ ἀναδύεσθαι, τὸ μέγεθος τῆς ἀρχῆς φοβούμενος· τότε δέ φασιν, οἴνου διάπλεων καὶ τροφῆς ὄντα μεσημβρινῆς, προελθεῖν καὶ ὑπακοῦσαι, Γερμανικὸν ὄνομα θεμένων αὐτῷ, τὸ δὲ Καίσαρος οὐ προσδεξάμενον. Εὐθὺς δὲ καὶ τὸ μετὰ Φλάκκου ςράτευμα τοὺς καλοὺς ἐκείνους καὶ δημοκρατικοὺς εἰς σύγκλητον ὅρκους ἀφέντες, ὤμοσαν Οὐϊτελλίῳ τῷ αὐτοκράτορι ποιήσειν τὸ προςασσόμενον.

ΚΓ. Οὕτω μὲν ἀνηγορεύθη Οὐϊτέλλιος αὐτοκράτωρ ἐν Γερμανίᾳ· πυθόμενος δὲ τὸν ἐκεῖ νεωτερισμὸν ὁ Γάλβας, οὐκέτι τὴν εἰσποίησιν ἀνεβάλετο. Γινώσκων δὲ, τῶν φίλων ἐνίους μὲν ὑπὲρ Δολαβέλλα, τοὺς δὲ πλείςους ὑπὲρ Ὄθωνος ἀρχαιρεσιάζοντας,

ὧν οὐδέτερον ἐδοκίμαζεν αὐτὸς, ἄφνω μηδὲν προειπὼν μετεπέμψατο Πείσωνα, Κράσσου καὶ Σκριβωνίας ἔκγονον, οὓς Νέρων ἀνῃρήκει, νεανίαν ἐν τῇ πρὸς πᾶσαν ἀρετὴν εὐφυΐᾳ τὸ κόσμιον καὶ αὐστηρὸν ἐμφανέστατα ἔχοντα· καὶ κατέβαινεν εἰς τὸ στρατόπεδον, ἐκεῖνον ἀποδείξων Καίσαρα καὶ διάδοχον. Καίτοι μεγάλαι μὲν εὐθὺς ἐξιόντι διοσημεῖαι παρηκολούθουν· ἀρξαμένου δὲ τὰ μὲν λέγειν ἐν τῷ στρατοπέδῳ, τὰ δ' ἀναγινώσκειν, τοσαυτάκις ἐβρόντησε καὶ κατήστραψε, καὶ τοσοῦτος ὄμβρος καὶ ζόφος ἐξεχύθη εἰς τὸ στρατόπεδον καὶ τὴν πόλιν, ὡς κατάδηλον εἶναι μὴ προσιέμενον, μηδ' ἐπαινοῦν τὸ δαιμόνιον γινομένην οὐκ ἐπ' ἀγαθῷ τὴν εἰσποίησιν. Ἦν δὲ καὶ τὰ τῶν στρατιωτῶν ὕπουλα καὶ σκυθρωπὰ, μηδὲ τότε δωρεᾶς αὐτοῖς δοθείσης. Τοῦ δὲ Πείσωνος οἱ παρόντες ἐθαύμασαν, τῇ τε φωνῇ τεκμαιρόμενοι καὶ τῷ προσώπῳ, τὸ τηλικαύτην χάριν ἀνεκπλήκτως, οὐ μὴν ἀναισθήτως, δεχόμενον· ὥσπερ αὖ τοῦ Ὄθωνος ἐπεφαίνετο πολλὰ σημεῖα τῇ μορφῇ πικρῶς καὶ σὺν ὀργῇ τῆς ἐλπίδος τὴν ἀπότευξιν φέροντος, ἧς πρῶτος ἀξιωθεὶς, καὶ τοῦ τυχεῖν ἐγγυτάτω γενόμενος, τὸ μὴ τυχεῖν ἐποιεῖτο σημεῖον ἔχθους ἅμα καὶ κακονοίας τοῦ Γάλβα πρὸς αὐτόν. Ὅθεν οὐδ' ἄφοβος ἦν περὶ τοῦ μέλλοντος, ἀλλὰ καὶ τὸν Πείσωνα δεδιὼς, καὶ τὸν Γάλβαν προβαλλόμενος, καὶ τῷ Οὐϊνίῳ χαλεπαίνων, ἀπῄει πολλῶν παθῶν πλήρης. Οὐδὲ γὰρ τὸ ἐλπίζον ἐκλιπεῖν, οὐδ' ἀπαγορεῦσαι παντάπασιν, εἴων οἱ περὶ αὐτὸν ὄντες ἀεὶ μάντεις καὶ Χαλδαῖοι, εἰς τὰ μάλιστα δὲ Πτολεμαῖος, ἰσχυριζόμενος τῷ προειπεῖν πολλάκις, ὡς οὐκ ἀποκτενεῖ Νέρων αὐτὸν, ἀλλὰ τεθνήξεται πρότερος, αὐτὸς δὲ περιέσται καὶ ἄρξει Ῥωμαίων (ἐκεῖνο γὰρ ἀληθὲς ἀποδείξας, ἠξίου μηδὲ ταῦτα ἀπελπίζειν), οὐχ ἥκιστα δ' οἱ συναχθόμενοι κρύφα καὶ συνεπιστένοντες ὡς ἀχάριστα πεπονθότι· πλεῖστοι δὲ [καὶ] τῶν περὶ Τιγελλῖνον καὶ Νυμφίδιον ἐν τιμῇ γεγονότων, ἀπερριμμένοι τότε καὶ

ταπεινὰ πράττοντες, ἐφθείροντο πρὸς αὐτὸν, καὶ συνηγανάκτουν καὶ παρώξυνον.

ΚΔ. Ἐν δὲ τούτοις Οὐετούριος καὶ Βάρβιος, ὁ μὲν Ὀπτίων, ὁ δὲ Τεσσεράριος (οὕτω γὰρ καλοῦνται οἱ διαγγέλων καὶ διοπτήρων ὑπηρεσίας τελοῦντες), μεθ' ὧν Ὄθωνος ἀπελεύθερος, Ὀνομαστὸς, ἐπιφοιτῶντες, τοὺς μὲν ἀργυρίῳ, τοὺς δ' ἐλπίσι διέφθειρον, ἤδη σαθροὺς ὄντας καὶ δεομένους προφάσεως. Οὐ γὰρ ἦν ἡμερῶν τεσσάρων ἔργον, ὑγιαίνοντος στρατοπέδου μεταστῆσαι πᾶσιν, ὅσαι μεταξὺ τῆς εἰσποιήσεως ἐγένοντο καὶ τῆς σφαγῆς. Ἕκτῃ γὰρ ἀνῃρέθησαν, ἣν ἄγουσι Ῥωμαῖοι πρὸ δεκαοκτὼ Καλανδῶν Φεβρουαρίων. Ἐκείνῃ γὰρ ἕωθεν εὐθὺς ὁ μὲν Γάλβας ἔθυεν ἐν Παλατίῳ, τῶν φίλων παρόντων· ὁ δὲ θύτης, Ὀμβρίκιος, ἅμα τῷ λαβεῖν εἰς τὰς χεῖρας τοῦ ἱερείου τὰ σπλάγχνα, καὶ προσιδεῖν, οὐ δι' αἰνιγμῶν, ἀλλ' ἄντικρυς, ἔφη σημεῖα μεγάλης ταραχῆς, καὶ μετὰ δόλου κίνδυνον ἐκ κεφαλῆς ἐπικείμενον τῷ αὐτοκράτορι· μονονουχὶ τὸν Ὄθωνα τοῦ θεοῦ χειρὶ ληπτὸν παραδιδόντος. Παρῆν γὰρ ὄπισθεν τοῦ Γάλβα, καὶ προσεῖχε τοῖς λεγομένοις καὶ δεικνυμένοις ὑπὸ τοῦ Ὀμβρικίου. Θορυβουμένῳ δ' αὐτῷ, καὶ χρόας ἀμείβοντι παντοδαπὰς ὑπὸ δέους, παραστὰς Ὀνομαστὸς ἀπελεύθερος, ἥκειν ἔφη καὶ περιμένειν αὐτὸν οἴκοι τοὺς ἀρχιτέκτονας. Ἦν δὲ σύμβολον καιροῦ, πρὸς ὃν ἔδει ἀπαντῆσαι τὸν Ὄθωνα τοῖς στρατιώταις. Εἰπὼν οὖν, ὅτι παλαιὰν ἐωνημένος οἰκίαν βούλεται τὰ ὕποπτα δεῖξαι τοῖς πωληταῖς, ἀπῆλθε, καὶ διὰ τῆς Τιβερίου καλουμένης οἰκίας καταβὰς, ἐβάδιζεν εἰς ἀγορὰν, οὗ χρυσοῦς εἱστήκει κίων, εἰς ὃν αἱ τετμημέναι τῆς Ἰταλίας ὁδοὶ πᾶσαι τελευτῶσιν.

ΚΕ. Ἐνταῦθα τοὺς πρώτους ἐκδεξαμένους αὐτὸν καὶ προσειπόντας αὐτοκράτορα φασὶ μὴ πλείους τριῶν καὶ εἴκοσι γενέσθαι. Διὸ, καίπερ οὐ κατὰ τὴν τοῦ σώματος μαλακίαν καὶ

θηλύτητα τῆς ψυχῆς διατεθρυμμένος, ἀλλ' ἰταμὸς ὢν πρὸς τὰ δεινὰ καὶ ἄτρεπτος, ἀπεδειλίασεν. Οἱ δὲ παρόντες οὐκ εἴων, ἀλλὰ τοῖς ξίφεσι γυμνοῖς περιιόντες αὐτοῦ τὸ φορεῖον, ἐκέλευον αἴρεσθαι, παραφθεγγομένου πολλάκις ἀπολωλέναι, καὶ τοὺς φορειοφόρους ἐπιταχύνοντος. Ἐξήκουον γὰρ ἔνιοι θαυμάζοντες μᾶλλον, ἢ ταραττόμενοι διὰ τὴν ὀλιγότητα τῶν ἀποτετολμημένων. Φερομένῳ δὲ οὕτω δι' ἀγορᾶς ἀπήντησαν ἕτεροι τοσοῦτοι, καὶ πάλιν κατὰ τρεῖς καὶ τέτταρας ἄλλοι προσεπέλαζον, εἶτα συνανέστρεφον ἅπαντες ἀνακαλούμενοι Καίσαρα, καὶ γυμνὰ τὰ ξίφη προϊσχόμενοι. Τῶν δὲ χιλιάρχων ὁ τὴν φυλακὴν ἔχων τοῦ ςρατοπέδου, Μαρτιάλιος, ὥς φασι, μὴ συνειδὼς, ἐκπλαγεὶς δὲ τῷ ἀπροσδοκήτῳ καὶ φοβηθεὶς, ἀφῆκεν εἰσελθεῖν. Γενομένῳ δ' ἐντὸς οὐδεὶς ἀντέπεσεν. Οἱ γὰρ ἀγνοοῦντες τὰ πραττόμενα, τοῖς εἰδόσι καὶ συνεςῶσιν ἐκ παρασκευῆς ἐμπεριεχόμενοι καθ' ἕνα καὶ δύο σποράδες, ὑπὸ δέους τὸ πρῶτον, εἶτα πεισθέντες ἐπηκολούθησαν. Εἰς δὲ τὸ Παλάτιον εὐθὺς μὲν ἀπηγγέλη τῷ Γάλβᾳ, παρόντος ἔτι τοῦ θύτου, καὶ τῶν ἱερῶν ἐν χερσὶν ὄντων· ὥςε καὶ τοὺς πάνυ πρὸς τὰ τοιαῦτα δυσπειθῶς καὶ ἀτενῶς ἔχοντας, ἐκπλήττεσθαι καὶ θαυμάζειν τὸ θεῖον. Ὄχλου δὲ παντοδαποῦ συῤῥέοντος ἐξ ἀγορᾶς, αὐτῷ μὲν Οὐίνιος καὶ Λάκων καὶ τῶν ἀπελευθέρων ἔνιοι γυμνὰ τὰ ξίφη προϊσχόμενοι παρέςησαν· ὁ δὲ Πείσων προελθὼν τοῖς φυλάττουσι τὴν αὐλὴν δορυφόροις ἐνετύγχανε. Τοῦ δ' Ἰλλυρικοῦ τάγματος ἐν τῇ καλουμένῃ παςάδι Βιψανίᾳ ςρατοπεδεύοντος, ἀπεςάλη Μάριος Κέλσος, ἀνὴρ ἀγαθὸς, προκαταληψόμενος.

Κϛ. Βουλευομένου δὲ τοῦ Γάλβα προελθεῖν, καὶ Οὐινίου μὲν οὐκ ἐῶντος, Κέλσου δὲ καὶ Λάκωνος παρορμώντων, καὶ σφοδρότερον τοῦ Οὐινίου καθαπτομένων, θροῦς διῆλθε πολὺς, ὡς ἀνῃρημένου τοῦ Ὄθωνος ἐν τῷ ςρατοπέδῳ· καὶ μετὰ μικρὸν ὤφθη Ἰούλιος Ἀττίκιος τῶν οὐκ ἀσήμων ἐν τοῖς δορυφόροις

ϛρατευόμενος, γυμνῷ τῷ ξίφει προσφερόμενος, καὶ βοῶν, ἀνῃρηκέναι τὸν Καίσαρος πολέμιον· ὠσάμενος δὲ διὰ τῶν προεϛώτων, ἔδειξε τῷ Γάλβᾳ τὸ ξίφος ἡμαγμένον. Ὁ δὲ βλέψας πρὸς αὐτόν· « Τίς σε (εἶπεν) ἐκέλευσε »; τοῦ δ' ἀνθρώπου τὴν πίϛιν εἰπόντος, καὶ τὸν ὅρκον, ὃν ὤμοσε, καὶ τοῦ πλήθους ἐπιβοῶντος, ὡς εὖ, καὶ κροτοῦντος, ἐμβὰς εἰς τὸ φορεῖον ἐκομίζετο, τῷ τε Διῒ θῦσαι καὶ φανῆναι τοῖς πολίταις βουλόμενος. Ἐμβαλόντος δ' εἰς τὴν ἀγορὰν, ὥσπερ τροπαία πνεύματος, ἀπήντησε φήμη, κρατεῖν τὸν Ὄθωνα τοῦ ϛρατεύματος. Οἷα δ' ἐν πλήθει τοσούτῳ, τῶν μὲν ἀναϛρέφειν, τῶν δὲ προϊέναι, τῶν δὲ θαῤῥεῖν, τῶν δ' ἀπιϛεῖν βοώντων, καὶ τοῦ φορείου, καθάπερ ἐν κλύδωνι, δεῦρο κἀκεῖσε διαφερομένου, καὶ πυκνὸν ἀπονεύοντος· ἐφαίνοντο πρῶτον ἱππεῖς, εἶτα ὁπλῖται, διὰ τῆς Παύλου Βασιλικῆς προσφερόμενοι, μιᾷ φωνῇ μέγα βοῶντες, ἐκποδὼν ἵϛασθαι τὸν ἰδιώτην. Τῶν μὲν οὖν πολλῶν δρόμος ἦν, οὐ φυγῇ σκιδναμένων, ἀλλ' ἐπὶ τὰς ϛοὰς καὶ τὰ μετέωρα τῆς ἀγορᾶς, ὥσπερ θέαν καταλαμβανόντων. Ἀτιλίου δὲ Βεργιλίωνος εἰκόνα Γάλβα προσουδίσαντος, ἀρχὴν τοῦ πολέμου ποιησάμενοι, περιηκόντισαν τὸ φορεῖον· ὡς δ' οὐκ ἔτυχον αὐτοῦ, προσῆγον ἐσπασμένοις τοῖς ξίφεσιν. Ἤμυνε δ' οὐδεὶς, οὐδ' ὑπέϛη, πλὴν ἑνὸς ἀνδρὸς, ὃν μόνον ἥλιος ἐπεῖδεν ἐν μυριάσι τοσαύταις ἄξιον τῆς Ῥωμαίων ἡγεμονίας, Σεμπρώνιος Ἴνδιϛρος, ἑκατοντάρχης, οὐδὲν ἰδίᾳ χρηϛὸν ὑπὸ Γάλβα πεπονθὼς, τῷ δὲ καλῷ καὶ τῷ νόμῳ βοηθῶν, προέϛη τοῦ φορείου. Καὶ τὸ κλῆμα πρῶτον, ᾧ κολάζουσιν ἑκατοντάρχαι τοὺς πληγῶν δεομένους, ἐπαράμενος, τοῖς ἐπιφερομένοις ἐβόα καὶ διεκελεύετο φείδεσθαι τοῦ αὐτοκράτορος. Ἔπειτα συμπλεκομένων αὐτῷ, σπασάμενος τὸ ξίφος ἠμύνατο πολὺν χρόνον, ἕως τυφθεὶς τὰς ἰγνύας ἔπεσε.

ΚΖ. Τὸν δὲ Γάλβαν, ἀποκλιθέντος τοῦ φορείου περὶ τὸν

Κουρτίου καλούμενον λάκκον, ἐκκυλισθέντα τεθωρακισμένον ἔτυπτον ἐπιδραμόντες. Ὁ δὲ τὴν σφαγὴν προτείνας· « Δρᾶτε » (εἶπεν), εἰ τοῦτο τῷ δήμῳ Ῥωμαίων ἄμεινόν ἐςι ». Πολλὰς μὲν οὖν ἔλαβε πληγὰς εἴς τε τὰ σκέλη καὶ τοὺς βραχίονας· ἀπέσφαξε δ' αὐτὸν, ὡς οἱ πλεῖςοι λέγουσι, Καμούριός τις ἐκ τοῦ πεντεκαιδεκάτου τάγματος. Ἔνιοι δὲ Τερέντιον, οἱ δ' Ἀρκάδιον ἱστοροῦσιν, οἱ δὲ Φάβιον Φάβουλον· ὃν καὶ φασὶν ἀποκόψαντα τὴν κεφαλὴν, κομίζειν τῷ ἱματίῳ συλλαβόντα, διὰ τὴν ψιλότητα δυσπερίληπτον οὖσαν. Ἔπειτα τῶν σὺν αὐτῷ κρύπτειν οὐκ ἐώντων, ἀλλ' ἐκφανῆ πᾶσι ποιεῖν τὴν ἀνδραγαθίαν, περιπείραντα περὶ λόγχην καὶ ἀναπήλαντα πρεσβύτου πρόσωπον, ἄρχοντός τε κοσμίου, καὶ ἀρχιερέως, καὶ ὑπάτου, δρόμῳ χωρεῖν, ὥσπερ αἱ Βάκχαι, πολλάκις μεταςρεφόμενον, καὶ κραδαίνοντα τὴν λόγχην αἵματι καταρρεομένην. Τὸν δ' Ὄθωνα, τῆς κεφαλῆς κομισθείσης, ἀνακραγεῖν λέγουσιν· « Οὐ» δέν ἐστι τοῦτο, ὦ συστρατιῶται, τὴν Πείσωνός μοι κεφαλὴν » δείξατε ». Μετ' ὀλίγον δ' ἧκε κομιζομένη· τρωθεὶς γὰρ ἔφευγεν ὁ νεανίσκος, καὶ καταδιωχθεὶς ὑπὸ Μούρκου τινὸς ἀπεσφάγη πρὸς τῷ ἱερῷ τῆς Ἑςίας. Ἀπεσφάττετο δὲ καὶ Οὐίνιος, ὁμολογῶν κοινωνὸς γεγονέναι τῆς ἐπὶ τὸν Γάλβαν συνωμοσίας. Ἐβόα γὰρ, ἀποθνήσκειν παρὰ τὴν Ὄθωνος γνώμην. Ἀλλὰ γὰρ καὶ τούτου τὴν κεφαλὴν ἀποτεμόντες καὶ Λάκωνος, ἐκόμισαν πρὸς τὸν Ὄθωνα δωρεὰς αἰτοῦντες. Ὥσπερ δέ φησιν Ἀρχίλοχος·

Ἑπτὰ γὰρ νεκρῶν πεσόντων, οὓς ἐμάρψαμεν ποσί,
Χίλιοι φονῆες ἐσμέν·

οὕτω τότε πολλοὶ, τοῦ φόνου μὴ συνεφαψάμενοι, χεῖρας δὲ καὶ ξίφη καθαιμάσσοντες ἐπεδείκνυντο, καὶ τὰς δωρεὰς ᾔτουν, βιβλία διδόντες τῷ Ὄθωνι. Εἴκοσι γοῦν καὶ ἑκατὸν εὑρέθησαν ὕςερον ἐκ τῶν γραμματείων, οὓς ὁ Οὐϊτέλλιος ἀναζητήσας ἅπαντας ἀπέκτεινεν. Ἧκε δὲ καὶ Μάριος Κέλσος εἰς τὴν παρεμβολήν·

βολήν· καὶ πολλῶν αὐτοῦ κατηγορούντων, ὅτι τοὺς ςρατιώτας ἔπειθε τῷ Γάλβᾳ βοηθεῖν, καὶ τοῦ πλήθους ἀποκτιννύειν βοῶντος, Ὄθων οὐκ ἐβούλετο. Φοβούμενος δ' ἀντιλέγειν, οὐχ οὕτως ἔφη ταχέως ἀποκτενεῖν αὐτόν· εἶναι γὰρ, ἃ δεῖ πρότερον ἐκπυθέσθαι παρὰ τοῦ ἀνδρός. Ἐκέλευσεν οὖν δήσαντας φυλάττειν, καὶ παρέδωκε τοῖς μάλιςα πιςευομένοις.

ΚΗ. Εὐθὺς δὲ βουλὴ συνεκαλεῖτο· καὶ καθάπερ ἄλλοι γεγονότες, ἢ θεῶν ἄλλων γεγονότων, συνελθόντες ὤμνυον ὅρκον ὑπὲρ τοῦ Ὄθωνος, ὃν αὐτὸς ὀμόσας οὐκ ἐτήρησε· καὶ Καίσαρα καὶ Σεβαςὸν ἀνηγόρευον, ἔτι τῶν νεκρῶν ἀκεφάλων ἐν ταῖς ὑπατικαῖς ἐσθῆσιν ἐῤῥιμμένων ἐπὶ τῆς ἀγορᾶς. Ταῖς δὲ κεφαλαῖς ὡς οὐδὲν εἶχον ἔτι χρῆσθαι, τὴν μὲν Οὐϊνίου τῇ θυγατρὶ δισχιλίων καὶ πεντακοσίων δραχμῶν ἀπέδοντο, τὴν δὲ Πείσωνος ἡ γυνὴ ἔλαβεν Οὐερανία δεηθεῖσα, τὴν δὲ Γάλβα τοῖς Πατροβίου *καὶ Οὐϊτελλίου* δούλοις ἐδωρήσαντο. Λαβόντες δ' ἐκεῖνοι, καὶ πάντα τρόπον αἰκισάμενοι καὶ καθυβρίσαντες, ἔῤῥιψαν, ἧ τοὺς ὑπὸ τῶν Καισάρων κολαζομένους θανατοῦσιν· ὁ δὲ τόπος Σησέρτιον καλεῖται. Τὸ δὲ σῶμα τοῦ Γάλβα Πρίσκος Ἐλβίδιος ἀνείλετο, τοῦ Ὄθωνος ἐπιτρέψαντος· ἔθαψε δὲ νυκτὸς Ἀργεῖος ἀπελεύθερος.

ΚΘ. Τοιαῦτα τὰ κατὰ τὸν Γάλβαν, ἄνδρα μήτε γένει, μήτε πλούτῳ, πολλῶν ἀπολειφθέντα Ῥωμαίων, ὁμοῦ δὲ πλούτῳ καὶ γένει πρωτεύσαντα πάντων τῶν καθ' αὑτὸν, πέντε αὐτοκρατόρων ἡγεμονίαις ἐμβιώσαντα μετὰ τιμῆς καὶ δόξης· ὥςε τῇ δόξῃ μᾶλλον, ἢ τῇ δυνάμει, καθελὼν Νέρωνα, τῶν συνεπιθεμένων τότε τοὺς μὲν οὐδεὶς ἠξίωσε τῆς ἡγεμονίας, οἱ δ' [αὐτοὶ] ἑαυτοὺς ἠξίωσαν· Γάλβας δὲ καὶ κληθεὶς καὶ ὑπακούσας αὐτοκράτωρ, καὶ τῇ Οὐΐνδικος ἐμπαρασχὼν ὄνομα τόλμῃ, κίνημα καὶ νεωτερισμὸν αὐτοῦ λεγομένην τὴν ἀπόςασιν, ἐποίησε πόλεμον ἐμφύλιον, ἀνδρὸς ἡγεμονικοῦ τυχοῦσαν. Ὅθεν οὐχ ἑαυτῷ

τὰ πράγματα λαμβάνειν, ἀλλὰ μᾶλλον ἑαυτὸν οἰόμενος διδόναι τοῖς πράγμασιν, ἄρχειν ἠξίου τῶν ὑπὸ Τιγελλίνου καὶ Νυμφιδίου τετιθασσευμένων, ὡς Σκιπίων ἦρχε καὶ Φαβρίκιος καὶ Κάμιλλος τῶν τότε Ῥωμαίων. Ὑπερειπόμενος δὲ τῷ γήρᾳ, ἄχρι τῶν ὅπλων καὶ τῶν στρατευμάτων ἄκρατος ἦν καὶ ἀρχαῖος αὐτοκράτωρ. Οὐϊνίῳ δὲ καὶ Λάκωνι καὶ τοῖς ἀπελευθέροις πάντα τὰ πράγματα πωλοῦσι παρέχων ἑαυτὸν, οἷον Νέρων παρεῖχε τοῖς ἀπληστοτάτοις, οὐδένα ποθοῦντα τὴν ἀρχὴν, οἰκτείραντας δὲ τοὺς πολλοὺς τὸν θάνατον ἀπέλιπεν.

ΛΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

# ΠΛΟΥΤΑΡΧΟΥ ΟΘΩΝ.

Ὁ δὲ νεώτερος αὐτοκράτωρ ἅμ' ἡμέρᾳ προελθὼν εἰς τὸ Καπιτώλιον ἔθυσε, καὶ κελεύσας Μάριον Κέλσον ἀχθῆναι πρὸς αὐτὸν, ἠσπάσατο καὶ διελέχθη φιλανθρώπως, καὶ παρεκάλεσε τῆς αἰτίας ἐπιλαθέσθαι μᾶλλον, ἢ τῆς ἀφέσεως μνημονεύειν. Τοῦ δὲ Κέλσου μήτ' ἀγεννῶς ἀποκριναμένου, μήτ' ἀναισθήτως, ἀλλὰ φήσαντος αὐτοῦ τοῦ τρόπου διδόναι τὸ ἔγκλημα πίςιν· ἐγκεκλῆσθαι γὰρ, ὅτι Γάλβᾳ βέβαιον ἑαυτὸν παρέσχεν, ᾧ χάριν οὐδεμίαν ὤφειλεν· ἠγάσθησαν οἱ παρόντες ἀμφοτέρων, καὶ τὸ ςρατιωτικὸν ἐπήνεσεν. Ἐν δὲ συγκλήτῳ πολλὰ δημοτικὰ καὶ φιλάνθρωπα διαλεχθεὶς, ὃν μὲν αὐτὸς ὑπατεύειν χρόνον ἤμελλε, τούτου μέρος ἔνειμεν Οὐεργινίῳ Ῥούφῳ, τοῖς δ' ἀποδεδειγμένοις ὑπὸ Νέρωνος, ἢ Γάλβα, πᾶσιν ἐτήρησε τὰς ὑπατείας. Ἱερωσύναις δὲ τοὺς καθ' ἡλικίαν προήκοντας, ἢ δόξαν, ἐκόσμησε. Τοῖς δ' ἐπὶ Νέρωνος φυγοῦσι, καὶ κατελθοῦσιν ἐπὶ Γάλβα, συγκλητικοῖς πᾶσιν ἀπέδωκεν, ὅσα μὴ πεπραμένα τῶν κτημάτων ἑκάςου ἐξεύρισκεν. Ὅθεν οἱ πρῶτοι καὶ κράτιςοι πεφρικότες πρότερον, ὡς οὐκ ἀνδρὸς, ἀλλά τινος ἢ ποινῆς, ἢ παλαμναίου δαίμονος, ἄφνω τοῖς πράγμασιν ἐπιπεπτωκότος, ἡδίους ἐγένοντο ταῖς ἐλπίσι πρὸς τὴν ἡγεμονίαν, ὥσπερ διαμειδιῶσαν.

Β. Ὁμοῦ δὲ Ῥωμαίους πάντας οὐδὲν εὔφρανεν οὕτως, οὐδ' ᾠκειώσατο πρὸς αὐτὸν, ὡς τὰ περὶ Τιγελλῖνον. Ἐλελήθει μὲν γὰρ ἤδη κολαζόμενος αὐτῷ τῷ φόβῳ τῆς κολάσεως, ἣν ὡς χρέος ἀπῄτει δημόσιον ἡ πόλις, καὶ νοσήμασιν ἀνηκέςοις σώματος· αὐτάς τε τὰς ἀνοσίους καὶ ἀῤῥήτους ἐν γυναιξὶ πόρναις καὶ ἀκαθάρτοις ἐγκυλινδήσεις, αἷς ἔτι προσέσπαιρε δυσθανατοῦντος



ΒΕΝΤΛΗΣ ΣΧΟΛΗ ... 1872 (library stamp)

αὐτοῦ τὸ ἀκόλαστον ἐπιδραττόμενον, ἐσχάτην τιμωρίαν ἐποιοῦντο καὶ πολλῶν ἀνταξίαν θανάτων οἱ σωφρονοῦντες. Ἠνία δὲ τοὺς πολλοὺς ὅμως τὸν ἥλιον ὁρῶν μετὰ τοσούτους καὶ τοιούτους δι' αὐτὸν οὐχ ὁρῶντας. Ἔπεμψεν οὖν ἐπ' αὐτὸν ὁ Ὄθων εἰς τοὺς περὶ Σινόεσσαν ἀγρούς· ἐκεῖ γὰρ διητᾶτο, πλοίων παρορμώντων, ὡς φευξόμενος ἀπωτέρω. Καὶ τόν γε πεμφθέντα χρυσίῳ πολλῷ πείθειν ἐπεχείρησε παρεῖναι· μὴ πεισθέντι δὲ, δῶρα μὲν ἔδωκεν οὐδὲν ἧττον, ἐδεήθη δ' ὑπομεῖναι, ἕως ἂν ἀποξύρηται τὸ γένειον, καὶ λαβὼν αὐτὸς ἑαυτὸν ἐλαιμοτόμησεν.

Γ. Οὕτω δὲ τῷ δήμῳ τὴν δικαιοτάτην ἡδονὴν ἀποδοὺς ὁ Καῖσαρ, αὐτὸς ἰδίας ἔχθρας οὐδενὶ τοπαράπαν ἐμνησικάκησε· τοῖς δὲ πολλοῖς χαριζόμενος οὐκ ἔφευγε τὸ πρῶτον ἐν τοῖς θεάτροις Νέρων προσαγορεύεσθαι· καί τινων εἰκόνας Νέρωνος εἰς τοὐμφανὲς προθεμένων, οὐκ ἐκώλυσε. Κλαύδιος δὲ Ῥοῦφος εἰς Ἰβηρίαν φησὶ κομισθῆναι διπλώματα, οἷς ἐκπέμπουσι τοὺς γραμματηφόρους, τὸ τοῦ Νέρωνος θετὸν ὄνομα προσγεγραμμένον ἔχοντα τῷ τοῦ Ὄθωνος. Οὐ μὴν ἀλλὰ τοὺς πρώτους καὶ κρατίστους αἰσθόμενος ἐπὶ τούτῳ δυσχεραίνοντας, ἐπαύσατο. Τοιαύτην δὲ τῆς ἡγεμονίας κατάστασιν αὐτῷ λαμβανούσης, οἱ μισθοφόροι χαλεποὺς παρεῖχον ἑαυτοὺς, ἀπιστεῖν παρακελευόμενοι καὶ φυλάττεσθαι καὶ κολούειν τοὺς ἀξιολόγους, εἴτ' ἀληθῶς φοβούμενοι δι' εὔνοιαν, εἴτε προφάσει χρώμενοι ταύτῃ τοῦ ταράττειν καὶ πολεμοποιεῖν. Κρισπῖνον δὲ πέμψαντος αὐτοῦ, τὴν ἑπτακαιδεκάτην σπεῖραν ἐξ Ὠστίας ἄξοντα, κἀκείνου νυκτὸς ἔτι συσκευαζομένου, καὶ τὰ ὅπλα ταῖς ἁμάξαις ἐπιτιθέντος, οἱ θρασύτατοι πάντες ἐβόων, οὐδὲν ὑγιὲς τὸν Κρισπῖνον ἥκειν διανοούμενον, ἀλλὰ τὴν σύγκλητον ἐπιχειρεῖν πράγμασι νεωτέροις, καὶ τὰ ὅπλα κατὰ Καίσαρος, οὐ Καίσαρι, παρακομίζεσθαι. Τοῦ δὲ λόγου πολλῶν ἁπτομένου καὶ παροξύνοντος, οἱ

μὲν ἐπελαμβάνοντο τῶν ἁμαξῶν, οἱ δὲ τοὺς ἐνισταμένους ἑκατοντάρχας δύο καὶ τὸν Κρισπῖνον αὐτὸν ἀπέκτειναν. Πάντες δὲ διασκευασάμενοι καὶ παρακαλέσαντες ἀλλήλους Καίσαρι βοηθεῖν, ἤλαυνον εἰς τὴν Ῥώμην· καὶ πυθόμενοι, παρ᾽ αὐτῷ δειπνεῖν ὀγδοήκοντα συγκλητικοὺς, ἐφέροντο πρὸς τὰ βασίλεια, νῦν καιρὸν εἶναι λέγοντες, ἐν ταὐτῷ πάντας ἀνελεῖν τοὺς Καίσαρος πολεμίους. Ἡ μὲν οὖν πόλις, ὡς αὐτίκα διαρπαγησομένη, θόρυβον εἶχε πολύν· ἐν δὲ τοῖς βασιλείοις ἦσαν διαδρομαὶ, καὶ τὸν Ὄθωνα δεινὴ κατελάμβανεν ἀπορία. Φοβούμενος γὰρ ὑπὲρ τῶν ἀνδρῶν, αὐτὸς ἦν φοβερὸς ἐκείνοις, καὶ πρὸς αὐτὸν ἀνηρτημένους ἑώρα ταῖς ὄψεσιν ἀναύδους καὶ περιδεεῖς, ἐνίους καὶ μετὰ γυναικῶν ἥκοντας ἐπὶ τὸ δεῖπνον. Ἅμα δὲ τοὺς ἐπάρχους ἀπέστελλε, τοῖς στρατιώταις διαλέγεσθαι καὶ πραΰνειν κελεύσας, ἅμα δὲ τοὺς κεκλημένους ἄνδρας ἀναστήσας, καθ᾽ ἑτέρας θύρας ἀφῆκε· καὶ μικρὸν ἔφθησαν ὑπεκφυγόντες διὰ τῶν μισθοφόρων, ὠθουμένων εἰς τὸν ἀνδρῶνα, καὶ πυνθανομένων, Τί γεγόνασιν οἱ Καίσαρος πολέμιοι; Τότε μὲν οὖν ὀρθὸς ἀπὸ τῆς κλίνης πολλὰ παρηγορήσας, καὶ δεηθεὶς, καὶ μηδὲ δακρύων φεισάμενος, μόλις ἀπέπεμψεν αὐτούς. Τῇ δ᾽ ὑστεραίᾳ δωρησάμενος ἅπαντας κατ᾽ ἄνδρα χιλίαις καὶ διακοσίαις καὶ πεντήκοντα δραχμαῖς, εἰσῆλθεν εἰς τὸ στρατόπεδον, καὶ τὸ μὲν πλῆθος ἐπῄνεσεν, ὡς πρὸς αὐτὸν εὔνουν καὶ πρόθυμον, ὀλίγους δέ τινας οὐκ ἐπ᾽ ἀγαθῷ φήσας ὑποικουρεῖν, διαβάλλοντας αὐτοῦ τὴν μετριότητα, καὶ τὴν ἐκείνων εὐστάθειαν, ἠξίου συναγανακτεῖν καὶ συγκολάζειν. Ἐπαινούντων δὲ πάντων καὶ κελευόντων, δύο μόνους παραβαλὼν, οἷς οὐδεὶς ἔμελλεν ἄχθεσθαι κολασθεῖσιν, ἀπηλλάγη.

Δ. Ταῦτα οἱ μὲν ἀγαπῶντες ἤδη καὶ πιστεύοντες ἐθαύμαζον τὴν μεταβολήν· οἱ δ᾽ ἀναγκαῖα πολιτεύματα πρὸς τὸν καιρὸν ἡγοῦντο, δημαγωγοῦντος αὐτοὺς διὰ τὸν πόλεμον. Ἤδη γὰρ

ἠγγέλλετο βεβαίως Οὐϊτέλλιος ἀξίωμα καὶ δύναμιν αὐτοκράτορος ἀνειληφώς· καὶ πτεροφόροι συνεχῶς ἐφοίτων, ἀεί τι προσχωρεῖν ἐκείνῳ φράζοντες· ἕτεροι τὰ Παννονικὰ καὶ τὰ Δαλματικὰ καὶ τὰ περὶ Μυσίαν ςρατεύματα δηλοῦντες ᾑρῆσθαι μετὰ τῶν ἡγεμόνων Ὄθωνα. Ταχὺ δ' ἀφίκετο καὶ παρὰ Μουκιανοῦ γράμματα καὶ παρὰ Οὐεσπασιανοῦ φίλια, τοῦ μὲν ἐν Συρίᾳ, τοῦ δ' ἐν Ἰουδαίᾳ, μεγάλας δυνάμεις ἐχόντων. Ὑφ' ὧν ἐπαιρόμενος, ἔγραψεν Οὐϊτελλίῳ, παραινῶν ςρατιωτικὰ φρονεῖν, ὡς χρήματα πολλὰ δώσοντος αὐτοῦ, καὶ πόλιν, ἐν ᾗ βιώσεται ῥᾷςον καὶ ἥδιςον βίον μεθ' ἡσυχίας. Ἀντέγραφε δὲ κἀκεῖνος αὐτῷ κατειρωνευόμενος ἡσυχῇ πρῶτον· ἐκ δὲ τούτου διερεθιζόμενοι πολλὰ βλάσφημα καὶ ἀσελγῆ χλευάζοντες ἀλλήλοις ἔγραφον, οὐ ψευδῶς μὲν, ἀνοήτως δὲ καὶ γελοίως θατέρου τῷ ἑτέρῳ ἃ προσῆν ἀμφοτέροις ὀνείδη λοιδοροῦντος. Ἀσωτίας γὰρ καὶ μαλακίας καὶ ἀπειρίας πολέμων καὶ τῶν πρόσθεν ἐπὶ πενίᾳ *καὶ* χρεῶν πλήθους, ἔργον εἰπεῖν, ὁποτέρῳ μεῖον αὐτῶν μέτεςι. Σημείων δὲ καὶ φαντασμάτων πολλῶν λεγομένων, τὰ μὲν ἄλλα φήμας ἀδεσπότους καὶ ἀμφιβόλους εἶχεν, ἐν δὲ Καπιτωλίῳ νίκης ἐφεςώσης ἅρματι τὰς ἡνίας πάντες εἶδον ἀφειμένας ἐκ τῶν χειρῶν, ὥσπερ κρατεῖν μὴ δυναμένης· καὶ τὸν ἐν μεσοποταμίᾳ νήσῳ Γαΐου Καίσαρος ἀνδριάντα, μήτε σεισμοῦ γεγονότος, μήτε πνεύματος, ἀφ' ἑσπέρας μεταςραφέντα πρὸς τὰς ἀνατολάς· ὅ φασι συμβῆναι περὶ τὰς ἡμέρας ἐκείνας, ἐν αἷς οἱ περὶ Οὐεσπασιανὸν ἐμφανῶς ἤδη τῶν πραγμάτων ἀντελαμβάνοντο. Καὶ τὸ περὶ τὸν Θύμβριν δὲ σύμπτωμα σημεῖον ἐποιοῦντο οἱ πολλοὶ μοχθηρόν. Ἦν μὲν γὰρ ὥρα, περὶ ἣν μάλιςα οἱ ποταμοὶ πλήθουσιν, ἀλλ' οὔπω τοιοῦτος ἤρθη πρότερον, οὐδ' ἀπώλεσε τοσαῦτα καὶ διέφθειρεν, ὑπερχυθεὶς καὶ κατακλύσας πολὺ μέρος τῆς πόλεως· πλεῖςον δ' ἐν ᾧ τὸν ἐπὶ πράσει διαπωλοῦσι σῖτον, ὡς δεινὴν ἀπορίαν ἡμερῶν συχνῶν κατασχεῖν.

Ε. Ἐπεὶ δὲ τὰς Ἄλπεις κατέχοντες ἤδη προσηγγέλλοντο Καικίνας καὶ Οὐάλης, Οὐϊτελλίῳ ϛρατηγοῦντες, ἐν Ῥώμῃ Δολοβέλλας, εὐπατρίδης ἀνὴρ, ὑποψίαν παρεῖχε τοῖς μισθοφόροις νεώτερα φρονεῖν. Ἐκεῖνον μὲν οὖν, εἴτ' αὐτὸν, εἴτ' ἄλλον δεδοικὼς, εἰς πόλιν Ἀκύνιον παρέπεμψε παραθαῤῥύνας. Καταλέγων δὲ τῶν ἐν τέλει συνεκδήμους, ἔταξεν ἐν τούτοις καὶ Λεύκιον, τὸν Οὐϊτελλίου ἀδελφόν· οὔτε προσθεὶς οὐδὲν, οὔτ' ἀφελὼν, ἧς εἶχε τιμῆς. Ἰσχυρῶς δὲ καὶ τῆς μητρὸς ἐπεμελήθη τοῦ Οὐϊτελλίου καὶ τῆς γυναικὸς, ὅπως μηδὲν φοβήσονται περὶ αὐτῶν. Τῆς δὲ Ῥώμης φύλακα, Φλαούϊον Σαβῖνον, ἀδελφὸν Οὐεσπεσιανοῦ, κατέϛησεν, εἴτε καὶ τοῦτο πράξας ἐπὶ τιμῇ Νέρωνος (παρ' ἐκείνου γὰρ εἰλήφει τὴν ἀρχὴν ὁ Σαβῖνος, ἀφείλετο δὲ Γάλβας αὐτὸν), εἴτε μᾶλλον εὔνοιαν ἐνδεικνυτο Οὐεσπεσιανῷ καὶ πίϛιν, αὔξων Σαβῖνον. Αὐτὸς μὲν οὖν ἐν Βριξίλλῳ, πόλει τῆς Ἰταλίας, περὶ τὸν Ἠριδανὸν ἀπελείφθη· ϛρατηγοὺς δὲ τῶν δυνάμεων ἐξέπεμψε Μάριόν τε Κέλσον καὶ Σουϊτώνιον Παυλῖνον, ἔτι τε Γάλλον καὶ Σπουρίναν, ἄνδρας ἐνδόξους, χρήσασθαι δὲ μὴ δυνηθέντας ἐπὶ τῶν πραγμάτων, ὡς προῃροῦντο, τοῖς ἑαυτῶν λογισμοῖς, δι' ἀταξίαν καὶ θρασύτητα τῶν ϛρατιωτῶν. Οὐ γὰρ ἠξίουν ἑτέρων ἀκούειν, ὡς παρ' αὐτῶν τοῦ αὐτοκράτορος τὸ ἄρχειν ἔχοντος. Ἦν μὲν οὖν οὐδὲ τὰ τῶν πολεμίων ὑγιαίνοντα παντάπασιν, οὐδὲ χειροήθη τοῖς ἡγεμόσιν, ἀλλ' ἔμπληκτα καὶ σοβαρὰ διὰ τὴν αὐτὴν αἰτίαν. Οὐ μὴν ἀλλ' ἐκείνοις ἐμπειρία γε παρῆν τοῦ μάχεσθαι, καὶ τὸ κάμνειν ἐθάδες ὄντες οὐκ ἔφευγον. Οὗτοι δὲ μαλακοὶ μὲν ἦσαν ὑπὸ σχολῆς καὶ διαίτης ἀπολέμου, πλεῖϛον χρόνον ἐν θεάτροις καὶ πανηγύρεσι καὶ παρὰ σκηνὴν βεβιωκότες, ὕβρει δὲ καὶ κόμπῳ ἐπαμπέχειν ἐβούλοντο, προσποιήσασθαι τὰς λειτουργίας ὡς κρείττονες ἀπαξιοῦντες, οὐχ ὡς ἀδύνατοι φέρειν. Ὁ δὲ Σπουρίνας προσβιαζόμενος αὐτοὺς ἐκινδύνευσε μικρὸν ἐλθόντας ἀνελεῖν

αὐτόν. Ὕβρεως δὲ καὶ βλασφημίας οὐδεμιᾶς ἐφείσαντο, προδότην καὶ λυμεῶνα τῶν Καίσαρος καιρῶν καὶ πραγμάτων λέγοντες. Ἔνιοι δὲ καὶ μεθυσθέντες ἤδη νυκτὸς ἦλθον ἐπὶ τὴν σκηνὴν ἐφόδιον αἰτοῦντες· εἶναι γὰρ αὐτοῖς πρὸς Καίσαρα βαδιστέον, ὅπως ἐκείνου κατηγορήσωσιν.

ΣΤ. Ὤνησε δὲ τὰ πράγματα καὶ Σπουρίναν ἐν τῷ παραυτίκα λοιδορία περὶ Πλακεντίαν γενομένη τῶν στρατιωτῶν. Οἱ γὰρ Οὐϊτελλίου, τοῖς τείχεσι προσβάλλοντες, ἐχλεύαζον τοὺς Ὄθωνος ἑστῶτας παρὰ τὰς ἐπάλξεις, σκηνικοὺς καὶ πυῤῥιχιστὰς καὶ Πυθίων καὶ Ὀλυμπίων θεωρούς, πολέμου δὲ καὶ στρατείας ἀπείρους καὶ ἀθεάτους ἀποκαλοῦντες, καὶ μέγα φρονοῦντας ἐπὶ τῷ γέροντος ἀνόπλου κεφαλὴν ἀποτεμεῖν (τὸν Γάλβαν λέγοντες), εἰς δ' ἀγῶνα καὶ μάχην ἀνδρῶν οὐκ ἂν ἐκφανῶς καταβάντας. Οὕτω γὰρ ἐταράχθησαν ὑπὸ τούτων τῶν ὀνειδῶν καὶ διεκάησαν, ὥστε προσπεσεῖν τῷ Σπουρίνᾳ, δεόμενοι χρῆσθαι καὶ προστάττειν αὐτοῖς, οὐδένα κίνδυνον, οὐδὲ πόνον, ἀπολεγομένοις. Ἰσχυρᾶς δὲ συστάσης τειχομαχίας, καὶ μηχανημάτων πολλῶν προσαχθέντων, ἐκράτησαν οἱ τοῦ Σπουρίνα, καὶ φόνῳ πολλῷ τοὺς ἐναντίους ἀποκρουσάμενοι, διετήρησαν ἔνδοξον πόλιν καὶ τῶν Ἰταλῶν οὐδεμιᾶς ἧττον ἀνθοῦσαν. Ἦσαν δὲ καὶ τἄλλα τῶν Οὐϊτελλίου στρατηγῶν οἱ Ὄθωνος ἐντυχεῖν ἀλυπότεροι καὶ πόλεσι καὶ ἰδιώταις. Ἐκείνων δὲ Καικίνας μὲν, οὔτε φωνὴν, οὔτε σχῆμα, δημοτικὸς, ἀλλ' ἐπαχθὴς καὶ ἀλλόκοτος σώματος μεγάλου, Γαλατικῶς ἀναξυρίσι καὶ χειρίσιν ἐνεσκευασμένος, σημείοις καὶ ἄρχουσι Ῥωμαϊκοῖς διαλεγόμενος. Καὶ τὴν γυναῖκα παρέπεμπον αὐτῷ λογάδην ἱππεῖς ὀχουμένην ἵππῳ, κεκοσμημένην ἐπιφανῶς. Φάβιον δὲ Οὐάλεντα, τὸν ἕτερον στρατηγὸν, οὔτε ἁρπαγαὶ πολεμίων, οὔτε κλοπαὶ καὶ δωροδοκίαι παρὰ συμμάχων, ἐνεπίμπλασαν χρηματιζόμενον· ἀλλὰ καὶ ἐδόκει διὰ τοῦτο βραδέως ὁδεύων ὑστερῆσαι τῆς προτέρας μάχης.

Οἱ δὲ τὸν Καικίναν αἰτιῶνται, σπεύδοντα τὴν νίκην ἑαυτοῦ γενέσθαι, πρὶν ἐκεῖνον ἐλθεῖν, ἄλλοις τε μικροτέροις περιπεσεῖν ἁμαρτήμασι, καὶ μάχην οὐ κατὰ καιρὸν, οὐδὲ γενναίως, συνάψαι, μικροῦ πάντα τὰ πράγματα διαφθείρασαν αὐτοῖς.

Ζ. Ἐπεὶ γὰρ ἀποκρουσθεὶς τῆς Πλακεντίας ὁ Καικίνας ἐπὶ Κρεμώνην ὥρμησεν, ἑτέραν πόλιν εὐδαίμονα καὶ μεγάλην, πρῶτος μὲν Ἄννιος Γάλλος, πρὸς Πλακεντίαν Σπουρίνᾳ βοηθῶν, ὡς ἤκουσε καθ' ὁδὸν, τοὺς Πλακεντίνους περιγεγονέναι, κινδυνεύειν δὲ τοὺς ἐν Κρεμώνῃ, μετήγαγεν ἐκεῖ τὸ ςράτευμα, καὶ κατεςρατοπέδευσε πλησίον τῶν πολεμίων. Ἔπειτα καὶ τῶν ἄλλων ἕκαςος ἐβοήθει τῷ ςρατηγῷ. Τοῦ δὲ Καικίνα λοχήσαντος εἰς λάσια χωρία καὶ ὑλώδη πολλοὺς ὁπλίτας, [τοὺς] ἱππεῖς δὲ προεξελάσαι κελεύσαντος, κἂν συνάψωσιν οἱ πολέμιοι, κατὰ μικρὸν ἀναχωρεῖν, καὶ ἀναφεύγειν, ἄχρις ἂν ὑπάγοντες οὕτως ἐμβάλωσιν αὐτοὺς εἰς τὴν ἐνέδραν, ἐξήγγειλαν αὐτόμολοι τῷ Κέλσῳ. Καὶ οὗτος μὲν ἱππεῦσιν ἀγαθοῖς ἀντεξελάσας, πεφυλαγμένως δὲ χρώμενος τῇ διώξει, καὶ τὴν ἐνέδραν περισχὼν καὶ συνταράξας, ἐκάλει τοὺς ὁπλίτας ἐκ τοῦ ςρατοπέδου. Καὶ δοκοῦσιν ἂν ἐπελθόντες ἐν καιρῷ μηδένα λιπεῖν τῶν πολεμίων, ἀλλὰ πᾶν τὸ μετὰ Καικίνα ςράτευμα συντρίψαι καὶ ἀνελεῖν, ἐπισπόμενοι τοῖς ἱππεῦσι· νυνὶ δ' ὁ Παυλῖνος, ὀψὲ καὶ σχολῇ προσβοηθήσας, αἰτίαν ἔσχεν ἐνδεέςερον τῆς δόξης ςρατηγῆσαι δι' εὐλάβειαν. Οἱ δὲ πολλοὶ τῶν ςρατιωτῶν καὶ προδοσίαν ἐνεκάλουν αὐτῷ, καὶ παρώξυναν τὸν Ὄθωνα μεγαληγοροῦντες, ὡς νενικηκότων αὐτῶν, τῆς δὲ νίκης οὐκ ἐπίπαν προελθούσης κακίᾳ τῶν ςρατηγῶν· ὁ δ' Ὄθων οὐχ οὕτως ἐπίςευεν αὐτοῖς, ὡς ἐβούλετο μὴ δοκεῖν ἀπιςεῖν. Ἔπεμψεν οὖν Τιτιανὸν ἐπὶ τὰ ςρατεύματα, τὸν ἀδελφὸν, καὶ Πρόκλον, τὸν ἔπαρχον, ὃς εἶχεν ἔργῳ τὴν πᾶσαν ἀρχὴν, πρόσχημα δ' ἦν ὁ Τιτιανός. Οἱ δὲ περὶ τὸν Κέλσον καὶ Παυλῖνον ἄλλως ἐφείλκοντο συμβούλων

ὄνομα καὶ φίλων, ἐξουσίαν καὶ δύναμιν ἐν τοῖς πράγμασι μηδεμίαν ἔχοντες. Ἦν δὲ θορυβώδη καὶ τὰ παρὰ τοῖς πολεμίοις, μάλιστα δὲ τοῖς ὑπὸ τῷ Οὐάλεντι· καὶ τῆς περὶ τὴν ἐνέδραν μάχης ἀπαγγελθείσης, ἐχαλέπαινον, ὅτι μὴ παρεγένοντο, μηδ' ἤμυναν, ἀνδρῶν τοσούτων ἀποθανόντων. Μόλις δὲ πείσας καὶ παραιτησάμενος ὡρμημένους αὐτὸν βάλλειν, ἀνέζευξε, καὶ συνῆψε τοῖς περὶ Καικίναν.

Η. Ὁ δ' Ὄθων, παραγενόμενος εἰς τὸ Βητριακὸν εἰς τὸ στρατόπεδον (ἔστι δὲ πολίχνη πλησίον Κρεμώνης τὸ Βητριακὸν), ἐβουλεύετο περὶ τῆς μάχης· καὶ Πρόκλῳ μὲν ἐδόκει καὶ Τιτιανῷ, τῶν στρατευμάτων ὄντων προθύμων καὶ προσφάτου τῆς νίκης, διαγωνίσασθαι, καὶ μὴ καθῆσθαι τὴν ἀκμὴν ἀμβλύνοντα τῆς δυνάμεως, καὶ περιμένοντα Οὐϊτέλλιον αὐτὸν ἐκ Γαλατίας ἐπελθεῖν. Παυλῖνος δὲ τοῖς μὲν πολεμίοις ἔφη πάντα, μεθ' ὧν μαχοῦνται, παρεῖναι, καὶ μηδὲν ἐνδεῖν, Ὄθωνι δὲ τῆς ἤδη παρούσης οὐκ ἐλάττονα προσδόκιμον εἶναι δύναμιν ἐκ Μυσίας καὶ Παννονίας, ἂν τὸν αὐτοῦ περιμένῃ καιρὸν, ἀλλὰ μὴ στρατηγῇ πρὸς τὸν τῶν πολεμίων. Οὐ γὰρ ἀμβλυτέροις γε χρήσεσθαι τότε τοῖς νῦν θαῤῥοῦσιν ἀπ' ἐλαττόνων, ἂν πλείονας τοὺς ἀγωνιζομένους προσλάβωσιν, ἀλλ' ἐκ περιουσίας ἀγωνιεῖσθαι. Καὶ χωρὶς δὲ τούτου τὴν διατριβὴν εἶναι πρὸς αὐτῶν ἐν ἀφθόνοις πᾶσιν ὄντων· ἐκείνοις δὲ τὸν χρόνον ἀπορίαν παρέξειν τῶν ἀναγκαίων ἐν πολεμίᾳ καθεζομένοις. Ταῦτα λέγοντι Παυλίνῳ Μάριος Κέλσος ἐγένετο σύμψηφος. Ἄννιος δὲ Γάλλος οὐ παρῆν μὲν, ἀλλ' ἐθεραπεύετο πεπτωκὼς ἀφ' ἵππου· γράψαντος δ' Ὄθωνος αὐτῷ, συνεβούλευε μὴ σπεύδειν, ἀλλὰ τὴν ἐκ Μυσίας περιμένειν δύναμιν, ἤδη καθ' ὁδὸν οὖσαν. Οὐ μὴν ἐπείθετο τούτοις, ἀλλ' ἐκράτησαν οἱ πρὸς τὴν μάχην παρορμῶντες.

Θ. Αἰτίαι δὲ πλείονες ἄλλαι ὑπ' ἄλλων λέγονται· προδήλως

δ' οἱ ϛρατηγικοὶ προσαγορευόμενοι καὶ τάξιν ἔχοντες δορυφόρων, τότε μᾶλλον ἀληθινῆς γευόμενοι ϛρατείας, καὶ τὰς ἐν Ῥώμῃ διατριβὰς καὶ διαίτας ἀπολέμους καὶ πανηγυρικὰς ποθοῦντες, οὐκ ἦσαν καθεκτοὶ σπεύδοντες ἐπὶ τὴν μάχην, ὡς εὐθὺς ἐξ ἐπιδρομῆς ἀναρπασόμενοι τοὺς ἐναντίους. Δοκεῖ δὲ μηδ' αὐτὸς Ὄθων ἐξαναφέρειν ἔτι πρὸς τὴν ἀδηλότητα, μηδ' ὑπομένειν ἀηθείᾳ καὶ μαλακότητι τοὺς περὶ τῶν δεινῶν ἐκλογισμούς· ἐκπονούμενος δὲ ταῖς φροντίσι, σπεύδειν ἐγκαλυψάμενος, ὥσπερ ἀπὸ κρημνοῦ, μεθεῖναι τὰ πράγματα πρὸς τὸ συντυχόν. Καὶ τοῦτο μὲν διηγεῖτο Σεκοῦνδος, ὁ ῥήτωρ, ἐπὶ τῶν ἐπιστολῶν γενόμενος τοῦ Ὄθωνος. Ἑτέρων δ' ἦν ἀκούειν, ὅτι τοῖς ϛρατεύμασιν ἀμφοτέροις παρίϛαντο ὁρμαὶ πολλαὶ *ὡς* εἰς ταὐτὸ συνελθεῖν· καὶ μάλιστα μὲν, αὐτοὺς ὁμοφρονήσαντας ἐκ τῶν παρόντων ἡγεμονικῶν ἑλέσθαι τὸν ἄριστον· εἰ δὲ μὴ, τὴν σύγκλητον ὁμοῦ καθίσαντας, ἐφεῖναι τὴν αἵρεσιν ἐκείνῃ τοῦ αὐτοκράτορος. Καὶ οὐκ ἀπεικός ἐϛι, μηδετέρου τότε τῶν προσαγορευομένων αὐτοκρατόρων εὐδοκιμοῦντος, ἐπιπίπτειν τοιούτους διαλογισμοὺς [τοῖς] γνησίοις καὶ διαπόνοις καὶ σωφρονοῦσι τῶν ϛρατιωτῶν, ὡς ἔχθιϛον εἴη καὶ δεινὸν, ἃ πάλαι διὰ Σύλλαν καὶ Μάριον, εἶτα Καίσαρα καὶ Πομπήϊον, ᾠκτείροντο δρῶντες ἀλλήλους καὶ πάσχοντες οἱ πολῖται, ταῦτα νῦν ὑπομένειν, ἢ Οὐϊτελλίῳ λαιμαργίας καὶ οἰνοφλυγίας, ἢ τρυφῆς καὶ ἀκολασίας Ὄθωνι τὴν ἡγεμονίαν χορήγημα προθεμένους. Ταῦτ' οὖν ὑπονοοῦσι τούς τε περὶ τὸν Κέλσον αἰσθανομένους, ἐμβαλεῖν διατριβὴν, ἐλπίζοντας ἄνευ μάχης καὶ πόνων κριθήσεσθαι τὰ πράγματα· καὶ τοὺς περὶ τὸν Ὄθωνα, φοβουμένους ἐπιταχῦναι τὴν μάχην.

I. Αὐτὸς δὲ πάλιν εἰς Βριξίλλον ἀνεχώρησε, καὶ τοῦτο προσεξαμαρτὼν, οὐχ ὅτι *τοῦτο* μόνον τὴν ἐν ὀφθαλμοῖς αὐτοῦ παρόντος αἰδῶ καὶ φιλοτιμίαν ἀφεῖλε τῶν ἀγωνιζομένων, ἀλλὰ

καὶ τοὺς ἐῤῥωμενεςάτους καὶ προθυμοτάτους δι' αὐτὸν ἱππεῖς καὶ πεζοὺς ἀπαγαγὼν, φυλακὴν τοῦ σώματος, ὥσπερεί τι σῶμα τῆς δυνάμεως ἀπέκοψε. Συνέβη δὲ ταῖς ἡμέραις ἐκείναις καὶ περὶ τὸν Ἠριδανὸν ἀγῶνα γενέσθαι, τοῦ μὲν Καικίνα ζευγνύντος τὴν διάβασιν, τῶν δ' Ὄθωνος εἰργόντων καὶ προσμαχομένων. Ὡς δ' οὐδὲν ἐπέραινον, ἐνθεμένων εἰς τὰ πλοῖα δᾷδα, θείου καὶ πίττης ἀνάπλεων, διὰ τοῦ πόρου πνεῦμα προσπεσὸν ἄρνω τὴν παρεσκευασμένην ὕλην ἐπὶ τοὺς πολεμίους ἐξεῤῥίπιζε. Καπνοῦ δὲ πρῶτον, εἶτα λαμπρᾶς φλογὸς ἐκπεσούσης, ταραττόμενοι καὶ ἀποπηδῶντες εἰς τὸν ποταμὸν, τάς τε ναῦς ἀνέτρεπον, καὶ τὰ σώματα τοῖς πολεμίοις μετὰ γέλωτος παρεῖχον. Οἱ δὲ Γερμανοὶ, τοῖς Ὄθωνος μονομάχοις περὶ νησίδα τοῦ ποταμοῦ προσμίξαντες, ἐκράτησαν καὶ διέφθειραν αὐτῶν οὐκ ὀλίγους.

ΙΑ. Γενομένων δὲ τούτων, καὶ τῶν ἐν Βητριακῷ ςρατιωτῶν τοῦ Ὄθωνος ἐκφερομένων μετ' ὀργῆς ἐπὶ τὴν μάχην, προήγαγεν αὐτοὺς ὁ Πρόκλος ἐκ τοῦ Βητριακοῦ, καὶ κατεςρατοπέδευσεν ἀπὸ πεντήκοντα ςαδίων οὕτως ἀπείρως καὶ καταγελάσως, ὥςε, τῆς μὲν ὥρας ἐαρινῆς οὔσης, τῶν δὲ κύκλῳ πεδίων πολλὰ νάματα καὶ ποταμοὺς ἀεννάους ἐχόντων, ὕδατος σπάνει πιέζεσθαι. Τῇ δ' ὑςεραίᾳ βουλόμενοι προάγειν ἐπὶ τοὺς πολεμίους, ὁδὸν οὐκ ἐλάττονα ςαδίων ἑκατὸν, οἱ περὶ τὸν Παυλῖνον οὐκ εἴων, ἀλλ' ᾤοντο δεῖν περιμένειν, καὶ μὴ προπονεῖν ἑαυτοὺς, μηδ' εὐθὺς ἐκ πορείας μάχην τίθεσθαι πρὸς ἄνδρας ὡπλισμένους καὶ παρατεταγμένους καθ' ἡσυχίαν, ἐν ὅσῳ χρόνῳ προΐασιν αὐτοὶ τοσαύτην ὁδὸν, ἀναμεμιγμένων ὑποζυγίων καὶ ἀκολούθων. Οὔσης δὲ περὶ τούτων ἀντιλογίας ἐν τοῖς ςρατηγοῖς, ἦλθε παρ' Ὄθωνος ἱππεὺς τῶν καλουμένων Νομάδων, γράμματα κομίζων, κελεύοντα μὴ μένειν, μηδὲ διατρίβειν, ἀλλ' ἄγειν εὐθὺς ἐπὶ τοὺς πολεμίους. Ἐκεῖνοι μὲν οὖν ἄραντες

ἐχώρουν· ὁ δὲ Καικίνας πυθόμενος τὴν ἔφοδον αὐτῶν ἐθορυβήθη, καὶ κατὰ σπουδὴν ἀπολιπὼν τὰ ἔργα καὶ τὸν ποταμὸν, ἧκεν εἰς τὸ ϛρατόπεδον. Ὡπλισμένων δ' ἤδη τῶν πολλῶν, καὶ τὸ σύνθημα παραλαμβανόντων παρὰ τοῦ Οὐάλεντος, ἐν ὅσῳ τὴν τάξιν διελάγχανε τὰ τάγματα, τοὺς ἀρίϛους τῶν ἱππέων προεξέπεμψαν.

ΙΒ. Ἐμπίπτει δὲ τοῖς προτεταγμένοις τῶν Ὄθωνος ἐκ δή τινος αἰτίας δόξα καὶ λόγος, ὡς μεταβαλουμένων τῶν Οὐϊτελλίου ϛρατηγῶν πρὸς αὐτούς. Ὡς οὖν ἐγγὺς ἦσαν, ἠσπάσαντο φιλίως, συϛρατιώτας προσαγορεύσαντες. Ἐκείνων δὲ τὴν προσαγόρευσιν οὐκ εὐμενῶς, ἀλλὰ μετὰ θυμοῦ καὶ φωνῆς πολεμικῆς, ἀμειψαμένων, τοῖς μὲν ἀσπασαμένοις ἀθυμία, τοῖς δὲ λοιποῖς ὑπόνοια κατὰ τῶν ἀσπασαμένων, ὡς προδιδόντων, παρέϛη. Καὶ τοῦτο πρῶτον αὐτοὺς ἐτάραξεν, ἤδη τῶν πολεμίων ἐν χερσὶν ὄντων. Εἶτα τῶν ἄλλων οὐδὲν ἦν κόσμῳ γινόμενον, ἀλλὰ πολλὴν μὲν ἀταξίαν τὰ σκευοφόρα τοῖς μαχομένοις ἐμπλαζόμενα παρεῖχε, πολλοὺς δὲ τὰ χωρία διασπασμοὺς ἐποίει, τάφρων ὄντα μεϛὰ καὶ ὀρυγμάτων, ἃ φοβούμενοι καὶ περιιόντες ἠναγκάζοντο φύρδην καὶ κατὰ μέρη πολλὰ συμπλέκεσθαι τοῖς ἐναντίοις. Μόναι δὲ δύο λεγεῶνες (οὕτω γὰρ τὰ τάγματα Ῥωμαῖοι καλοῦσιν), ἐπίκλησιν, ἡ μὲν Οὐϊτελλίου, Ἅρπαξ, ἡ δὲ Ὄθωνος, Βοηθὸς, εἰς πεδίον ἐξελίξασαι ψιλὸν καὶ ἀναπεπταμένον, μόνιμόν τινα μάχην, συμπεσοῦσαι φαλαγγηδὸν, ἐμάχοντο πολὺν χρόνον. Οἱ μὲν οὖν Ὄθωνος ἄνδρες ἦσαν εὔρωϛοι καὶ ἀγαθοὶ, πολέμου δὲ καὶ μάχης τότε πρῶτον πεῖραν λαμβάνοντες· οἱ δὲ Οὐϊτελλίου πολλῶν ἀγώνων ἐθάδες, ἤδη γηραιοὶ καὶ παρακμάζοντες. Ὁρμήσαντες οὖν ἐπ' αὐτοὺς οἱ Ὄθωνος, ἐώσαντο, καὶ τὸν ἀετὸν ἀφείλοντο, πάντας ὁμοῦ τι τοὺς προμάχους ἀποκτείναντες· οἱ δ', ὑπ' αἰσχύνης καὶ ὀργῆς ἐμπεσόντες αὐτοῖς, τόν τε πρεσβευτὴν τοῦ τάγματος, Ὀρφίδιον, ἔκτειναν, καὶ πολλὰ τῶν σημείων

ἥρπασαν. Τοῖς δὲ μονομάχοις, ἐμπειρίαν τε καὶ θάρσος ἔχειν πρὸς τὰς συμπλοκὰς δοκοῦσιν, ἐπήγαγεν Οὔαρος Ἀλφῆνος τοὺς καλουμένους Βατάβους. Εἰσὶ δὲ Γερμανῶν ἱππεῖς ἄριστοι, νῆσον οἰκοῦντες ὑπὸ τοῦ Ῥήνου περιῤῥεομένην. Τούτους ὀλίγοι μὲν τῶν μονομάχων ὑπέστησαν, οἱ δὲ πλεῖστοι, φεύγοντες ἐπὶ τὸν ποταμὸν, ἐμπίπτουσιν εἰς σπείρας τῶν πολεμίων αὐτόθι τεταγμένας, ὑφ' ὧν ἀμυνόμενοι πάντες ὁμαλῶς διεφθάρησαν. Αἴσχιστα δ' ἠγωνίσαντο πάντων οἱ στρατηγικοὶ, μηδ' ὅσον ἐν χερσὶ γενέσθαι τοὺς ἐναντίους ὑπομείναντες, ἀλλὰ καὶ τοὺς ἀηττήτους ἔτι φόβου καὶ ταραχῆς ἀνεπίμπλασαν, φεύγοντες δι' αὐτῶν. Οὐ μὴν ἀλλὰ πολλοί γε τῶν Ὄθωνος, νενικηκότες τοὺς καθ' αὑτοὺς, ἐβιάσαντο καὶ διεξέπεσον διὰ τῶν πολεμίων κρατούντων εἰς τὸ στρατόπεδον.

ΙΓ. Τῶν δὲ στρατηγῶν οὔτε Πρόκλος, οὔτε Παυλῖνος, συνεισελθεῖν ἐτόλμησαν, ἀλλ' ἐξέκλιναν, φοβούμενοι τοὺς στρατιώτας ἤδη τὴν αἰτίαν ἐπὶ τοὺς στρατηγοὺς τρέποντας. Ἄννιος δὲ Γάλλος ἀνελάμβανεν ἐν τῇ πόλει καὶ παρεμυθεῖτο τοὺς ἐκ τῆς μάχης συλλεγομένους, ὡς ἀγχωμάλου γεγενημένης, καὶ πολλοῖς κεκρατηκότας μέρεσι τῶν πολεμίων. Μάριος δὲ Κέλσος, τοὺς ἐν τέλει συναγαγὼν, ἐκέλευσε σκοπεῖν τὸ κοινὸν, ὡς ἐπὶ συμφορᾷ τηλικαύτῃ καὶ φόνῳ τοσούτῳ πολιτῶν μηδ' Ὄθωνος, εἴπερ ἀνὴρ ἀγαθός ἐστιν, ἐθελήσοντος ἔτι πειρᾶσθαι τῆς τύχης, ὅπου καὶ Κάτων καὶ Σκιπίων, Καίσαρι κρατοῦντι μετὰ Φάρσαλον εἶξαι μὴ θελήσαντες, αἰτίαν ἔχουσιν, ὡς πολλοὺς καὶ ἀγαθοὺς ἄνδρας ἐν Λιβύῃ παραναλώσαντες οὐκ ἀναγκαίως, καίπερ ἀγωνιζόμενοι περὶ τῆς Ῥωμαίων ἐλευθερίας. Τὰ γὰρ ἄλλα κοινὴν ἡ τύχη παρέχουσα πᾶσιν ἑαυτὴν, ἓν οὐκ ἀφαιρεῖται τῶν ἀγαθῶν, τὸ, κἂν πταίσωσιν, εὐλογιστεῖν πρὸς τὰ συντυγχάνοντα. Ταῦτα λέγων ἔπειθε τοὺς ἡγεμονικούς. Ἐπεὶ δὲ πειρώμενοι τοὺς στρατιώτας ἑώρων εἰρήνης δεομένους, καὶ Τιτιανὸς

ἐκέλευε πρεσβεύειν ὑπὲρ ὁμονοίας, ἔδοξε Κέλσῳ καὶ Γάλλῳ βαδίζειν καὶ διαλέγεσθαι τοῖς περὶ τὸν Καικίναν καὶ Οὐάλεντα. Βαδίζουσι δ' αὐτοῖς ἀπήντησαν ἑκατοντάρχαι, τὴν μὲν δύναμιν ἤδη κεκινημένην λέγοντες ἐρχομένην ἐπὶ τὸ Βητριακὸν, αὐτοὶ δ' ὑπὸ τῶν ϛρατηγῶν ἀπεϛάλθαι περὶ ὁμονοίας. Ἐπαινέσαντες οὖν οἱ περὶ τὸν Κέλσον ἐκέλευσαν αὐτοὺς ἀναϛρέψαντας πάλιν, ἀπαντᾷν μετ' αὐτῶν τοῖς περὶ τὸν Καικίναν. Ἐπεὶ δ' ἐγγὺς ἦσαν, ἐκινδύνευσεν ὁ Κέλσος. Ἔτυχον γὰρ οἱ περὶ τὴν ἐνέδραν ἡττημένοι πρότερον ἱππεῖς προεξελαύνοντες. Ὡς οὖν προσιόντα τὸν Κέλσον κατεῖδον, εὐθὺς βοήσαντες ὥρμησαν ἐπ' αὐτόν. Οἱ δ' ἑκατοντάρχαι προέϛησαν ἀνείργοντες· καὶ τῶν ἄλλων λοχαγῶν φείδεσθαι βοώντων, οἱ περὶ τὸν Καικίναν πυθόμενοι καὶ προσελάσαντες, τὴν ἀκοσμίαν ταχὺ τῶν ἱππέων ἔπαυσαν, τὸν δὲ Κέλσον ἀσπασάμενοι φιλοφρόνως, ἐβάδιζον μετ' αὐτῶν εἰς τὸ Βητριακόν. Ἐν δὲ τούτῳ μετάνοια Τιτιανὸν ἔσχεν ἐκπέμψαντα τοὺς πρέσβεις, καὶ τῶν ϛρατιωτῶν τοὺς θρασυνομένους αὖθις ἀνεβίβαζεν ἐπὶ τὰ τείχη, καὶ τοὺς ἄλλους παρεκάλει βοηθεῖν. Τοῦ δὲ Καικίνα προσελάσαντος τῷ ἵππῳ, καὶ τὴν δεξιὰν ὀρέγοντος, οὐδεὶς ἀντέσχεν· ἀλλ' οἱ μὲν ἀπὸ τῶν τειχῶν ἠσπάζοντο τοὺς ϛρατιώτας, οἱ δὲ, τὰς πύλας ἀνοίξαντες ἐξῄεσαν καὶ ἀνεμίγνυντο τοῖς προσήκουσιν. Ἠδίκει δ' οὐδεὶς, ἀλλὰ καὶ φιλοφροσύναι καὶ δεξιώσεις ἦσαν. Ὤμοσαν δὲ πάντες περὶ τοῦ Οὐϊτελλίου, καὶ προσεχώρησαν.

ΙΔ. Οὕτω μὲν οἱ πλεῖϛοι τῶν παραγενομένων ἀπαγγέλλουσι γενέσθαι τὴν μάχην, οὐδ' αὐτοὶ σαφῶς ὁμολογοῦντες εἰδέναι τὰ καθ' ἕκαϛα διὰ τὴν ἀταξίαν καὶ τὴν ἀνωμαλίαν. Ἐμοὶ δ' ὕϛερον ὁδεύοντι διὰ τοῦ πεδίου Μέϛριος Φλῶρος, ἀνὴρ ὑπατικὸς, τῶν τότε μὴ κατὰ γνώμην, ἀλλ' ἀνάγκῃ, μετὰ τοῦ Ὄθωνος γενομένων, νεὼν ὄντα παλαιὸν ἐπιδείξας, διηγεῖτο μετὰ τὴν μάχην ἐπελθὼν ἰδεῖν νεκρῶν σωρὸν τηλικοῦτον, ὥϛε

τοὺς ἐπιπολῆς ἅπτεσθαι τῶν ἐναντίων. Καὶ τὴν αἰτίαν ἔφη ζητῶν οὔτ' αὐτὸς εὑρεῖν, οὔτε παρ' ἄλλου του πυθέσθαι. Θνήσκειν μὲν γὰρ παρὰ τοῖς ἐμφυλίοις πολέμοις, ὅταν τροπὴ γένηται, πλείονας εἰκός ἐστι, τῷ μηδένα ζωγρεῖν· χρῆσθαι γὰρ οὐκ ἔστι τοῖς ἁλισκομένοις. Ἡ δ' ἐπὶ τοσοῦτον σωρεία καὶ συμφόρησις οὐκ ἔχει τὴν αἰτίαν εὐσυλλόγιστον.

ΙΕ. Τῷ δ' Ὄθωνι πρῶτον μὲν ἀσαφής, ὥσπερ εἴωθε, περὶ τῶν τηλικούτων προσέπεσε λόγος· ἐπεὶ δὲ καὶ τετρωμένοι τινὲς ἧκον ἐκ τῆς μάχης ἀπαγγέλλοντες, τοὺς μὲν φίλους ἧττον ἄν τις ἐθαύμασεν οὐκ ἐῶντας ἀπαγορεύειν, ἀλλὰ θαῤῥεῖν παρακελευομένους· τὸ δὲ τῶν στρατιωτῶν πάθος ἅπασαν ὑπερέβαλε πίστιν, ὡς οὐκ ἀπῆλθεν, οὐδὲ μετέστη πρὸς τοὺς κρατοῦντας, οὐδ' ὤφθη τὸ καθ' αὑτὸ ζητοῦν, ἀπεγνωσμένου τοῦ ἡγεμόνος, πάντες δ' ὁμαλῶς ἐπὶ θύρας ἦλθον, ἐκάλουν αὐτοκράτορα προσελθόντες, ἐγίνοντο προστρόπαιοι, μετὰ βοῆς καὶ ἱκεσίας χειρῶν ἥπτοντο, προσέπιπτον, ἐδάκρυον, ἐδέοντο μὴ σφᾶς ἐγκαταλιπεῖν, μηδὲ προδοῦναι τοῖς πολεμίοις, ἀλλὰ χρῆσθαι, μέχρις ἂν ἐμπνέωσι, καὶ ψυχαῖς καὶ σώμασιν ὑπὲρ αὐτοῦ. Ταῦτα ὁμοῦ πάντες ἱκέτευον. Εἷς δὲ τῶν ἀφανεστέρων, ἀνατείνας τὸ ξίφος, καὶ εἰπών· « Ἴσθι, Καῖσαρ, οὕτως ὑπὲρ σοῦ παρατεταγμένους ἅπαντας » · ἀπέσφαξεν ἑαυτόν. Ἀλλὰ τούτων οὐδὲν ἐπέκλασε τὸν Ὄθωνα· φαιδρῷ δὲ καὶ καθεστῶτι προσώπῳ πανταχόσε τὰς ὄψεις περιαγαγών· « Ταύτην (εἶπεν), ὦ στρατιῶται, τὴν ἡμέραν ἐκείνης, ἐν ᾗ με πρῶτον ἐποιήσατε αὐτοκράτορα, μακαριωτέραν ἡγοῦμαι, τοιούτους ὁρῶν ὑμᾶς, καὶ τηλικούτων ἀξιούμενος· ἀλλὰ μὴ μείζονος ἀποστερεῖτε, τοῦ καλῶς ἀποθανεῖν ὑπὲρ τοσούτων καὶ τοιούτων πολιτῶν. Εἰ τῆς Ῥωμαίων ἡγεμονίας ἄξιος γέγονα, δεῖ με τῆς ἐμῆς ψυχῆς ὑπὲρ τῆς πατρίδος ἀφειδεῖν. Οἶδα τὴν νίκην τοῖς ἐναντίοις οὐδὲ βεβαίαν, οὐδ' ἰσχυρὰν, οὖσαν. Ἀπαγγέλλουσι

τὴν

» τὴν ἐκ Μυσίας ἡμῶν δύναμιν οὐ πολλῶν ἡμερῶν ὁδὸν ἀπ-
» έχειν ἤδη καταβαίνουσαν ἐπὶ τὸν Ἀδρίαν. Ἀσία καὶ Συρία
» καὶ Αἴγυπτος, καὶ τὰ πολεμοῦντα Ἰουδαίοις ςρατεύματα
» μεθ' ἡμῶν, ἥ τε σύγκλητος παρ' ἡμῖν, καὶ τέκνα τῶν ἐναν-
» τίων, καὶ γυναῖκες. Ἀλλ' οὐκ ἔςι πρὸς Ἀννίβαν, οὐδὲ Πύῤ-
» ῥον, οὐδὲ Κίμβρους, ὁ πόλεμος ὑπὲρ τῆς Ἰταλίας, ἀλλά,
» Ῥωμαίοις πολεμοῦντες ἀμφότεροι, τὴν πατρίδα καὶ νικῶντες
» ἀδικοῦμεν καὶ νικώμενοι. Καὶ γὰρ τὸ ἀγαθὸν τοῦ κρατοῦν-
» τος ἐκείνῃ κακόν ἐςιν. Πιςεύσατε *πολλάκις*, ὅτι δύναμαι
» κάλλιον ἀποθανεῖν, ἢ ἄρχειν. Οὐ γὰρ ὁρῶ, τί τηλικοῦτον
» Ῥωμαίοις ὄφελος ἔσομαι κρατήσας, ἡλίκον ἐπιδοὺς ἐμαυτὸν
» ὑπὲρ εἰρήνης καὶ ὁμονοίας, καὶ τοῦ μὴ πάλιν ἡμέραν τοιαύ-
« την ἐπιδεῖν τὴν Ἰταλίαν ».

Ις. Τοιαῦτα διαλεχθείς, καὶ πρὸς τοὺς ἐνίςασθαι καὶ παρακαλεῖν ἐπιχειροῦντας ἀπισχυρισάμενος, τοῖς τε φίλοις ἐκέλευεν ἀπαλλάττεσθαι, καὶ τῶν συγκλητικῶν τοῖς παροῦσι· τοῖς δὲ ἀπιοῦσιν ἐπέςελλε καὶ γράμματα πρὸς τὰς πόλεις, ὅπως παρακομισθῶσιν ἐντίμως καὶ μετ' ἀσφαλείας. Προσαγαγόμενος δὲ τὸν ἀδελφιδοῦν, Κοκκήϊον, ἔτι μειράκιον ὄντα, θαῤῥεῖν παρεκάλει, καὶ μὴ δεδιέναι Οὐϊτέλλιον, οὗ καὶ μητέρα καὶ γενεὰν καὶ γυναῖκα αὐτὸς, ὥσπερ οἰκείων κηδόμενος, διεφύλαξε. Διὰ τοῦτο γὰρ οὐδὲ θέσθαι παῖδα βουλόμενον αὐτὸν, ἀλλ' ἀναβαλέσθαι, *μνημονεύειν, ὅτι Καῖσαρ ἀθετεῖ τὴν εἰσποίησιν* ὅπως συνάρχοι, κρατήσαντος αὐτοῦ, μὴ προαπόλοιτο πταίσαντος. «Ἐκεῖνο δ' (εἶπεν), ὦ παῖ, παρεγγυῶμαί σοι τελευ-
» ταῖον, μήτ' ἐπιλαθέσθαι παντάπασι, μήτ' ἄγαν μνημονεύειν,
» ὅτι Καίσαρα θεῖον ἔσχες». Γενόμενος δ' ἀπὸ τούτων, μετὰ μικρὸν ἤκουσε θορύβου καὶ βοῆς ἐπὶ θύραις. Οἱ γὰρ ςρατιῶται τῶν συγκλητικῶν τοῖς ἀπιοῦσι διηπείλουν ἀποσφάξειν, εἰ μὴ παραμενοῦσιν, ἀλλ' οἰχήσονται τὸν αὐτοκράτορα

καταλιπόντες. Πάλιν οὖν προῆλθεν ὑπὲρ τῶν ἀνδρῶν φοβηθεὶς, καὶ τοὺς ςρατιώτας οὐκέτι δεητικὸς, οὐδὲ πρᾷος, ἀλλὰ τραχὺς ὀφθεὶς, καὶ μετ' ὀργῆς εἰς τὸ θορυβοῦν μάλιςα διαβλέψας, ἀπελθεῖν ἐποίησεν εἴξαντας καὶ διατρέσαντας.

ΙΖ. Ἤδη δ' ἑσπέρας οὔσης, ἐδίψησε, καὶ πιὼν ὀλίγον ὕδατος, δυεῖν ὄντων αὐτῷ ξιφῶν, ἑκατέρου κατεμάνθανε τὸ σπάσμα πολὺν χρόνον, καὶ τὸ ἕτερον ἀπέδωκε, θάτερον δ' εἰς τὰς ἀγκάλας ἀναλαβὼν, τοὺς οἰκέτας προσεκαλεῖτο· καὶ φιλοφρονούμενος διένεμε τῶν χρημάτων, τῷ μὲν πλέον, τῷ δ' ἔλαττον, οὐχ ὥσπερ ἀλλοτρίων ἀφειδῶν, ἀλλὰ τὸ κατ' ἀξίαν καὶ τὸ μέτριον ἐπιμελῶς φυλάττων. Ἀποπέμψας δὲ τούτους, ἤδη τὸ λοιπὸν ἀνεπαύετο τῆς νυκτὸς, ὥςε τοὺς κατευναςὰς αἰσθάνεσθαι βαθέως αὐτοῦ καθεύδοντος. Ὄρθρου δὲ καλέσας ἀπελεύθερον, ᾧ συνδιῴκησε τὰ περὶ τοὺς συγκλητικοὺς, μαθεῖν προσέταξε· καὶ πυθόμενος, γεγονέναι τοῖς ἀπερχομένοις, ὧν ἕκαςος ἔχρῃζεν· «Ἴθι τοίνυν (ἔφη) σὺ, καὶ ποίει τοῖς ςρατιώταις ἐμφανῆ σεαυτὸν, εἰ μὴ θέλεις κακῶς ὑπ' αὐτῶν ἀποθανεῖν, ὡς ἐμοὶ συμπράξας τὸν θάνατον». Ἐξελθόντος δὲ τοῦ ἀνθρώπου, τὸ ξίφος ὑποςήσας ὀρθὸν ἀμφοτέραις ταῖς χερσὶ, καὶ περιπεσὼν ἄνωθεν, ὅσον ἅπαξ ςενάξαι μόνον, ᾔσθετο τοῦ πόνου, καὶ τοῖς ἐκτὸς αἴσθησιν παρέσχεν. Ἀραμένων δὲ τῶν παίδων οἰμωγὴν, εὐθὺς ἅπαν τὸ ςρατόπεδον καὶ τὴν πόλιν ἐπεῖχε κλαυθμός· καὶ μετὰ βοῆς οἱ ςρατιῶται εἰσέπεσον ἐπὶ τὰς θύρας, καὶ ὠλοφύροντο, περιπαθοῦντες καὶ λοιδοροῦντες ἑαυτοὺς μὴ φυλάξαντας τὸν Αὐτοκράτορα, μηδὲ κωλύσαντας ἀποθανεῖν ὑπὲρ αὐτῶν. Ἀπέςη δ' οὐδεὶς τῶν κατ' αὐτὸν, ἐγγὺς ὄντων τῶν πολεμίων, ἀλλὰ κοσμήσαντες τὸ σῶμα, καὶ πυρὰν κατασκευάσαντες, ἐξεκόμιζον ἐν τοῖς ὅπλοις οἱ φθάσαντες ὑποδῦναι καὶ βαςάσαι τὸ λέχος ἐπιγαυρούμενοι. Τῶν δ' ἄλλων οἱ μὲν τὸ τραῦμα τοῦ νεκροῦ κατεφίλουν προσπίπτοντες,

οἱ δ' ἥπτοντο τῶν χειρῶν, οἱ δὲ προσεκύνουν πόῤῥωθεν. Ἔνιοι δὲ τῇ πυρᾷ λαμπάδας ὑφέντες, ἑαυτοὺς ἀπέσφαξαν, οὐδὲν ἐκδήλως, οὔτε πεπονθότες χρηςὸν ὑπὸ τοῦ τεθνηκότος, οὔτε πείσεσθαι δεινὸν ὑπὸ τοῦ κρατοῦντος δεδιότες· ἀλλ' ἔοικε μηδενὶ τῶν πώποτε τυράννων, ἢ βασιλέων, δεινὸς οὕτως ἔρως ἐγγενέσθαι καὶ περιμανὴς τοῦ ἄρχειν, ὡς ἐκεῖνοι τοῦ ἄρχεσθαι καὶ ὑπακούειν Ὄθωνος ἠράσθησαν· οὕς γε μηδ' ἀποθανόντος ὁ πόθος προὔλιπεν, ἀλλὰ παρέμεινεν εἰς ἀνήκεςον ἔχθος Οὐϊτελλίῳ τελευτήσας.

ΙΗ. Τὰ μὲν οὖν ἄλλα καιρὸν οἰκεῖον ἔχει λεχθῆναι· κρύψαντες δὲ τῇ γῇ τὰ λείψανα τοῦ Ὄθωνος, οὔτε μεγέθει σήματος, οὔτ' ἐπιγραφῆς ὄγκῳ, τὸν τάφον ἐποίησαν ἐπίφθονον· εἶδον δ' ἐν Βριξίλλῳ γενόμενος καὶ μνῆμα μέτριον, καὶ τὴν ἐπιγραφὴν οὕτως ἔχουσαν, εἰ μεταφρασθείη· Δηλώσει Μάρκου Ὄθωνος. Ἀπέθανε δ' Ὄθων ἔτη μὲν ἑπτὰ καὶ τριάκοντα βιώσας, ἄρξας δὲ τρεῖς μῆνας, ἀπολιπὼν δὲ μὴ χείρονας, μηδ' ἐλάττους, τῶν τὸν βίον αὐτοῦ ψεγόντων τοὺς ἐπαινοῦντας τὸν θάνατον· βιώσας γὰρ οὐδὲν ἐπιεικέςερον Νέρωνος, ἀπέθανεν εὐγενέςερον. Οἱ δὲ ςρατιῶται, Πολλίωνος, τοῦ ἑτέρου τῶν ἐπάρχων, ὀμνύειν εὐθὺς εἰς τὸν Οὐϊτέλλιον κελεύσαντος, ἐδυσχέραινον· καὶ πυθόμενοι, τῶν συγκλητικῶν ἐνίους ἔτι παρεῖναι, τοὺς μὲν ἄλλους ἀφῆκαν, Οὐεργινίῳ δὲ Ῥούφῳ πράγματα παρεῖχον, ἅμα τοῖς ὅπλοις ἐλθόντες ἐπὶ τὴν οἰκίαν, καὶ κατακαλοῦντες αὖθις καὶ κατακελεύοντες ἄρχειν, ἢ πρεσβεύειν ὑπὲρ αὐτῶν. Ὁ δὲ τὴν ἡγεμονίαν ἡττωμένων παραλαβεῖν, νενικηκότων πρότερον μὴ θελήσας, μανικὸν ἡγεῖτο· πρεσβεύειν δὲ πρὸς Γερμανοὺς δεδιώς, τοὺς πολλὰ βεβιάσθαι παρὰ γνώμην ὑπ' αὐτοῦ δοκοῦντας, ἔλαθε δι' ἑτέρων θυρῶν ἐκποδὼν ποιήσας ἑαυτόν. Ὡς δὲ τοῦτ' ἔγνωσαν οἱ ςρατιῶται, τούς τε ὅρκους ἐδέξαντο, καὶ τοῖς περὶ τὸν Καικίναν προσέθεντο συγγνώμης τυχόντες.

ΛΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

# ΣΗΜΕΙΩΣΕΙΣ

ΕΙΣ ΤΑ

# ΠΛΟΥΤΑΡΧ. ΠΑΡΑΛΛΗΛΑ.

## ΔΗΜΗΤΡΙΟΣ.

ΣΕΛΙΔ. 1, στ. 2, Αὐτῶν.] Τῶν τε τεχνῶν καὶ τῶν αἰσθήσεων. — στ. 3, Ἐν ἑκατέρῳ.] Ἐξ ΕΔ προσέθηκα τὴν πρόθεσιν. — στ. 4, Τοῦτο γὰρ αὐταῖς κοινόν.] Ταῖς τέχναις καὶ ταῖς αἰσθήσεσι κοινὸν τὸ τῶν ἐναντίων ἀντιλαμβάνεσθαι. — στ. 6, Διαγνώσει.] ΠΡΔ ἐκ ΔΓ, ΑΤ, Διάγνωσις. — στ. 9, Ὑπὸ πάντων τε κινεῖσθαι, καὶ κινουμένην πρὸς τὸ φρονοῦν ἀναφέρειν.] ΠΡΔ, ΑΤ, Ὑπὸ πάντων τε κινεῖσθαι, καὶ πάντα κινεῖν, πρὸς τὸ φρονοῦν ἀναφέρουσαν, καὶ κινουμένην πρὸς τὸ φρονοῦν ἀναφέρειν. Ἴσως δὲ καὶ τὸ, Ὑπὸ πάντων, τρεπτέον εἰς τὸ, Ὑπὸ τούτων. Διορθούσθω ἡμῖν ἐν παρέργῳ καὶ Ἱπποκράτους (Παραγγέλ. § 1) ῥῆσις, ἐν ᾗ περὶ τοῦ τῶν αἰσθήσεων ἔργου ὁ μέγας ἰατρὸς φησιν· «Ἥ τε αἴσθησις, προπαθὴς καὶ ἀναπομπὸς » ἐοῦσα ἐς διάνοιαν τῶν ὑποκειμένων. Ἡ δὲ, παραδεξαμένη πολλάκις, » οἷς, ὅτε καὶ ὁμοίως (γρ. ὁκοίως), ταῦτα τηρήσασα, καὶ ἐς ἑωυτὴν κατα» θεμένη, ἐμνημόνευσε... Ὑποληπτέον οὖν τὴν φύσιν ὑπὸ τῶν πολ» λῶν (γρ. ὑπὸ πολλῶν) καὶ παντοίων πρηγμάτων κινηθῆναί τε καὶ » διδαχθῆναι, βίης ὑπεούσης· ἡ δὲ διάνοια παρ' αὐτῆς λαβοῦσα, ὡς » προεῖπον, ὕστερον εἰς ἀληθείην (γρ. ἐς ἀληθηίην) ἤγαγεν ». Τοῦτο δὲ τὸ ὑφ' Ἱπποκράτους πεφιλοσοφημένον περὶ τῶν αἰσθήσεων, ὕστερον Ἀριστοτέλης συντομωτέρως ἐξέφρασε, Μηδὲν εἶναι, φήσας, ἐν τῷ νῷ, ὃ μὴ πρότερον ἐν τῇ αἰσθήσει. Ἔπειτα παραλαβὼν Ἐπίκουρος (ταὐτὰ γὰρ ἐδόκει καὶ τούτῳ περὶ τῶν ἐννοιῶν), « Ἐπί» νοιαι (φησὶ) πᾶσαι ἀπὸ τῶν αἰσθήσεων γεγόνασι... ἀλλὰ μὴν ὑπο» ληπτέον καὶ τὴν τῶν ἀνθρώπων φύσιν πολλὰ καὶ παντοῖα ὑπὸ τῶν » αὐτὴν περιεστώτων πραγμάτων διδαχθῆναί τε καὶ ἀναγκασθῆναι·

» τὸν δὲ λογισμὸν τὰ ὑπὸ ταύτης παρεγγυηθέντα καὶ ὕστερον ἐπακρι-» βοῦν κ. τ. λ. » (Διογέν. Λαερτ. ἰ, 32 καὶ 75.)

ΣΕΛΙΔ. 2, στ. 4, Πρὸς τὴν τῶν ἐναντίων ἀπεργασίαν.] Ἵνα τὸ ἐναντίον ἀπεργάσωνται, ἰατρικὴ μὲν τὴν ὑγείαν, ἁρμονικὴ δὲ τὴν ἐμμέλειαν. — στ. 7, Τὴν ἀπειρίᾳ τῶν κακῶν καλλωπιζομένην ἀκακίαν οὐκ ἐπαινοῦσιν, ἀλλ' ἀβελτερίαν ἡγοῦνται κ. τ. λ.] Εἰκότως· τοιαῦται γάρ εἰσιν ὡς ἐπὶ τὸ πολὺ τῶν ἀπαιδεύτων αἱ νομιζόμεναι καὶ ὑπὸ ἀπαιδεύτων ἐγκωμιαζόμεναι ἀρεταί. Ὁ γὰρ ἀγνοῶν τὰ καθήκοντα, οὐδὲν οὐδένα κακὸν ἐργάσεται τέως, ἕως ἂν ἠρεμῇ τὸ ψυχάριον· ἂν δέ τι πάθος, ἢ αὐτόθεν ὁρμηθέν, ἢ ὑπὸ πανούργου τινὸς ἐκριπισθέν, κ[α]λὰ τὰ μὴ καλὰ πείσῃ νομίζειν ἀγνοοῦντα, ἐπὶ πᾶν εἶδος κακίας οὐδὲν ἧττον τῶν ἀνδροφόνων ὁ πρότερον ἄκακος οἷός ἐστι φέρεσθαι. — στ. 13, Τὴν μὲν ἐκ διαστροφῆς.] ΠΡΔ ἡ τοῦ συνδέσμου προσθήκη. — στ. 15, Ἑαυτοῖς.] Ἐκ ΔΓ, ΑΤ, Αὐταῖς. — στ. 23, Ἤν τινα γνῷ.] Ἐξ ΗΔ, ΑΤ, Ἵνα καί, ΔΓ, Εἴ τινα καί, ὃ οἱ ΠΡ ἔτρεψαν εἰς τό, Ἐάν τινα καί. — στ. 29, Ὅτι καὶ κακίας μεγάλας.] Οὐ μέμνημαι τό γε νῦν ἔχον, ποῦ λέγει τοῦθ' ὁ Πλάτων· πλὴν εἰ μὴ Πλούταρχος ἐκεῖνο Πλάτωνος τὸ χωρίον αἰνίττεται, ἐν ᾧ ποιεῖ τὸν Σωκράτην λέγοντα, « Εἰ γὰρ ὤφελον, ὦ Κρίτων, οἷοί τε εἶναι οἱ πολ-» λοὶ τὰ μέγιστα κακὰ ἐξεργάζεσθαι, ἵνα οἷοί τε ἦσαν καὶ ἀγαθὰ τὰ » μέγιστα! καὶ καλῶς ἂν εἶχε. Νῦν δὲ οὐδέτερα οἷοί τε » (Πλάτων. Κρίτων. σελ. 44).

ΣΕΛΙΔ. 3. στ. 7 Τοῦ παθεῖν.] Ἐκ ΔΓ, ΑΤ, Τῷ παθεῖν. — στ. 8, Κορραίου.] ΔΓ, Φεραίου. — στ. 21, Ἐπιφάνεια.] ΔΓ, Εὐγένεια. — στ. 22, Πρὸς ἔκπληξιν ἀνθρώπων ἅμα καὶ χάριν.] Εἰς τό, Χαράν, τρέπειν τις παραινεῖ τῶν ΠΡ τὸ Χάριν. Οὐ μετακινητέον μέντοι τὴν γραφήν· συνωνυμεῖ γὰρ ἡ Χάρις τῇ Χαρᾷ, ὡς καὶ ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Β, σελ. 415) σεσημείωται· καὶ ἔστιν ἐνθάδε ταυτὸν ὡσπερανεὶ ἔλεγε, Πρὸς τὸ ἐκπλήττειν τοὺς ἀνθρώπους ἅμα καὶ τέρπειν, ἢ Πρὸς τὸ ἔκπληξιν ἅμα καὶ χαράν, ἢ ἡδονήν, αὐτοῖς ἐμποιεῖν. Διὸ καὶ τὸ παρ' Ὁμήρῳ (Ὀδυσσ. ύ, 392) Ἀχαρίστερον, διὰ τοῦ λυπηρότερον ἡρμήνευεν ὁ Ἀπίων. — στ. 27, Εἰρήνην τ' αὖθις ἐκ πολέμων τρέψαι.] Ἴσως ἐξερρύη τῶν γραφέων ἀβλεψίᾳ ἡ πρόθεσις· καλῶς γὰρ ἂν ἐλέγετο, Εἰς εἰρήνην τ' αὖθις ἐκ κ. τ. λ. καὶ τούτου κάλλιον, Εἰς εἰρήνην τ' αὖθις πόλεμον τρέψαι.

ΣΕΛΙΔ. 4, στ. 3, Ὥσπερ εἶχε τὰς βολίδας, ἐκάθισε παρ' αὐτόν.] Ἐκάθισε παρὰ τὸν πατέρα, κατέχων ἔτι ἐν χερσὶ τὰ ἀπὸ τῆς θήρας

ἀκόντια. « Βολίδες, ἀκόντια, λογχάρια » φησὶν Ἡσύχιος, παρὰ τὸ βάλλω δηλονότι· ὅθεν καὶ τὰ ἐν τῇ συνηθείᾳ Β ό λ ι α, τουτέστι τὰ βίᾳ πυρὸς ἀπὸ τῶν πυροβόλων ὀργάνων ἐκτινασσόμενα μολύβδινα σφαιρίδια. Ὁ δὲ ψαλμογράφος (ψαλμ. νδ΄, 21) ἀςείως πάνυ βολίσι παρείκασε τῶν ἀρετὴν ὑποκρινομένων τοὺς λόγους, « Ἡπαλύνθησαν οἱ λό» γοι αὐτῶν ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες ».—στ. 5, Ἔχοντας τὰς ἀποκρίσεις.] Ἐξ ΗΔ ἡ προσθήκη τοῦ ἄρθρου. —στ. 7, Ὡς ἰσχύν τινα... ἐπίδειξιν οὖσαν.] Εἰς τὸ, Ἰ σ χ υ ρ ά ν, εἰκαζέ τις τῶν ΠΡ τρεπτέον εἶναι τὸ Ἰ σ χ ύ ν· ἡμῖν δὲ μᾶλλον ἀρέσκει τὸ Ἐ π ί δ ε ι ξ ι ν τρέπειν εἰς τὸ Ἀ π ό δ ε ι ξ ι ν.—στ. 15, Φίλιππος ἀνεῖλεν υἱόν.] Ὁ ὑπὸ Φλαμινίνου ἡττηθεὶς Φίλιππος· ἀνεῖλε δὲ τὸν υἱὸν Δημήτριον, διαβολαῖς θατέρου υἱοῦ πεισθεὶς τοῦ Περσέως.—στ. 23, Μιθριδάτης, ὁ Ἀριοβαρζάνου παῖς.] Τῶν τις κριτικῶν ἡμαρτηκέναι Πλούταρχον ἡγήσατο, φάσκοντα Μ ι θ ρ ι δ ά τ η ς, ὁ Ἀ ρ ι ο β α ρ ζ ά ν ο υ π α ῖ ς, δέον φάναι, Μ ι θ ρ ι δ ά τ η ς, ὁ Μ ι θ ρ ι δ ά τ ο υ τ ο ῦ Ἀ ρ ι ο β α ρ ζ ά ν ο υ π α ῖ ς. Ὁ γὰρ Ἀντίγονος, φησὶν, ὁ Δημητρίου πατὴρ ἀνῃρήκει τὸν Ἀριοβαρζάνου παῖδα Μιθριδάτην, οὗ παῖς ἦν ὁμώνυμος Μιθριδάτης οὗτος ὁ παρὰ τῷ Ἀντιγόνῳ βιοὺς (ἴδ. Διόδωρ. Σικελ. ιθ΄, 40, καὶ κ΄, 111 μετὰ τῶν σημειώσ. τοῦ Οὐεσσελιγγίου).—στ. 27, Ψήγματα.] ΔΓ, Ψ ή γ μ α τ ι.

ΣΕΛΙΔ. 5, στ. 11, Ὕπαρ αὐτῷ.] Ἐξ ΗΔ, ΑΤ, Ὑ π ὲ ρ α ὐ τ ο ῦ, ἀνθ' οὗ οἱ ΠΡ προείλοντο γράφειν Ὕ π α ρ ὑ τ ο ῦ. Ὁ δὲ νοῦς, Ἡ εἱμαρμένη ταχὺ εἰς ἀλήθειαν μετέβαλε τῷ Μιθριδάτῃ τὴν ψευδῆ Ἀντιγόνου ὄψιν, τουτέστι τὸ ὄναρ. Ἀντίκεινται γὰρ τὸ ὄναρ καὶ ὕπαρ· οἷόν ἐςιν, ἐκ πολλῶν ἓν, τὸ τοῦ Ἡλιοδώρου (Μέρ. Α, σελ. 72, ἐμ. ἐκδ.) « Καὶ εἴθε γε ὕπαρ ἦν, καὶ μὴ ὄναρ, ὦ Θεάγενες, τὸ φανέν ! » τουτέςιν ἀλήθεια καὶ μὴ ψεῦδος. Ὅθεν ἴσως διορθοῦν ἐςι καὶ τὸν Ἡσύχιον, « Ὕπαρ, τὸ μεθ' ἡμέραν, ὌΝΑΡ ἘΝ ἩΜΈΡᾼ, οἷον, φανε» ρῶς, ἐναργῶς, ἀληθῶς » γράφοντας, ΟΥ̓Κ ὌΝΑΡ, ἈΛΛ' ἘΝ ἩΜΈΡᾼ. Τούτων δὲ θάτερον θατέρῳ συμπλεκόμενον, Ὄ ν α ρ καὶ ὕ π α ρ, ταὐτὸ δύναται τροπικῶς τῷ Ν ύ κ τ ω ρ καὶ μ ε θ' ἡμέραν, τουτέςιν ἀδιαλείπτως, ὃ μὴ συνέντες οἱ μεταφράσαντες τὸν Ἱπποκράτην, κάκιστα ἡρμήνευσαν τὸ περὶ τῶν ἀσόφων ἰατρῶν εἰρημένον τῷ σοφωτάτῳ ἰατρῷ (Νομ. § 3, σελ. 42), « Ἡ δὲ ἀπειρίη κακὸς θησαυρὸς, καὶ κακὸν » κειμήλιον τοῖσιν ἔχουσιν αὐτέην, καὶ ὄναρ καὶ ὕπαρ ». Βούλεται γὰρ λέγειν Ἱπποκράτης, ὅτι ἡ ἀπειρία κακόν ἐςι κτῆμα τοῖς κακοῖς ἰατροῖς, σφάλλεσθαι διὰ παντὸς αὐτοὺς ποιοῦσα. —στ. 16, Ὥσπερ

ἐν τοῖς.] Διαγράφειν ἔδοξέ μοι τὴν πρόθεσιν.— στ. 23, Ἐκ Κύπρου.] Ἐκ ΔΓ, οἱ ΠΡ, ΑΤ, Ἐν Κύπρῳ. — στ. 26, Αὐτοτελῶς.] Αὐτοκρατόρως, πληρεξουσίως. — στ. 28, Καθ' αὐτόν.] Ἐκ ΔΓ, ΑΤ, Κατ' αὐτόν. — στ. 30, Πεντακισχιλιων.] Ἐντεῦθεν ὁρμώμενοι οἱ κριτικοὶ διωρθώκασι τὸν Σικελιώτην Διόδωρον (ιθ', 85,) « Πλείους τῶν πεν- » τακοσίων » φάσκοντα πεσεῖν ἐν τῇ μάχῃ· καὶ παρ' ἐκείνῳ γὰρ Πεντακισχιλίων γραπτέον ἐςί.

ΣΕΛΙΔ. 6, στ. 3, Ἀνειπών.] Ἴσ. γρ. Εἰπών. — στ. 6, Χάριτος.] ΔΓ, Τῆς χάριτος, ἐνάρθρως. —στ. 13, Αὖθις διαγωνιεῖσθαι.] Ἐκ ΔΓ οἱ ΠΡ, ΔΤ, Αὖθις δ' ἀγωνιεῖσθαι. Καὶ τὸ μὲν μετὰ τοῦ συνδέσμου προδήλως ἡμάρτηται· ἦν δὲ καὶ διὰ μόνης τῆς τοῦ συνδέσμου περιαιρέσεως γράφειν, Αὖθις ἀγωνιεῖσθαι. — στ. 14, Κολοῦσαι.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Κωλῦσαι. — στ. 27, Αὐτοῦ.] Ἐκ ΔΓ, ΑΤ, Αὐτῷ.

ΣΕΛΙΔ. 7, στ. 14, Ἠδύναντο.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἠδύνατο. — στ. 22, Κασσάνδρου.] Ἐξ ΗΔ ὧδέ τε κἀν τοῖς ἑξῆς, ΑΤ, Κασάνδρου.

ΣΕΛΙΔ. 8, στ. 1, Διαπυρσεύσειν.] Ἐξ ΕΔ καὶ ΔΓ οἱ ΠΡ, ΑΤ, Διαπυρσεύειν. — στ. 22, Ἀναγορεύοντες.] ΔΓ, Προσαγορεύοντες.—Πάντως.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Πάντες. — στ. 28, Φοβουμένου.] ΔΓ, Δεδοικότος.

ΣΕΛΙΔ. 9, στ. 9, Καὶ τούτων πάλιν ἀποςρέψας.] Καὶ τῶν ὀλίγων εὐζώνων τούτων πάλιν ἀποχωρήσας καὶ μονωθείς. — στ. 10, Συνελθοῦσαν.] Ἐκ ΔΓ, ΑΤ, Συνεισελθοῦσαν. — στ. 13, Δεήσας.] ΔΓ, Δεήσαν. — στ. 15, Μεγάρων.] Ἐξ ΕΔ (συνᾳδούσης τῷ Α) ΑΤ, Μεγαρέων. — στ. 19, Ἠρημένου πως ἐν ἡσυχίᾳ καταβιῶναι.] Εἴκασέ τις τῶν ΠΡ γραπτέον εἶναι, Ἠρημένου δὲ πάντως ἐν κ. τ. λ. Ἴσως γραπτέον, Ἠρημένου δ' ὅμως ἐν, ἐναντιωματικῶς πρὸς τὸ Δόξαν ἔχοντος. — στ. 20, Ἠρώτα.] ΔΓ, Αὐτὸν ἠρώτα. — στ. 25, Οὐδένα γὰρ ἡμῖν δοῦλον ἀπολέλοιπας.] Εἰς τὸ Ἡμῖν ἔτρεψα τὸ Ἡμῶν τοῦ κειμένου (συνᾳδόντων τοῦ τε Α καὶ τοῦ Ἰταλοῦ μεταφραςοῦ), ὅπερ ὑπετόπασαν καὶ οἱ ΠΡ.

ΣΕΛΙΔ. 10, στ. 4, Τὸν διὰ μέσου χρόνον.] ΠΡΔ, ΑΤ, Τὸν δὲ μέσον χρόνον. — στ. 9, Πρῶτοι.] Ἐξ ΕΔ, ΑΤ, Πρῶτον. — στ. 11, Καὶ τοῦτο δὴ μόνον τῶν βασιλικῶν κ. τ. λ.] Ὑπετόπασέ τις τῶν ΠΡ γραπτέον εἶναι, Καὶ τοῦτο δὴ μόνον ἦν τῶν βασιλικῶν, ἤ, Καὶ τοῦτο δὴ μόνον τῶν βασιλικῶν ἦν. Μόνος ἴσως

ὁ σύνδεσμος Καὶ, διαγραπτέος ἐςί. Ὁ νοῦς, Πρῶτοι Ἀθηναῖοι Δημήτριον καὶ Ἀντίγονον βασιλεῖς ἀνηγόρευσαν, ἀποςρεφομένους τὸ ὄνομα, ὃ μόνον τῶν βασιλικῶν κτημάτων ἐδόκει ὑπόλοιπον ἔτι εἶναι τοῖς Ἀλεξάνδρου καὶ Φιλίππου ἐκγόνοις. Πάντα γὰρ τἄλλα σφετερισάμενοι οἱ διαδεξάμενοι τὸν Ἀλέξανδρον ςρατηγοὶ, τὸ βασιλεῖς καλεῖσθαι οὔπω προσεπεποίηντο, ἀλλ' ἄθικτον ἔτι τοῦτο καὶ ἀκοινώνητον τοὔνομα εἴων τοῖς Ἀλεξάνδρου παισίν. — στ. 14, Θεούς.] ΔΓ, Αὐτούς. — Τὸν Ἐπώνυμον κ. τ. λ.] Ἕνα τῶν ἐννέα ἀρχόντων, οὕτω προσαγορευόμενον, διὰ τὸ ἐπ' ὀνόματι αὐτοῦ γράφεσθαι τὰ δόξαντα τῇ βουλῇ καὶ τῷ δήμῳ. — στ. 17, Τῷ πέπλῳ.] Ἔπιθι τὸν Σουΐδαν, λέξ. Πέπλος. — στ. 19, Δημητρίου Καταιβάτου.] Ὡσπερανεὶ καὶ Διὸς Καταιβάτου· τὸν Δία γὰρ ἐπωνόμαζον Καταιβάτην, τουτέςι κεραυνοβόλον, ἀπὸ τῆς τῶν κεραυνῶν δηλονότι καταβάσεως. Ὅθεν καὶ Καταιβασία, αὐτὸς ὁ κεραυνὸς τῷ Πλουτάρχῳ ὠνόμασται ἀλλαχοῦ (Περὶ τῶν ὑπὸ τοῦ θ. βραδ. τιμωρουμ. § 10). Παρ' ἡμῖν δὲ νῦν ἡ Καταιβασία, ἢ Κατηβασία, σημαίνει κυρίως μὲν αὐτὴν τὴν κατάβασιν, τουτέςι τὴν τοῦ καταβαίνειν ἐνέργειαν, πρὸς δὲ καὶ τὸν κατάντη τόπον, ὃν καὶ Κατήφορον λέγομεν· πλατύτερον δὲ χρώμεθα τῷ ὀνόματι καὶ ἐπὶ τοῦ Καταῤῥοῦ, ἢ τῆς ἐν τῇ συνηθείᾳ Καταῤῥοῆς, ἣν καὶ Πύκνωσιν καλοῦμεν. — στ. 21, Καὶ τὴν βουλὴν τῶν πεντακοσίων πρότερον.] Καὶ τὴν βουλὴν, ἣ πρότερον ἐκ πεντακοσίων συνέκειτο βουλευτῶν. Οὕτως ἀντὶ τοῦ Πρῶτον ἔγραψα Πρότερον, ὅπερ ἐξέφρασέ πως καὶ ὁ Α. Οἱ ΠΡ παρήνουν γράφειν, Τῶν προτοῦ πεντακοσίων. — στ. 23, Τὸ δὲ ὑπερφυέςατον ἐνθύμημα τοῦ Στρατοκλέους· οὗτος γὰρ ἦν κ. τ. λ.] Μεταθεῖναι τὸ ὑπαρκτικὸν ῥῆμα, Ἦν, μετὰ τὸ, Στρατοκλέους, τινὲς παρήνεσαν οὐκ ὀρθῶς· ἔςι γὰρ καθ' ὑπέρβασιν καὶ τὸ ῥῆμα καὶ ὁ σύνδεσμος, ὡσπερανεὶ ἔλεγε, Ὁ δὲ πάντων ἐνθυμημάτων ὑπερφυέςατον, τοῦ Στρατοκλέους τοῦ καινουργοῦ τῶν σοφῶν τούτων... ἔγραψε γὰρ κ. τ. λ. κατὰ τὰ ἐν ἄλλοις (Ἰσοκράτ. Β, σελ. 48) σημειωθέντα περὶ τοῦ ἑπομένου τοῖς ὑπερθετικοῖς ὀνόμασι, Γὰρ, συνδέσμου. Τοῦ δ' ἐπιτρίπτου Στρατοκλέους τούτου ἐμνημόνευσε Πλούταρχος καὶ ἀλλαχοῦ (Πολιτικ. παραγγέλμ. § 2).

ΣΕΛΙΔ. 11, στ. 8, Κρεωδαισίαν.] Ἐκ ΔΓ ΑΤ, Κρεωδοσίαν. Ἔςι δ' ἡ Κρεωδαισία, κρεῶν διανομὴ, καὶ, ὡς ἂν φαίη ἡ παρ' ἡμῖν συνήθεια, Κρεωμοιρασία, ἡ δὲ τῆς τῶν Γάλλων φωνῆς, Cocagne. στ. 12, Ἰδέως γεγόνατε.] Ἔπιθι τὰ ἀλλαχοῦ (Πλουτάρχ. Δ.

σελ. 458) σημειωθέντα περὶ τῆς φράσεως ταύτης. — στ. 14, Ἦν δ' ἄρα καὶ πυρὸς ἕτερα θερμότερα, κατὰ τὸν Ἀριστοφάνη.] Ἐκ τῶν Ἱππέων (στίχ. 382) τοῦ Κωμικοῦ ταῦτα·

Ἦν ἄρα πυρός γ' ἕτερα θερμότερα,
καὶ λόγων ἐν πόλει
Τῶν ἀναιδῶν ἀναιδέστεροι.

Ἐχρήσατο δὲ τῇ τοιαύτῃ ὑπερβολῇ καὶ Πλάτων (Ἱππ. μείζ. σελ. 295), εἰπὼν, « Ἀκριβέστερον τῆς ἁπάσης ἀκριβείας » . Τοιοῦτον δέ τι ἐστι καὶ τὸ παροιμιῶδες, Κανόνος ὀρθώτερος. — στ. 16, Παραγένηται.] ΔΓ, Ἀφίκηται. — στ. 22, Ἐπεσήμαινε.] Διὰ σημείων ἔφαινε τὴν ὀργὴν αὐτοῦ. — στ. 25, Μέσος ἐῤῥάγη.] Ἐσχίσθη εἰς τὴν μέσην, κατὰ τὴν καθ' ἡμᾶς φωνήν· ὃ καὶ ἀλλαχοῦ (Πλουτάρχ. Δ, σελ. 501) σεσημείωται. — στ. 26, Κώνειον, ἄλλως μηδὲ τῆς χώρας πολλαχοῦ φυόμενον.] Τῆς Ἀττικῆς δηλονότι χώρας· ἐφύετο δὲ καὶ ἐν τῇ Ἀττικῇ, ὥσπερ καὶ ἐν Μεγάροις, καὶ ἀλλαχοῦ τῆς Ἑλλάδος, ὥς φησι Διοσκορίδης (δ', 79)· ἀλλ' οὐ πολὺ, ἴσως δὲ οὐδ' ἐπίσης ἐνεργὲς τῷ ἀλλαχόθεν κομιζομένῳ, οἷον ἦν μάλιστα τὸ ἐκ Σούσων, ἥ φησι Θεόφραστος (Περὶ φυτ. Θ', 17). Κἀντεῦθέν ἐστιν ἐξηγεῖσθαι, διὰ τί πολύτιμον ἦν Ἀθήνησι τὸ κώνειον, ὡς ἐστι συλλογίσασθαι, ἐξ ὧν φησι Πλούταρχος ἐν τῷ Φωκίωνος βίῳ (§ 36). Δώδεκα γὰρ δραχμῶν ἦν ἡ διδομένη τοῖς ἀποθανεῖν καταγνωσθεῖσι πόσις· οὐ μὴν ἀλλὰ καὶ ὁ Σωκράτει διδόναι μέλλων τὸ κώνειον φειδωλῶς πάνυ διαλέγεται περὶ τοῦ φαρμάκου (Πλάτων Φαίδων. σελ. 63). — στ. 27, Ἢ τὰ Διονύσια ἐγίνετο.] ΔΓ, Ἢ τὰ τῶν Διονυσίων ἐγίνετο. — στ. 28, Τὴν πομπὴν κατέλυσαν· ἰσχυρῶν γὰρ πάγων κ.τ.λ.] Ἐξ ΗΔ καὶ ἡ στίξις, καὶ ἡ τοῦ συνδέσμου προσθήκη, ΑΤ, Τὴν πομπὴν κατέλυσαν, ἰσχυρῶν πάγων. — στ. 29, Πάχνης βαθείας πεσούσης.] Ὥσπερ καὶ ἐν τῇ συνηθείᾳ, Ἔπεσε πάχνη. — στ. 30, Ἀπέκαυσε τὸ ψύχος.] Λέγεται Ἀποκαίειν καὶ Ἐπικαίειν (ἰδ. τὰς Γαλατικ. σημ. εἰς τὸ Ἱπποκράτ. Περὶ ἀέρ. ὑδ. τόπ. Β, σελ. 316) τὸ ψύχος, ἡνίκα τῇ σφοδρότητι παραπλήσιόν τι τῇ διὰ πυρὸς καύσει ἐργάζεται τὰ φυτά. Διὸ καὶ τὸ ἐν τῷ τοῦ Λόγγου τῷδε χωρίῳ (Ποιμενικ. γ, σελ, 73), « Κρύος μὲν ἦν ἐξαίσιον, καὶ αὔρα βόρειος » ὙΠΈΚΑΕ πάντα » τρεπτέον οἶμαι εἰς τὸ ἈΠΈΚΑΕ, ἢ ἘΠΈΚΑΕ. Ἡ συνήθεια ἀπροθέτως· Τὸ κρύος ἔκαυσε τὰ ἀμπέλια.

ΣΕΛΙΔ. 12, στ. 1, Τὸν πλεῖστον.] ΠΡΔ, ΑΤ, Τὸ πλεῖστον. —

στ. 5, Ἀσεβοῦνθ' ὁ πέπλος.] Ἐξ ΕΔ, ΑΤ, Ἀσεβοῦντα ὁ πέπλος. — στ. 6, Ποιοῦντ' ἀνθρωπίνας.] Ἐκ ΔΓ, ΑΤ, Ἀνθρωπίνας ποιοῦντα. — στ. 9, Ὑπὸ τοῦ βασιλέως. ] ΔΓ, Παρὰ τοῦ βασιλέως. — Πρᾶξιν. ] ΔΓ, Τάξιν. — στ. 10, Εὐσύμβολος ἀπαντήτης εἶναι καὶ ὀφθείς.] Τὸν Εὐσύμβολον καλέσαις ἂν τῇ καθ' ἡμᾶς φωνῇ Καλοπόδαρον. Φαμὲν δὲ καὶ Καλὸν ἢ Κακὸν συναπάντημα, περὶ ἀγαθοῦ ἢ κακοῦ οἰωνοῦ τὸν λόγον ποιούμενοι. — στ. 11, Μηδέν. ] ΔΓ, Μηθέν. — στ. 18, Δρομοκλείδης.] Ἐμνημόνευσε τούτου καὶ ἀλλαχοῦ Πλούταρχος (Πολιτικ. παραγγέλμ. § 2).

ΣΕΛΙΔ. 13, στ. 6, Φίλα.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Φίλλα. — στ. 11, Τὸ Εὐριπίδειον. ] Ἐξ ΕΔ οἱ ΠΡ προσέθηκαν τὸ ἄρθρον. — στ. 12, Ὅπου τὸ κέρδος, παρὰ φύσιν γαμητέον.] Παρῴδηται ἐξ οὗ Εὐριπίδης εἴρηκεν (Φοινίσσ. 398),

Ἀλλ' εἰς τὸ κέρδος παρὰ φύσιν δουλευτέον.

— στ. 15, Ἀνέδην.] Ἐξ ΗΔ, ΑΤ, Ἀναίδην. — στ. 25, Μάχην.] ΔΓ, Μάχη.

ΣΕΛΙΔ. 14, στ. 6, Προςιθείσης. ] ΠΡΔ, ΑΤ, Προςεθείσης. — στ. 7, Πτολεμαῖος.] ΔΓ (ἐνάρθρως), Ὁ Πτολεμαῖος. — στ. 9, Ὅταν... ἔχῃ.] Γραπτέον, οἶμαι, Ὅταν... σχῇ. — στ. 12, Εμφράξαι. ] ΠΡΔ, ΑΤ, Ἐκφράξαι. — στ. 13, Τοῖς ἀνατείνουσιν εἰς τὴν θάλατσαν ἀκρωτηρίοις περιχεάμενος.] Περὶ τὰ ἐξέχοντα εἰς τὴν θάλασσαν ἀκρωτήρια χεάμενος, τουτέστι διασπείρας, τὴν πεζὴν στρατιάν. — στ. 15, Προσμίξας. ] ΔΓ, Προσρήξας. — Ῥώμῃ. ] Ἴσως γρ. Ῥύμῃ, ὃ καὶ οἱ ΠΡ ὑπετόπασαν. — στ. 17, Φυγόντα. ] Ἐκ ΔΓ, ΑΤ, Φεύγοντα. — στ. 19, Ἑβδομήκοντα.] Ὁ δὲ Σικελιώτης Διόδωρος (κ', 52 ) Τεσσαράκοντα λέγει τὰς ληφθείσας. — στ. 23, Λαμία. ] Ἐξ ΗΔ, ΑΤ, Λάμεια.

ΣΕΛΙΔ. 15, στ. 1, Χιλίους καὶ διακοσίους. ] Ἑξακοσίους, μόνον ὁ Σικελιώτης Διόδωρος (κ' 53). — Μυρίους καὶ δισχιλίους. ] Μυρίους ἑξακισχιλίους, ὁ αὐτὸς Διόδωρος. — στ. 20, Ἀποκρινομένου. ] Ἐξ ΗΔ, ΑΤ, Ἀποκοιναμένου. — στ. 27, Βασιλέα.] Οὐκ ἀλόγως οἱ ΠΡ ὑπετόπασαν ἔξωθεν εἶναι τὴν λέξιν ταύτην τοῦ κειμένου, οὐ μόνον διὰ τὸ μήπω τὴν βασιλέως ἐπίκλησιν ἔχειν τὸν Πτολεμαῖον, ὡς δηλοῖ ἐκ τῶν ἑξῆς (§ 18, σελ. 16), ἀλλὰ καὶ ὅτι οὐδ' εἰκὸς ἦν τὸν κόλακα Ἀριστόδημον βασιλέα καλέσαι τὸν ἐχθρὸν Ἀντιγόνου, ᾧ πρώτῳ πρῶτος τὴν ἐπωνυμίαν ταύτην προσῆψε. — στ. 28, Μυρίους ἑξακι-

σχιλίους ὀκτακοσίους.] Ὤφειλεν εἶναι κατὰ τὸν ἤδη προεκτεθέντα ἀριθμὸν τῶν ἁλόντων, Μυρίους τρισχιλίους διακοσίους. Ὁ γὰρ ἀριθμὸς τῶν μυρίων ἑξακισχιλίων ὀκτακοσίων τῷ τοῦ Διοδώρου ἀριθμῷ μικροῦ συμφωνεῖ.

ΣΕΛΙΔ. 16, στ. 3, Ἔπεμψε.] Ἐξ ΗΔ, ΑΤ, Ἔπεμπε. Κατ' ἀόριστον δ' ἡρμήνευσαν καὶ οἱ μεταφρασταί.—στ. 9, Οὗτος.] Ἐκ ΔΓ, ΑΤ, Οὕτως.—στ. 15, Ἐνεποίησε.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἐποίησε. — στ. 16, Συμμεταβαλλόντων.] Ἐκ ΔΓ, ΑΤ, Μεταβαλλόντων.

ΣΕΛΙΔ. 17, στ. 1, Ἀναφέρειν.] Σεσημείωται ἀλλαχοῦ (Πλουτάρχ. Ε, σελ. 440) ἡ λέξις.—στ. 5, Ἄπρακτος.] Σεσημείωται καὶ αὕτη ἐν τοῖς πρόσθεν (Πλουτάρχ. Β, σελ. 461).—στ. 13, Λαμίας.] Ἐξ ΗΔ, ΑΤ, Λαμείας. — στ. 15, Δοκεῖς κ. τ. λ.] Ἐρωτηματικῶς ἔγραψα, ὥσπερ ἐξέφρασε καὶ ὁ Λ, καὶ ἐκφραστέον εἶναι εἴκασεν ὁ Στέφανος. — Λαμίαν.] Ἐξ ΗΔ, ΑΤ, Λάμειαν. — στ. 18, Θάσιον ἢ Χῖον ἦν τὸ ῥεῦμα.] Αἰνιττόμενος τὸν Θάσιον καὶ τὸν Χῖον οἶνον, ὀνομαστοὺς ὄντας. — στ. 21, Παρ' αὐτῷ.] ΔΓ, Παρ' αὐτόν· πρὸς γὰρ τὸ, Πυρετὸς, ἀναφέρεται ἡ μετοχὴ, ὥσπερ ἡρμήνευσεν ὁ Λατῖνος μεταφραστής. Καὶ ὁ Ἰταλὸς δ' οὐδὲν ἧττον ὀρθῶς ἐξέφρασε, l' ho io incontrata (la febbre) appunto su le porte, mentre se ne partiva. — στ. 24, Διὰ τὴν ἄλλην αὐτοῦ πρᾶξιν.] Ὡσπερανεὶ ἔλεγε, Διὰ τὰς ἄλλας αὐτοῦ πράξεις, καθὰ καὶ ὁ Ἰταλὸς μεταφραστὴς ἐξέφρασε, in grazia dell' altre illustri azioni ch' egli facea, μόνον τὸ illustri παραφραστικῶς προσθείς.—στ. 27, Ἡδονῇ διδοὺς... ἑαυτόν.] Κατὰ τὸ πλῆρες ἐξήνεγκε τὸ παρ' Εὐριπίδῃ (Φοινίσσ. 21) ἐλλειπτικῶς εἰρημένον·

Ὁ δ' ἡδονῇ δοὺς, εἴς τε βακχεῖον πεσών.

Σεσημείωται δὲ ἐν ἄλλοις [Πλουτάρχ. Δ, σελ. 434) καὶ ἡ παρ' ἡμῖν συνήθεια, Ἐδόθη εἰς τὰς ἡδονάς, λέγουσα.

ΣΕΛΙΔ. 18, στ. 5, Θεωρητικός.] Ἴσον ἐνταῦθα δύναται τῷ, Εὐρετικός. — στ. 6, Οὐδὲ διαγωγάς.] Ἐκ ΔΓ (συνᾳδούσης Λ, passe-temps) ΑΤ, Οὐδ' εἰς ἀγωγάς. — στ. 7, Αὐλοῦντες.] Οἷος ἦν Πτολεμαῖος, ὁ καὶ διὰ τοῦτο Αὐλητὴς ἐπικαλούμενος. Ὁ δὲ Νέρων καὶ ἐπὶ τῷ κιθαρῳδεῖν ἐνηβρύνετο. — στ. 8, Ἀέροπος δ' ὁ Μακεδὼν τραπέζια μικρὰ καὶ λυχνίδια τεκταινόμενος.] Ὁποῖα τεκταίνεσθαι καὶ Διονύσιον τὸν Σικελίας τύραννον ἐρεῖ Πλούταρχος ἐν τοῖς ἑξῆς (Δίων § 9, σελ. 139). — στ. 11, Ἐν τοῖς βασιλικοῖς κή-

ποις.] Προσέθηκα τὴν τελευταίαν λέξιν, προσθετέαν εἶναι καὶ τῶν ΠΡ εἰκασάντων. Ἐξέφρασε δ' αὐτὴν καὶ ὁ Α, es jardins de son Palais-Royal, καὶ ὁ Ἰταλὸς μεταφραστής, ne' reali suoi orti. — στ. 18, Συνεκφερόντων.] Ἴσ. γρ. Συνεκφαινόντων, ὥσπερ εἴκασαν οἱ ΠΡ, καὶ ἐξέφρασαν ὅ τε Α. καὶ ὁ Ἰταλὸς μεταφραστής.—στ. 24, Αἱ δ' ἑλεπόλεις ὡς θέαμα κ. τ. λ.] Διαγραπτέον τὸ ὁμοιωματικὸν μόριον, ὅπερ οὔθ' ὁ Α, οὔθ' ὁ Ἰταλὸς μεταφραστής, ἐξέφρασαν. — στ. 26, Σόλους τοὺς Κιλικίους.] Πρὸς ἀντιδιαστολὴν τῶν ἐν Κύπρῳ Σόλων. — στ. 30, Κατελύσαντο.] Ἐξ ΕΔ (συναδούσης τῷ Α), ΑΤ, Κ α τ ε λ ύ σ α τ ο.

ΣΕΛΙΔ. 19, στ. 4, Ἧς ἕδρα μὲν ἦν τετράγωνος.] Ἐ σ χ ά ρ ι ο ν τ ε τ ρ ά γ ω ν ο ν καλεῖ τὴν ἕδραν ταύτην Διόδωρος ὁ Σικελιώτης (κ, 91). —στ. 6, Ὀκτὼ καὶ τεσσαράκοντα πηχῶν.] Ὁ δὲ Διόδωρος (κ, 91) Π η χ ῶ ν σ χ ε δ ὸ ν π ε ν τ ή κ ο ν τ α φησί· Βιτρούβιος δὲ (X, 16) Ἑ ξ ή κ ο ν τ α.—Ἐξ δὲ καὶ ἑξήκοντα.] Γραπτέον, Ἐ ξ δ ὲ κ α ὶ ἐ ν ν ε-ν ή κ ο ν τ α· ὁ μὲν γὰρ Βιτρούβιος (X, 16) ἑ κ α τ ὸ ν ε ἰ κ ο σ ι π έ ν τ ε, φησίν· Διόδωρος δέ, τὴν μὲν κατὰ Σαλαμινίων κατασκευασθεῖσαν Ἑλέπολιν ἐ ν ν ε ν ή κ ο ν τ α π η χ ῶ ν ὕψος ἔχειν λέγει (κ, 48), τὴν δὲ κατὰ Ῥοδίων, βραχὺ λεῖπον τῶν ἑκατὸν (κ, 91). — στ. 7, Συννεύουσαν.] Πρὸς τὸ, Κορυφήν. ΔΓ, Σ υ ν ν ε ύ ο υ σ α, πρὸς τὸ Ἑλέπολις.—Ταῖς ἄνω πλευραῖς.] ΔΓ, Τ α ῖ ς ἄ ν ω π λ ε υ ρ α ῖ ς.—Στενωτέραν.] Οἱ ΠΡ διορθοῦντες ἔγραψαν Ε ἰ ς σ τ ε ν ώ τ ε ρ α. Ἕτεροι δὲ παρῄνουν γράφειν, Κ α ὶ σ τ ε ν ω τ έ ρ α ν. Γραπτέον εἶναί μοι δοκεῖ τὸ ὅλον, Σ υ ν ν ε ύ ο υ σ α τ α ῖ ς ἄ ν ω π λ ε υ ρ α ῖ ς σ τ ε ν ω τ έ ρ α ι ς τ ῆ ς β ά σ ε ω ς, τουτέστι, συγκλίνουσα καὶ συναγομένη ἡ Ἑλέπολις ἐν ταῖς ἄνω πλευραῖς, οὔσαις στενωτέραις τῶν τῆς βάσεως πλευρῶν, ὥσπερ ἐξέφρασε καὶ ὁ Α, καὶ ὁ Λατῖνος μεταφραστής. — στ. 8, Στέγαις διεπέφρακτο καὶ χώραις πολλαῖς.] Ἐννέα ἦσαν αἱ στέγαι κατὰ τὸν Διόδωρον, ὧν ἡ μὲν κατωτάτω ὑπῆρχε κλινῶν τεσσαράκοντα τριῶν, ἡ δ' ἀνωτάτω ἐννέα. — στ. 14, Θάμβος ἅμα τῇ ψυχῇ καὶ χάριν ὁμοῦ τινα τῇ ὄψει τῶν θεωμένων παρεῖχε.] Διαγραπτέον εἶναι τὸ, Ἅ μ α, ἔκριναν οἱ ΠΡ, διὰ τὸ προσεχὲς Ὁ μ ο ῦ τ ι ν α. Λείπει δὲ καὶ ἐν τῇ Ἰταλικῇ μεταφράσει καὶ ἐν τῇ τοῦ Α, πλὴν εἰ μὴ οὗτος θ ά μ β ο ς μ έ γ α, ἀντὶ τοῦ θάμβος ἅμα, γραπτέον εἶναι ὑπείληφεν, ἐκφράσας, un grand esbahissement. Ἔστι μέντοι κατὰ χώραν ἐᾶν τὸ Ἅ μ α, τρέποντας τὸ ἑπόμενον, Ὁ μ ο ῦ τ ι ν α, εἰς τὸ, Ὁ μ ο ῦ τ ι, τὸ σημαῖνον τὸ σχεδόν. Σημειοῦ δὲ καὶ τὸ Χ ά ρ ι ν ἐπὶ τῆς ἡδονῆς, ὥσπερ ἀνωτέρω

(σελ. 326). τεταγμένον.—στ. 19, Ἓξ καὶ εἴκοσι.] ΔΓ, Ἓ ξ ε ἴ κ ο σ ι· ἐξ ἧς εἰκασάν τινες οὐκ ἀπιθάνως γραπτέον εἶναι, Ἐ ξ ε ἰ κ ο σ ι· ἕτεροι δὲ γράφειν παρῄνουν Ἀφ' ἓ ξ κ α ὶ ε ἴ κ ο σ ι· ἄλλοι δὲ, Ἑ ξ ἑ κ α τ ὸ ν καὶ εἴκοσι, ὡς ἡρμήνευσε καὶ ὁ Α, de six - vingt pas. — στ. 29, Ὥσπερ εἶχε.] Ὡς ἦν, οὐδὲν ὑπεξελόμενοι. Ἡ συνήθεια, Κ α θ ὼ ς ἦ τ ο.

ΣΕΛΙΔ. 20, στ. 6, Πρωτογένης γράφων τὴν περὶ τὸν Ἰάλυσον διάθεσιν.] Ἐξηγησάμεθα τοῦτο ἐν τοῖς εἰς τὸν Ἡλιόδωρον (Β, σελ. 112). Ἦν δ' ὁ Ἰάλυσος υἱὸς Κερκάφου τοῦ Ἡλίου παιδὸς, ἀφ' οὗ καὶ μία τῶν ἐν Ῥόδῳ τριῶν πόλεων Ἰάλυσος ἐκαλεῖτο, ἣν Ὅμηρος ὀξυτόνως προήνεγκε (Ἰλιάδ. β́, 656),

Οἳ Ῥόδον ἀμφενέμοντο διὰ τρίχα κοσμηθέντες,
Λίνδον, Ἰηλυσόν τε καὶ ἀργινόεντα Κάμειρον.

Τῶν δὲ Πρωτογένους τοῦ ζωγράφου ἔργων κάλλιστον ἐκρίνετο, ὥς φησι Πλίνιος (XXXV, 10), ὁ Ἰάλυσος. — στ. 10, Ἀπεκρίνατο τὰς τοῦ πατρὸς εἰκόνας ἐμπρήσειν μᾶλλον, ἢ τέχνης πόνον τοσοῦτον.] Ἐ μ π ρ ή σ ε ι ν ἔγραψα, ἐξ ΕΔ, ΑΤ, Ἐ μ π ρ ῆ σ α ι. Ἡ δὲ ἀπόκρισις φιλότεχνον ἐς τὰ μάλιστα ἀποφαίνει τὸν Δημήτριον. Οὐχ ἧττον δ' ἀστεῖον καὶ τὸ πρὸς αὐτὸν ὑπὸ τοῦ Πρωτογένους ῥηθέν· μεταπεμφθεὶς γὰρ ὑπὸ τοῦ Δημητρίου, καὶ ἐρωτηθεὶς, Τ ί ν ι π ε π ο ι θ ὼ ς, ἐ κ τ ὸ ς τ ο ῦ τ ε ί χ ο υ ς δ ι έ τ ρ ι β ε ν, ἀπεκρίνατο, Ὅ τ ι σ ο ι ο ἶ δ α, ὦ β α σ ι λ ε ῦ, π ρ ὸ ς Ῥ ο δ ί ο υ ς, ο ὐ π ρ ὸ ς τ ὰ ς τ έ χ ν α ς ὄ ν τ α τ ὸ ν π ό λ ε μ ο ν, accitus a rege interrogatusque ; qua fiducia extra muros ageret, respondit, scire se cum Rhodiis illi bellum esse, non cum artibus (Plin. XXXV, 10). Κἀντεῦθεν, ὡς καὶ ἐξ ἄλλων ὅτι πλείστων, μαθεῖν ἐστι, τίνι διαφέρουσι δεσποτῶν βαρβάρων βασιλεῖς Ἕλληνες, καὶ ἀπαιδεύτου ὄχλου, ἔθνος ἐπιστήμαις καὶ τέχναις κεκοσμημένον.—στ. 13, Καί φασι τὸν Ἀπελλῆν οὕτως ἐκπλαγῆναι θεασάμενον.] Ἐξ ΗΔ, ΑΤ, ἀδιανοήτου, Κ α ί φ η σ ι ν ὁ Ἀ π ε λ λ ῆ ς ο ὕ τ ω ς ἐ κ π λ α γ ῆ ν α ι θ ε α σ ά μ ε ν ο ς. Συνᾴδουσι δὲ τῇ ἡμετέρᾳ διορθώσει ὅ τε Α, et DIT-ON encore plus, qu' Apelles luy-même, quand il le vit, fut si fort espris d' esbahissement, καὶ ὁ Ἰταλὸς μεταφραστὴς, et RACONTASI che Apelle resto si fattamente attonito in rimirarla.—στ. 15, Μέγας ὁ πόνος... τὰ ὑπ' αὐτοῦ γραφόμενα.] Φέρεται ΔΓ, Τ ὰ ὑ φ' α ὐ τ ο ῦ γ ρ α φ ό μ ε ν α. Ὁποτέρως δ' ἂν γράφῃς, ὁ νοῦς ἐστι, Τὰ ὑπὸ Ἀπελλοῦ γραφόμενα, καίπερ ἑτέρως τοῦτο ἱστορήσαντος τοῦ Αἰλιανοῦ (Ποικ. ἱστορ. ιβ́, 41, Πρόδρ. Ἑλλ.

Βιβλιοθ. σελ. 154), «Καὶ ὁ πόνος μέγας, καὶ ὁ τεχνίτης· ἀπολεῖ-» πεταί γε μὴν τῆς χειρουργίας ἡ χάρις, ἧς ὁ ἀνὴρ εἰ τύχοι, ὁ πόνος » αὐτοῦ τοῦ οὐρανοῦ ψαύσει». — στ. 19, Ἀθηναῖοι παραγενόμενοι διήλλαξαν.] Αἰτωλοῖς, οὐκ Ἀθηναίοις, προστίθησι τὴν διαλλαγὴν ὁ Σικελιώτης Διόδωρος (κ, 99). — στ. 26, Ἑκουσίως.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἑκουσίους.—στ. 27, Μεταβαλομένους.] Ἐξ ΗΔ, ΑΤ, Μεταβαλλομένους.

ΣΕΛΙΔ. 21, στ. 2, Πρὸς αὐτόν.] ΔΓ, Εἰς αὐτόν. — στ. 4, Ταῖς κολακείαις.] ΔΓ, Τὰς κολακείας. — στ. 10, Τὸν ςαθμοδότην.] Ἔςιν οὗτος ὁ παρὰ τοῖς Γάλλοις καλούμενος, Maréchal des logis, ὥσπερ ἐξέφρασεν ὁ Λ. — στ. 14, Τοῦτο.] Τὸ ἀδελφὸς Ἀθηνᾶς εἶναι δηλονότι. — στ. 16, Ἀςάς.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Καταςάς. — στ. 17, Χρυσίδι, καὶ Λαμίᾳ, καὶ Δημοῖ, καὶ Ἀντικύρᾳ.] Περιβόητοι ἑταῖραι τῶν Ἀττικῶν. Καὶ τῆς μὲν Λαμίας ἐμνημόνευσεν ἤδη ὁ Πλούταρχος (§ 19, σελ. 17)· Χρυσίδος δὲ καὶ Ἀντικύρας καὶ ἄλλων ἑταιρῶν μνημονεύει Μένανδρος (παρὰ τῷ Ἀθην. ιγ, σελ. 587)·

Χρυσίδα, Κορώνην, Ἀντίκυραν, Ἰσχάδα
Καὶ Ναννάριον ἔσχηκας ὡραίαν σφόδρα.

Τὴν Δημὼ δὲ, Ἀντιγόνῳ τῷ πατρὶ συγκαλλαϊνουσαν πρότερον, καὶ Δημήτριος ὁ υἱὸς ἐρωμένην ἔσχε (Ἀθην. ιγ, σελ. 578). — στ. 23, Ἐκαλεῖτο γάρ.] ΔΓ, Ἐκαλεῖτο δέ.

ΣΕΛΙΔ. 22, στ. 5, Ἀφῆκαν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἀφῆκεν. — στ. 11, Πᾶν, ὅ τι ἂν ὁ.] Ἐκ ΔΓ, ΑΤ, Πᾶν ὅτι ὁ. — στ. 14, Λευκονοεύς.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Λακωνεύς. Ἔςι δὲ δημοτικὸν ὄνομα παρὰ τὸ Λευκόνοον, δήμου τῆς Ἀττικῆς οὕτω καλούμενον (ἰδ. Οὐαλέσ. σημειώσ. εἰς τὸν Ἁρποκρατ. λέξ. Λευκόνοον). Ἕτεροι δὲ γράφουσι Λευκονοιεὺς καὶ Λευκόνοιον (Πρόδρομ. Ἑλλ. Βιβλιοθ. σελ. 323). — Μαίνοιτο μέντ' ἄν, εἰ μὴ μαίνοιτο.] Παρόμοιον τῷ, Ἀπωλόμεθ' ἄν, εἰ μὴ ἀπωλόμεθα, τοῦ Θεμιςοκλέους (Πλουτάρχ. Α, σελ. 232). Λέγοιντο δ' ἂν τὰ τοιαῦτα καὶ Ὀξύμωρα· ταὐτὸ γὰρ δύνανται τὸ μὲν, Μαίνοιτο μέντ' ἄν, εἰ ἐσωφρόνει, θάτερον δὲ τῷ, Ἀπωλόμεθ' ἄν, εἰ σωζόμεθα. Ὀξύμωρον δὲ καλοῦσιν οἱ τεχνογράφοι τὸ συνάπτον εἰς ἓν τὰ ἐναντία. Καὶ τὸ μὲν ἔςιν ἐν πλείοσι λέξεσι, καθάπερ τὰ προεκτεθέντα· τὸ δὲ ἐν μιᾷ μόνῃ λέξει συνθέτῳ, οἷον ὁ Κλαυσίγελως, ὁ Θρασύδειλος, ὁ Μωρόσοφος, ὁ Γλυκύπικρος, καὶ ἄλλα πλεῖςα, περὶ ὧν ἔπιθι τὰς

[library stamp]

εἰς τὸν Ὀππικὸν (Κυνηγετ. Α, 260) σημειώσεις τῶν κριτικῶν. — στ. 20, Προϊεμένων.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Π ρ ο ε μ έ ν ω ν. — στ. 22, Ἄργος.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἄ ρ γ ο υ ς. — στ. 25, Αἰακίδου.] ΔΓ, Α ἰ α κ ο ῦ. Ἔπιθι τὸν Πύῤῥου βίον (§ 1, Πλουτάρχ. Μέρος Γ, σελ. 2). — στ. 27, Εἰς τὴν πόλιν.] ΠΡΔ ἡ προσθήκη τῆς προθέσεως. — Ἔπεισεν.] ΔΓ, Ἐ π ο ί η σ ε ν.

ΣΕΛΙΔ. 23, στ. 9, Ἡδέως ἤκουε τῶν παρὰ πότον ἐπιχύσεις λαμβανόντων.] Ἐκ τοῦ Φυλάρχου ταῦτα παραθέσθαι τὸν Πλούταρχον εἰκότως οἴεται ὁ Κασωβῶν ἐν τοῖς εἰς τὸν Ἀθήναιον (ς' σελ. 261) σχολίοις. Οὕτω γὰρ ὁ Ἀθήναιος· « Καὶ Δημήτριος ὁ Πολιορκητὴς φι-» λόγελως ἦν, ὡς ἱστορεῖ Φύλαρχος ἐν τῇ δεκάτῃ τῶν Ἱστοριῶν. Ἐν δὲ τῇ » τεσσαρεσκαιδεκάτῃ γράφει οὕτως· Π ε ρ ι ε ώ ρ α Δ η μ ή τ ρ ι ο ς τ ο ὺ ς » κ ο λ α κ ε ύ ο ν τ α ς α ὐ τ ὸ ν ἐ ν τ ο ῖ ς σ υ μ π ο σ ί ο ι ς καὶ ἘΠΙΧΕΟΜΕ-» ΝΟΥΣ Δ η μ η τ ρ ί ο υ μ ὲ ν, μ ό ν ο υ β α σ ι λ έ ω ς, Π τ ο λ ε μ α ί ο υ δ ὲ, » *μ ό ν ο υ* ν α υ ά ρ χ ο υ, Λ υ σ ι μ ά χ ο υ δ ὲ, Γ α ζ ο φ ύ λ α κ ο ς, Σ ε-» λ ε ύ κ ο υ δ', ἐ λ ε φ α ν τ ά ρ χ ο υ ». Καὶ σημείωσαι ὅτι τὸ Ἐ π ι χ έ ε σ θ α ι τοῦ Φυλάρχου Πλούταρχος διὰ τοῦ Ἐ π ι χ ύ σ ε ι ς λ α μ β α ν ό ν τ ω ν ἐξέφρασεν, ὃ γραφικῶς ἡμαρτῆσθαι Κασωβῶν εἴκασεν, ἀντὶ τοῦ, Ἐ π ι χ ύ σ ε ι ς λ ε ι β ό ν τ ω ν, ὅ ἐστι σπενδόντων ἐπὶ τῆς τραπέζης εἰς τιμὴν τοῦ Δημητρίου. Οὐ μετακινητέον μέντοι τὴν γραφήν· εἰ γὰρ καὶ οἱ πιεῖν μέλλοντες ἐ π ι χ ύ σ ε ι ς ἐ π ο ι ο ῦ ν τ ο, ὡς ἔφρασε Πλούταρχος ἐν τῷ Βρούτου βίῳ (ἀνωτέρ. σελ. 201), τουτέστιν ὀλίγον ἐπέχεον τοῦ οἴνου τῇ γῇ πρὸ τοῦ προσενέγκασθαι, εἶθ' οὕτως ἐξέπινον (ἴδ. Ἀθην. Τόμ. τῶν σημειώσ. Γ, σελ. 506 καὶ 541), ἔστι περὶ τῶν αὐτῶν φάναι, ὅτι καὶ ἐ π ι χ ύ σ ε ι ς ἐ λ ά μ β α ν ο ν, παρὰ τοῦ ἐπιχέοντος δηλονότι καὶ τὴν κύλικα προσφέροντος οἰκέτου, ἢ δηλοῖ καὶ ὁ κωμικὸς Ἄλεξις (παρὰ τῷ Ἀθην. ς', σελ. 254), ἕνα τῶν Δημητρίου τούτου κολάκων παρεισάγων λέγοντα·

— Παῖ, τὴν μεγάλην δὸς, ἘΠΙΧΕΑΣ
Φιλίας κυάθους τῶν παρόντων τέτταρας·
Τοὺς τρεῖς δ' ἔρωτος προσαποδώσεις ὕστερον·
Ἕν' Ἀντιγόνου τοῦ βασιλέως νίκης καλῆς,
Καὶ τοῦ νεανίσκου κύαθον Δημητρίου·
____________ Φέρε τὸν τρίτον
Φιλᾶς Ἀφροδίτης. Χαίρετ', ἄνδρες συμπόται.
Ὅσων ἀγαθῶν τὴν κύλικα μεστὴν πίομαι!

— στ.

—Στ. 17, Νῦν πρῶτον... ἐκ τραγικῆς σκηνῆς.] Ὁ γὰρ Δημήτριος, ὥς φησι Φύλαρχος (παρὰ τῷ Ἀθην. ιδ', σελ. 614 μετὰ τῶν σημ.) ἔλεγε τὴν Λυσιμάχου αὐλὴν κωμικῆς σκηνῆς οὐδὲν διαφέρειν, τὴν ἑαυτοῦ τραγικῇ παρεικάζων. Πρὸς τοῦτο τοίνυν τὸ Δημητρίου σκῶμμα, ἀντισκώπτων ὁ Λυσίμαχος ἔλεγεν οὐχ ἑωρακέναι πόρνην ἐκ τραγικῆς προερχομένην σκηνῆς· οὐ γὰρ ἐν τραγῳδίαις, ἀλλ' ἐν κωμῳδίαις παρεισάγειν εἰώθεσαν τὰς πόρνας.—Στ. 18, Προερχομένην.] ΔΓ. Ἐπερχομένην.—Στ. 26, Ἐπώπτευον δὲ τοὐλάχιστον ἀπὸ τῶν μεγάλων ἐνιαυτὸν διαλιπόντες.] Ὁ Κασωβῶν οἴεται δεῖν γράφειν, Ἐπώπτευον δὲ τοὐλάχιστον ἀπὸ τῶν μικρῶν κ. τ. λ. ὥσπερ ἡρμήνευσε καὶ ὁ Ἰταλὸς μεταφραστής· τὰ γὰρ μεγάλα αὐτὰ ἦσαν τὰ Ἐποπτικὰ καλούμενα, κατὰ τὰ ἐν ἄλλοις (Πλουτάρχ. Δ, σελ. 407) σημειωθέντα ἐκ τοῦ Σουΐδα. Ἕτεροι δὲ γραπτέον εἶναι ὑπέλαβον, Ἐπὶ τῶν μεγάλων. Ἄλλοι δὲ κατὰ χώραν ἐῶντες τὴν γραφὴν τρεῖς βαθμοὺς τῶν μυστηρίων εἶναι ὑπέλαβον, μικρά, μεγάλα, καὶ ἐποπτικά.—στ. 30, Ἐτέλουν τῷ Δημητρίῳ τὰ πρὸς Ἄγραν.] Γραπτέον, Ἐτέλουν τὸν Δημήτριον τὰ πρὸς Ἄγραν· πρὸς διπλῆν γὰρ αἰτιατικὴν συνάπτεται τὸ Τελῶ ἡνίκα σημαίνει τὸ Μυῶ. Τὸ δέ, Πρὸς Ἄγραν ἐξ ΕΔ παρείληφα, ΑΤ, Πρὸς ἀγοράν. « Ἄγρα καὶ Ἄγραι, χωρίον... » τῆς Ἀττικῆς πρὸ τῆς πόλεως, ἐν ᾧ τὰ μικρὰ μυστήρια ἐπιτελεῖται » φησὶν ὁ Βυζάντιος Στέφανος.

ΣΕΛΙΔ. 24, στ. 8, Εἰσάγων.] ΔΓ (οὐ κακή), Εἰσαγαγών.—στ. 12, Συντόνου.] Ἐξ ΕΔ, ΑΤ. Συντόμου. Ἐξηγησάμεθα τὴν λέξιν ἀλλαχοῦ (Πλουτάρχ. Α, σελ. 474).—στ. 23, Ἐκάλει μῦθον· εἶναι γὰρ αὐτῷ καὶ Λαμίαν.] Πολὺ γὰρ ἐν τοῖς μύθοις τὸ τῆς Λαμίας ὄνομα, εἴτε τῆς Λιβυκῆς βασιλίσσης, περὶ ἧς ἱστόρηκε Διόδωρος ὁ Σικελιώτης (κ, 41, Τόμ. Β, σελ. 435), εἴτε τοῦ ἀναπλασθέντος βοροῦ καὶ ὀλεθρίου θηρίου· καὶ κατεχρήσαντο μάλιστα οἱ κωμικοὶ τῷ ὀνόματι, ᾗ δῆλον ἐξ Ἀριστοφάνους. Οὐ μὴν ἀλλὰ καὶ οἱ ἀρχαῖοι ἱστορικοί, πρὸς οἷς κατεχώρισαν ἐν ταῖς ἱστορίαις αὐτῶν πολλοῖς μυθικοῖς διηγήμασι, καὶ τὴν Λαμίαν συνέταξαν, διὰ τῆς τοῦ μύθου ἡδονῆς, οἱονεὶ δελέατος, τοὺς ἀναγνωσομένους εἰς προσοχὴν ἐπισπώμενοι· δι' ὅπερ ἴσως καὶ Λογοποιοὶ ὠνομάζοντο οἱ παλαιοὶ τῆς ἱστορίας συγγραφεῖς.

ΣΕΛΙΔ. 25, στ. 5, Δημὼ γ' οὖν ἡ ἐπικαλουμένη Μανία.] Συνέχεε Πλούταρχος τὴν Δημὼ τῇ Μανίᾳ. Ἡ μὲν γὰρ Δημὼ Ἀντιγόνου ἐρωμένη ἦν τοῦ πατρὸς Δημητρίου, ἧς ἠράσατο καὶ αὐτὸς ὁ Δημήτριος· ἡ δὲ Μανία, Μέλιττα τὸ πρότερον καλουμένη, Δημητρίου ἐγένετο ἐρωμένη.

Ἐπεκλήθη δὲ Μανία, διὰ τὸ συνεχῶς τῷ τῆς μανίας ὀνόματι χρῆσθαι ἐν ταῖς ὁμιλίαις, ὡς γοῦν ἐξηγήσαντο οἱ κριτικοὶ τὰ τῷ Μάχωνι εἰρημένα περὶ τῆς μανίας παρὰ τῷ Ἀθηναίῳ (ιγ', σελ. 578)· παρ' ᾧ καὶ ἀπομνημονεύματα τῆς Μανίας φέρεται, παραπλήσια τοῖς σκώμμασι τῆς ἐν Παρισίοις οὐ πρὸ πολλοῦ τελευτησάσης τὸν βίον, περιβοήτου σκηνικῆς, Ἀρνολδίας. — Στ. 28, Ἔτι μᾶλλον αὐτὸν ἐπέῤῥωσε.] ΗΔ, ΑΤ, Ἔτι μᾶλλον αὐτὸς ἐπεῤῥώσθη. Καὶ ὁ Α δὲ τὴν ΗΔ ἐξέφρασε, sa venue l' asseura et l' encouragea encore d' avantage.

ΣΕΛΙΔ. 26, στ. 1, Αὐτῷ τε διαφυλάξαι.] ΠΡΔ ἡ τοῦ συνδέσμου προσθήκη.— στ. 6, Ἐνὶ λίθῳ.] Ἐκ ΔΓ ἡ διορθώσεως οἱ ΠΡ, ΑΤ, Ἐν λίθῳ.—Συνδιαταράξειν.] Ἴσ. γρ. Διαταράξειν, διὰ μιᾶς προθέσεως.—στ. 11, Γενομένων δ' ἐγγὺς αὐτῶν, τροπὴν ἔσχεν ἡ διάνοια κ. τ. λ.] Ἐξ ΕΔ τὸ Αὐτῶν, ΑΤ, Αὐτῷ. Οἱ δὲ ΠΡ τηρήσαντες τοῦτο, τὴν ῥίζιν μετέβαλον, Γενομένων δ' ἐγγύς, αὐτῷ τροπὴν ἔσχεν ἡ διάνοια, τῷ Ἀντιγόνῳ, δηλονότι. Ἐμοὶ δὲ νῦν ἡ γνησία γραφὴ εἶναι δοκεῖ, Γενομένῳ δ' ἐγγὺς αὐτῶν τροπὴν ἔσχεν ἡ διάνοια, τουτέστι τῷ Ἀντιγόνῳ, ἐγγὺς γενομένῳ τῶν πολεμίων, ἡ διάνοια μετέβαλεν οὐ τὴν γνώμην, περὶ τοῦ πολεμῆσαι ἢ μὴ, περὶ τοῦ ὑποστῆναι τοὺς πολεμίους ἢ φυγεῖν, ἀλλὰ τὴν ἐλπίδα τοῦ νικήσειν οὓς πρότερον σκώπτων, ὡς σπερμολόγους ὄρνιθας, διαταράξειν ἐπηγγέλλετο.—στ. 17, Ἀπέδειξε.] Ἴσως γραπτέον, Ἐπέδειξε, ὡς εἴκασέ τις τῶν ΠΡ, καὶ ἐξέφρασεν ὁ Α, presenta.— στ. 22, Τὸν Δημήτριον αὐτοῦ πυθέσθαι.] Ἐν δὲ τοῖς Ἀποφθέγμασι Πλούταρχος οὐ Δημήτριον, ἀλλὰ τὸν ἀδελφὸν Φίλιππον τοῦτο πυθέσθαι τοῦ πατρὸς Ἀντιγόνου φησί.—στ. 28, Αὐτοῦ.] Τοῦ Δημητρίου.

ΣΕΛΙΔ. 27, στ. 2, Ὅλως.] Ἐκ ΔΓ, ΑΤ, Ὅλος.—στ. 7, Σοβαρᾷ.] « Σοβαρὸς, ὑπερήφανος, αὐθάδης κ. τ. λ. » φησὶν Ἡσύχιος. —στ. 9, Οὐκ ἔσχε.] Οὐκ ἠδυνήθη.— στ. 10, Γενομένων.] ΔΓ, Γινομένων. — στ. 12, Μεταβαλέσθαι.] Ἐξ ΗΔ, ΑΤ, Μεταβάλλεσθαι.—στ. 16, Πλὴν ἐμοῦ.] Ἐκ ΔΓ καὶ ΕΔ προσέθηκα τὸ Πλήν. — στ. 24, Προσδιενείμαντο τὰς ἐκείνων ἐπαρχίας, αἷς εἶχον αὐτοὶ πρότερον.] Ἐξ ΕΔ τὸ Αἷς, οἱ ΠΡ, ΑΤ, Ἅς. Τὸν δὲ νοῦν ἐξηγοῦνται, Οἱ νενικηκότες βασιλεῖς, διανειμάμενοι τὰς Ἀντιγόνου καὶ Δημητρίου ἐπαρχίας προσέθηκαν ἕκαστος αἷς ἐκέκτητο πρότερον ἐπαρχίαις.

ΣΕΛΙΔ. 28, στ. 2, Καὶ τὴν γυναῖκα.] Ἐξ ΗΔ ἡ προσθήκη τοῦ ἄρθρου. —στ. 8, Τοῦ καθεστηκότος ἐξέστη δι' ὀργὴν αὐτοῦ.] Περιαιρετέον τὴν

ἀντωνυμίαν, δόξαν τοῦτο καὶ τοῖς ΠΡ. Ὁ δὲ νοῦς, ἔξω φρενῶν ἐγένετο ὑπ' ὀργῆς· τοῦτο γάρ ἐςι τὸ ἐξίςασθαι τοῦ καθεςηκότος. Παρατίθει τάδε τοῖς ἀλλαχοῦ (Πλουτάρχ. Β, σελ. 380) σεσημειωμένοις.

ΣΕΛΙΔ. 29, στ. 4, Τῷ δὲ μᾶλλον.] Ἐκ ΔΓ προσέθηκαν τὸν σύνδεσμον οἱ ΠΡ.—στ. 6, Ἐξ Ἀπάμας, τῆς Περσίδος.] Οἵα ἦν καὶ ἡ ὁμώνυμος Ἀρταβάζου θυγάτηρ, ἡ Πτολεμαίῳ ὑπ' Ἀλεξάνδρου δοθεῖσα (Πλουτάρχ. Εὐμέν. § 1, Μέρ. Δ, σελ. 29)—στ. 11, Κηδεῦσαι.] Κηδεύω ἐνθάδε σημαίνει τὸ ἐν τῇ συνηθείᾳ, Συμπενθεριάζω. — στ. 14, Εἶχε.] Ἐκ ΔΓ, οἱ ΠΡ, ΑΤ, Ἦρχε. — στ. 19, Πρὸς αὐτόν.] Πρὸς τὸν ἀδελφὸν Κάσσανδρον. — στ. 21, Ἐπὶ Κυΐνδων.] Ἔπιθι τὰ εἰς τὸν Εὐμένους βίον (Πλουτάρχ. Δ, σελ. 340) σημειωθέντα. — στ. 24, Ῥωσόν.] Ἐξ ΕΔ, ΑΤ, Ὀροσσὸν, πλὴν ὅτι Ῥωσσὸν, διὰ διπλοῦ τοῦ σ γράφειν παρῄνουν οἱ διορθοῦντες, καθὰ γράφεται καὶ παρ' ἑτέροις γεωγράφοις τε καὶ ἱςορικοῖς. Προειλόμην τὸ Ῥωσὸς, ὥσπερ φέρεται καὶ ἐν τοῖς ἀρχαίοις νομίσμασι, καὶ ἐν τῇ νεωτάτῃ τοῦ Στράβωνος ἐκδόσει τῇ ἐν Λειψίᾳ, καὶ παρὰ τῷ Βυζαντίῳ Στεφάνῳ, ὃς καὶ προπερισπωμένως ἐκφέρει τοὔνομα Ῥῶσος. Μνημονεύει δὲ καὶ Πολύαινος (Στρατηγημ. Δ, ς, 9, σελ. 131 ἐμ. ἐκδ.) Ῥωσίου λιμένος, δι' ἁπλοῦ τοῦ σ· ἐπὶ γὰρ τοῦ Ἰσσικοῦ κόλπου ἦν ἡ Ῥωσός. Καὶ διορθούσθω ὁ ἡμέτερος Γεωγράφος, Μελέτιος (σελ. 497, ἐν οἷς Ῥῶσσον καὶ Ῥώσσιον, τὴν πόλιν καλεῖσθαι φησίν, αὐτὸν τοῦτον τὸν Πολύαινον ἐπαγόμενος μάρτυρα· Ῥῶσσος μὲν γὰρ ἢ μᾶλλον Ῥωσὸς, τὸ τῆς πόλεως ἐςιν ὄνομα, τὸ Ῥώσιον δὲ (παράγωγον κτητικὸν), πρᾶγμα σημαίνει τῇ Ῥωσῷ οἰκεῖον, οἷος ἐςιν ὁ παρὰ τῷ Πολυαίνῳ, Ῥώσιος λιμήν.—Ἀπήντησε Σέλευκος.] Ὑπειληφέ τις τῶν ΠΡ γραπτέον εἶναι, Ἀπήντησε Σελεύκῳ.—στ. 26, Ἐπὶ σκηνῆς.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἐπὶ σκηνήν.

ΣΕΛΙΔ. 30, στ. 11, Ἐνδεὴς ἐςιν.] Ἄμεινον ἂν ἐγράφετο, καὶ μεταμέλει μοι μὴ γράψαντι, Ἐνδεὴς ἦν. — στ. 12, Κτημάτων,] ΔΓ, Πραγμάτων. — Πτωχὸς, ὥσθ' ὑπέρ.] ΠΡΔ, ΑΤ, Πτωχὸς ὑπέρ.—στ. 13, Κηδεςήν.] Συμπένθερον, ἡ συνήθεια.— στ. 16, Παύων.] ΔΓ, Παύσας.—στ. 19, Ὡς ἐν Ἴψῳ.] Τὸ μὲν Ἐν Ἴψῳ, ἐκ ΔΓ, ἡ δὲ προσθήκη τοῦ ὁμοιωματικοῦ, Ὡς, ἐκ διορθώσεως τοῦ φίλου Κλαυερίου, ΑΤ ἀδιανοήτου, Ἐν θήσῳ. Ἐςι δὲ ἡ ἐν Ἴψῳ μάχη, ἐν ᾗ Ἀντίγονος ὁ Δημητρίου πατὴρ ἔπεσεν, ἡ δῆλον ἐκ τῶν ἀνωτέρω (§ 29, σελ. 27) εἰρημένων τῷ Πλουτάρχῳ, παραβαλλομένων οἷς ἱςόρηκεν Ἀππιανὸς (Συριακ. κεφ. 55). Ἕτεροι δὲ γράφουσιν, Ἴψῳ ἀπὸ

βαρυτόνου εὐθείας τῆς Ἶψος· ἣν εἰσὶν οἳ καὶ δασέως, Ἷψος, ἐκφέρουσιν. Ἦν δὲ τῆς Φρυγίας πόλις ἡ Ἶψος, πλησίον Συννάδων κειμένη.— Γαμβρόν.] Τὸν παρ' ἡμῖν, Συμπένθερον, ἐνθάδε· Ὁ γὰρ Γαμβρὸς πλατύτερον ἐκλαμβάνεται ἐπὶ τοῦ κατ' ἐπιγαμίαν οἰκείου, περὶ οὗ ἔπιθι τὰς εἰς τὸν Εὐριπίδην (Ῥησ. 260) σημειώσεις τοῦ Βαρνεσίου. —στ. 20, Αὐτός.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Αὐτόν.—στ. 25, Ὀλίγον.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ὀλίγων.

ΣΕΛΙΔ. 31, στ. 3, Ναῦν . . . ἔχουσαν σῖτον, καὶ εἰσάγουσαν τοῖς Ἀθηναίοις.] Σημειοῦ τὸ πλεονάζον καὶ παρημελημένον τοῦ λεκτικοῦ, δι' ἁμαρτίαν, ἴσως μὲν τῶν ἀντιγραψάντων, ἴσως δὲ καὶ αὐτοῦ Πλουτάρχου. Ἀπέχρη γὰρ φάναι, Ναῦν... ἄγουσαν σῖτον τοῖς Ἀθηναίοις, ἢ Ναῦν...σῖτον ἄγουσαν (ἢ εἰσάγουσαν) τοῖς Ἀθηναίοις.—στ. 7, Ἀπορίαν.] Ἐξ ΕΔ καὶ ΔΓ, ΑΤ, Ἀπορίαν γενέσθαι. — στ. 9, Μικρὰν δὲ τοῖς Ἀθηναίοις ἀναπνοὴν παρέσχον κ. τ. λ.] Μικρὸν ἀναπνεῦσαι τοὺς Ἀθηναίους ἐποίησαν, ἀπὸ τῶν κατεχόντων αὐτοὺς κακῶν. Καὶ σημειοῦ τὴν ἄνεσιν τῶν κακῶν ἀναπνοὴν τροπικῶς λεγομένην, οἷα ἐστὶν ἡ παρ' Ὁμήρῳ (Ἰλιάδ. Λ, 801) Ἀνάπνευσις πολέμοιο, ὥσπερ καὶ τὸ διαλιπεῖν πονοῦντα, καὶ μικρὸν ἀναπαύσασθαι, Ἀναπνέειν, κατὰ τὸ παρὰ τῷ αὐτῷ Ποιητῇ (Ἰλιάδ. Τ, 227) Ἀναπνεύσειε πόνοιο. Ἡ δὲ μεταφορὰ σέσωσται καὶ ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ· καθ' ἣν ἔχων τις πράγματα φαίη ἂν πρὸς τὸν πλείω παρέχοντα, ἢ πονεῖν ἄλλως κελεύοντα, Ἄφες με ὀλίγον νὰ ἀναπνεύσω. Σέσωσται δὲ καὶ ἐν πολλαῖς τῶν νεωτέρων γλώσσαις, ἧς παράδειγμα ἀρκεῖ τὸ Γαλλικὸν τουτὶ laissezmoi respirer un moment. Ἡμεῖς δὲ καὶ ῥήματι ἑτέρῳ συνωνύμῳ τῷ Ἀναπνεῖν, ἐπὶ τῆς αὐτῆς τροπικῆς σημασίας χρώμεθα, τῷ Ἀνασαίνω. Παρεφθάρθαι γὰρ εἰκὸς τοῦτο παρὰ τὸ Ἀνασθμαίνω, ὃ συνωνυμεῖ πως τῷ Ἀναπνέω (καίπερ τοῦ ἁπλοῦ Ἀσθμαίνω οὐχ ἁπλῶς τὸ πνέειν, ἀλλὰ τὸ πνευστιᾶν, τουτέστι τὸ συντόνως καὶ μετὰ βίας πνέειν, δηλοῦντος), οἷόν ἐστι τὸ παρὰ τῷ Ὀππιανῷ (Ἁλιευτ. έ, 212),

Τόσσον ἀνασθμαίνει λάβρον μένος.—

Ἴσως δὲ καὶ τὸ ἡμέτερον Ἀνασαίνω, οὐκ ἐκ προθέσεώς ἐστιν ὡς τό, Ἀναπνέω, ἀλλ' ἐκ στερήσεως (κατὰ τό, Ἀναίνομαι), καὶ σημαίνει, τὸ παύομαι τοῦ ἀσθμαίνειν, ἢ ἀσαίνειν. — στ. 24, Τὸν φιλόσοφον Ἐπίκουρον ἱστοροῦσι διαθρέψαι τοὺς συνήθεις, κυάμους κ. τ. λ.] Ἐπὶ

τοῦ Μαθητὰς ὧδε τὸ Συνήθεις. Σημειοῦ δὲ καὶ τὴν φιλοσόφῳ μάλιστα πρέπουσαν Ἐπικούρου φιλανθρωπίαν, συνᾴδουσαν ταῖς λοιπαῖς τοῦ ἀνδρὸς ἀρεταῖς· ἱστόρηται γὰρ αὐτοῦ, ἥ φησι Διογένης ὁ Λαέρτιος (i, 10), « ἥ τε πρὸς τοὺς γονέας εὐχαριστία, καὶ ἡ πρὸς » τοὺς ἀδελφοὺς εὐποιία, πρός τε τοὺς οἰκέτας ἡμερότης, ὡς δῆλον » κὰκ τῶν διαθηκῶν αὐτοῦ, καὶ ὅτι αὐτοὶ συνεφιλοσόφουν αὐτῷ... » καθόλου δὲ ἡ πρὸς πάντας αὐτοῦ φιλανθρωπία ». — στ. 28, Λογεῖον.] Λογεῖον ἐκαλεῖτο ὁ τῆς σκηνῆς τόπος, ἐφ᾽ οὗ οἱ ὑποκριταὶ ἔλεγον, ὃν καὶ Ὀκρίβαντα ὠνόμαζον, ὥς φησιν Ἡσύχιος (λέξ. Λόγιον καὶ Ὀκρίβας). Ὁ δὲ βουλόμενος ἀκριβέστερον τὰ περὶ τῶν Ἑλληνικῶν θεάτρων εἰδέναι, ἀναγινωσκέτω τὰς εἰς τὸν Βιτρούβιον (Vitruv. V, 7, § 2) σημειώσεις τοῦ σοφοῦ Σνειδέρου. Παρ᾽ ἡμῖν δὲ νῦν Λογεῖον λέγεται τὸ ἐν τοῖς ἱεροῖς ξύλινον πῆγμα, ᾧ ἐπιτιθέμενα τὰ βιβλία ἀναγινώσκεται, ὅπερ οἱ Βυζαντινοὶ συγγραφεῖς Ἀναλογεῖον συνθέτως ἐκάλουν. Καὶ ἔστι τούτου τοῦ ἀναλογείου ἐξάμβλωμα ὁ χυδαϊζόμενος ἀστεϊκῶς Ἀλλογειὸς ταὐτὸ σημαίνων τῷ Λογείῳ.—στ. 29, Διὰ τῶν ἄνω παρόδων.] Εἰς ἡμικυκλίου σχῆμα ᾠκοδομημένων τῶν ἀρχαίων θεάτρων, ἡ μὲν κατὰ τὴν εὐθεῖαν τοῦ θεάτρου πλευρὰν εἴσοδος καθ᾽ ἣν ὑπῆρχεν ἡ σκηνή, καὶ δι᾽ ἧς εἰσήρχοντο οἱ θεαταί, ἐκαλεῖτο Μέση θύρα· αἱ δὲ παρ᾽ ἑκάτερα τῆς σκηνῆς, δι᾽ ὧν εἰσῄεσαν οἱ ἀγωνισταί, Ἔξωθεν εἴσοδοι, ἢ Ἄνωθεν πάροδοι. Ὁ τοίνυν Δημήτριος, ὅπλοις συμφράξας τὴν μέσην θύραν, διὰ τῶν ἄνω παρόδων, ὥσπερ οἱ ὑποκριταί, εἰσῆλθεν εἰς τὸ θέατρον, ἀπεναντίως τῷ Ἀράτῳ, περὶ οὗ ἐρεῖ Πλούταρχος ἐν τοῖς ἑξῆς (Ἀράτ. § 23, σελ. 252), ὅτι ἐπιστήσας ταῖς παρόδοις ἑκατέρωθεν τοὺς Ἀχαιοὺς αὐτὸς ἀπὸ τῆς σκηνῆς, τουτέστι διὰ τῆς μέσης θύρας, προῆλθε. Ἔπιθι καὶ πάλιν τὰς εἰς τὸν Βιτρούβιον (Vitruv. V, 6, vol. II, pag. 353-355) σημειώσεις τοῦ Σνειδέρου.

ΣΕΛΙΔ. 32, στ. 3, Αὐτοῖς.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Αὐτούς.— στ. 7, Ὑπερβαλέσθαι.] Ἐξ ΗΔ, ΑΤ, Ὑπερβάλλεσθαι.—στ. 10, Αὐτὸς ἀφ᾽ ἑαυτοῦ.] Ἐκ ΔΓ, ΑΤ, Αὐτὸς ἐφ᾽ ἑαυτοῦ. Ἔσωσε δὲ καὶ ἡ συνήθεια τὴν φράσιν, ἐπὶ μὲν τρίτου προσώπου ἀπαράλλακτον ὡς ἐπὶ τὸ πολύ, ἐπὶ δὲ πρώτου καὶ δευτέρου, προσλαμβάνουσα καὶ τρίτην ἀντωνυμίαν, οἷον, Αὐτὸς ἀφ᾽ ἑαυτοῦ μου, Αὐτὸς ἀφ᾽ ἑαυτοῦ σου. Καὶ τοῦτο οὐκ ἀλόγως· διὰ τό, Ἐμαυτοῦ δηλονότι καὶ Σεαυτοῦ. Ἐν δὲ τῷ τρίτῳ, ὁ λέγων, Αὐτὸς ἀφ᾽ ἑαυτοῦ του, πρὸς τῷ δυσφώνῳ καὶ πλεονάτειεν ἂν οὐ δεόντως.—στ. 13, Ἀθηνῶν.]

Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἀθηναίων. — στ. 25, Σύ τοί με φυσᾷς, σύ με καθαιρεῖν μοι δοκεῖς.] Ἐμνημόνευσε Πλούταρχος τοῦ ἰαμβείου τούτου καὶ ἀλλαχοῦ (Περὶ μοναρχ. καὶ δημοκρατ. καὶ ὀλιγαρχ. § 3), ὅθεν εἴληφα καὶ τὴν γραφήν, Σύ τοί με φυσᾷς, ΑΓ ὧδε γεγραμμένου, Σύ τοί μ' ἔφυσας. Τὸ δ' ἑξῆς Καθαιρεῖν ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, ὧδέ τε κἀκεῖ, Καταίθειν. Ἕτεροι δὲ οὕτως γράφειν παρῄνουν τὸν ὅλον στίχον, Σύ τοί μ' ἔφυσας, σύ με καθαιρήσειν δοκεῖς. Ἴσως δὲ καλῶς ἔχει κατὰ χώραν ἐὰν τὸ Καταίθειν (ὅ ἐστι κατακαίειν), ἵνα σώζηται ἡ ἀπὸ τοῦ φυσωμένου πυρὸς μεταφορά.

ΣΕΛΙΔ. 33, στ. 2, Δολόφρων χερί, κ. τ. λ.] Ἐξ ΕΔ, ΑΤ, ὧδέ τε καὶ ἀλλαχοῦ (Πλουτάρχ. Περὶ τοῦ πρώτ. ψυχρ. § 14, καὶ Περὶ τῶν κοιν. ἐννοιῶν, § 23) γραφομένου, Δολοφρονέουσα χειρί. Ἀντὶ δὲ τοῦ ἑξῆς, Τῇ δ' ἑτέρῃ, ἐκεῖ (Περὶ τοῦ πρώτ. ψυχρ.) φέρεται, Τῇ ἑτέρῃ δέ. Καὶ τὸ μὲν μέτρον τοῦ στίχου, ἄλλοι ἄλλως διεσκεύασαν, ὥς ἐστιν ἰδεῖν παρὰ τῷ συνειλοχότι τὰ Ἀρχιλόχου λείψανα Λιεβέλῳ (Liebel, Archiloch. reliq., pag. 171)· ὁ δ' Ἰταλὸς μεταφραστὴς διὰ τοῦ κομψοῦ τούτου διστίχου τὴν Ἀρχιλόχειον ῥῆσιν ἐξέφρασε·

Meditando fallace, acqua con l' una,
E con quell' altra man foco portava.

—στ. 16, Δῖον.] Ἐξ ΕΔ, ΑΤ, Δῆινον. Καὶ ἔστι τὸ Δῖον πόλις Μακεδονίας ὑπὸ τῷ Ὀλύμπῳ, ὅσον ἑπτὰ στάδια ἀπέχουσα τοῦ αἰγιαλοῦ τοῦ Θερμαίου κόλπου κατὰ τὸν Στράβωνα (ζ, σελ. 330). Καλεῖται δὲ τανῦν Σταυτία, ἢ Στανδία (Stan-Dia), ἤ φησιν ὁ Γαλλικὸς Γεωγράφος Δανβίλλης, τουτέστιν, Εἰς τὴν Δίαν, βαρβάρως συγκροτηθέντος τοῦ ὀνόματος μετὰ τῆς προθέσεως, καθὰ καὶ ἐν ἄλλοις πόλεων ὀνόμασιν οὐκ ὀλίγοις τοῦτο γενέσθαι ἀλλαχοῦ (Ἰσοκράτ. Β, σελ. 48) ἐσημειωσάμεθα. Ἐκαλεῖτο γὰρ τὸ ὑπὸ τῷ Ὀλύμπῳ Δῖον, καὶ θηλυκῶς Δία, κατὰ τὸν Βυζάντιον Στέφανον (λέξ. Δία καὶ Δῖον). Ἦν δὲ καὶ ἕτερον Δῖον πρὸς τῷ Ἄθῳ τῷ ὄρει, οὐ μακρὰν ἀπέχον Σταγείρων. — στ. 21, Ἀνελεῖν.] ΔΓ, Ἀναιρεῖν. — Διαταραχθείς.] ΔΓ, Ταραχθείς. — στ. 29, Ἀναζυγήν.] Ἐπαναστροφήν. « Ἀναζυγαί, ἀναλύσεις, ἀναστροφαί » φησὶν Ἡσύχιος, καὶ « Ἀναζεύξας, » ὑποστρέψας, ἐκ μεταφορᾶς [τῶν] ἁρμάτων ». Ὁ γὰρ ἐφ' ἅρματος ἢ ἁμάξης τὴν πορείαν ποιούμενος, παραγενόμενος μέν ποι, Καταλύειν λέγεται, τουτέστι λύειν τοῦ ζυγοῦ τὰ ἕλκοντα τὴν ἅμαξαν ὑποζύγια. αὖθις δ' ἐκεῖθεν ἀπαίρων, Ἀναζευγνύναι, τουτέστι, πάλιν αὐτὰ

ζευγνύναι. Καὶ ὅτι ἐλλειπτικῶς ἐκπέφρασται τό τε Καταλύειν ἐπὶ τοῦ παραγίνεσθαι εἴς τινος, καὶ ἑπομένως οἰκεῖν παρ' αὐτῷ, ὅθεν καὶ Κατάλυσις, ἡ εἴς τινα τόπον ἔλευσις καὶ στάσις, καὶ, Κατάλυμα, ἡ οἴκησις, καὶ τὸ Αναζευγνύναι, ἐπὶ τοῦ ἐκεῖθεν πάλιν ἀπέρχεσθαι καὶ ἀναχωρεῖν, ὅθεν ἡ Αναζυγὴ, ἢ Ἀνάζευξις, ἡ δηλοῦσα τὴν ἀναχώρησιν, ἐκ περιουσίας ἐστὶ πιστώσασθαι ἐκ τῆς παρ' Ὁμήρῳ χρήσεως. Οὗτος γὰρ κατὰ τὸ πλῆρες ἐκφέρει ἅπαξ μὲν τὸ σύνθετον, Καταλύειν, (Ὀδυσσ. δ', 28),

Ἀλλ' εἴπ', εἴ σφωϊν ΚΑΤΑΛΥΣΟΜΕΝ ὠκέας ΙΠΠΟΥΣ,

τουτέστιν, εἰ λύσομεν τοὺς ἵππους τῶν ξένων, καὶ ἐνθάδε παρ' ἡμῖν αὐτοὺς οἰκίσομεν· πλεονάκις δὲ τὸ ἁπλοῦν, οἷόν ἐστιν ἓν ἐκ πολλῶν τὸ (Ἰλιάδ. έ, 775),

Ἔνθ' ΙΠΠΟΥΣ ἔστησε θεὰ λευκώλενος Ἥρη,
ΛΥΣΑΣ' ἐξ ὀχέων, ——————

ὃ ταὐτὸν δύναται τῷ παρὰ τοῖς μεταγενεστέροις, Ἔνθα κατέλυσε, τουτέστιν, ἔνθα ἔμεινε, παυσαμένη τῆς περαιτέρω πορείας. Καὶ ἴσως ἐντεῦθέν ἐστιν ἐξηγεῖσθαι τὸ πολλὰ τοῖς κριτικοῖς παρασχὸν πράγματα Αἰσχύλειον τόδε (Χοηφόρ. 288-291),

Καὶ τοῖς τοιούτοις οὔτε κρατῆρος μέρος
Εἶναι μετασχεῖν, οὐ φιλοσπόνδου λιβὸς,
Βωμῶν τ' ἀπείργειν, ——————
—————— οὔτε ΣΥΛΛΥΕΙΝ τινά.

Τοὺς γὰρ ἡγησαμένους τὸ Συλλύειν εἰς τὸ Συλλούειν τρεπτέον εἶναι, πολὺ τοῦ ἀληθοῦς ἀποπεπλανῆσθαι νομίζων, πεισθείην ἂν μᾶλλον τοῖς ἑρμηνεύειν ἐπιβαλλομένοις τῇ παραθέσει τῆς Ὁρατιανῆς ταύτης ῥήσεως (Horat. Od. III, 2),

— Vetabo, qui Cereris sacrum
Vulgarit arcanæ, sub iisdem
Sit trabibus, fragilemque MECUM
SOLVAT faselum ——————

Ἐνδέχεται μέν τοι τὸ παρ' Αἰσχύλῳ Συλλύειν οὐκ ἀπὸ τοῦ παρ' Ὁμήρῳ Λύειν πρυμνήσια (κατὰ τὸ Ὁρατιανὸν Solvat faselum) μετενηνέχθαι ἐπὶ τὸ Συναποπλεῖν, ἀλλὰ μᾶλλον ἀπὸ τοῦ παρὰ τῷ

X 4

αὐτῷ ποιητῇ Λύειν ἵππους, ὥστ' εἶναι τὸ Συλλύειν συνώνυμον τῷ παρὰ τοῖς μεθ' Ὅμηρον Συγκαταλύειν, τουτέστι συγκατοικεῖν, καὶ παρόμοιον τῷ Ὁρατιανῷ, sub iisdem sit trabibus ὑπὸ τῇ αὐτῇ στέγῃ, ἢ ὁμόστεγον εἶναι. Καὶ ταῦτα μὲν περὶ τοῦ Λύειν ἢ Καταλύειν. Λείπεται δὲ καὶ τὸ, Ἀναζευγνύναι καὶ τὸ Ἀναλύειν, τὰ δοκοῦντα μὲν ἀλλήλοις ἐναντία, σημαίνοντα δὲ ὁμοίως τὸ ἐπιστρέφειν καὶ ἀναχωρεῖν ἐκ τοῦ τόπου, ἔνθα τις παρεγένετο καὶ κατέλυσεν, ἐξηγήσασθαι ἐκ τῆς καθ' Ὅμηρον χρήσεως. Τοῦ μὲν οὖν Ἀναζευγνύναι δήλη ἡ μεταφορὰ ἀπὸ τοῦ παρὰ τῷ Ποιητῇ (Ὀδυσσ. ζ', 110) ἐντελῶς εἰρημένου,

> Ἀλλ' ὅτε δὴ ἄρ' ἔμελλε πάλιν οἶκόνδε νέεσθαι
> ΖΕΥΞΑΣ ἩΜΙΟΝΟΥΣ.——————

ὅπερ ταὐτόν ἐστι τῷ παρὰ τοῖς μεταγενεστέροις ἐλλειπτικῶς λεγομένῳ, Ἀλλ' ὅτε ἔμελλεν ἀναζευγνύναι οἴκαδε, τουτέστιν, εἰς τὸν οἶκον ἐπιστρέψαι. Οὐχ ὁμοίως δὲ καὶ τὸ Ἀναλύειν μετενήνεκται ἀπὸ τῶν ἱππαζομένων ἢ ἅρμασιν ἐποχουμένων, ὥς τισιν (Περιζων. σημ. εἰς τὴν Αἰλιαν. ποικιλ. ἱστορ. Δ, 23) ἔδοξεν· ἀλλ' ἀπὸ τῶν διὰ θαλάσσης τὴν πορείαν ποιουμένων, οἳ καταγόμενοι μὲν εἰς λιμένα, κατέδουν τὰς ναῦς πρὸς τὴν γῆν ἐκ τῆς πρύμνης (Ὀδυσσ. ό, 498),

> Ἐκ δ' εὐνὰς ἔβαλον, κατὰ δὲ πρυμνήσι' ἔδησαν,

ἀνάγεσθαι δὲ μέλλοντες ἐκ λιμένος, ἔλυον πάλιν (Ὀδυσσ. ν', 77,)

> —πεῖσμα δ' ἔλυσαν ἀπὸ τρητοῖο λίθοιο.

ΣΕΛΙΔ. 34, στ. 7, Παθὼν ἔφθασε, δρᾶν μέλλοντος αὐτοῦ, μὴ διαφυγεῖν ἐκεῖνον, ὃ ἐμηχανᾶτο.] ΔΓ, οὐδὲν μᾶλλον τῆς ἐκδεδομένης κατάλληλος, Παθὼν ἔφθασε, δρᾶν ὃ ἐμηχανᾶτο, μέλλοντος αὐτοῦ μὴ διαφυγεῖν ἐκεῖνον. Καὶ ὁ μὲν νοῦς οὗτος ἂν εἴη, Βραδύνων αὐτὸς δρᾶν τὸ μὴ διαφυγεῖν τὸν Δημήτριον, ἔφθασε παθὼν ὃ ἐμηχανᾶτο· συγκέχυται δὲ, ἴσως μὲν διὰ τοὺς ἀντιγραφέας, ἴσως δὲ καὶ αὐτοῦ Πλουτάρχου ἀμελήσαντος, ἡ τοῦ λόγου συνάρτησις, ἣν ἄλλοι ἄλλως διορθοῦν οὐκ ἐπιτυχῶς ἐπεχείρησαν. —στ. 16, Ὡς *ἐν* ἡμέρᾳ μιᾷ] Περιττὴ ἡ πρόθεσις, ἣν καὶ οἱ ΠΡ διαγράφειν παρῄνουν.—στ. 20, Ὡς ἐπῄει μὲν οὐδεὶς φανερῶς.] Ἐξ ΗΔ τὸ Φανερῶς, ΑΤ παρ' ἅπασι, Φοβερὸς, ὅπερ ἀνοίκειον ὂν τῷ προκειμένῳ χωρίῳ ὁ μὲν Α καὶ ὁ Ἰταλὸς μεταφραστὴς οὐδ' ἐξέφρασαν·

ὅλως· ὁ Λατῖνος δὲ εἰς τὸ, Φόδος, τρέπειν ἔγνω, quum nullus oblatus est terror. — στ. 28, Ἁ Κάσσανδρος εἰς Ἀλέξανδρον τεθνηκότα παρηνόμησεν.] Τὴν γὰρ Ἀλεξάνδρου μητέρα, « Ὀλυμπιάδα, παρέ» βαλε καταλεῦσαι τοῖς ἐπ' αὐτὴν Μακεδόνων παρωξυσμένοις, καὶ τοὺς » παῖδας Ἀλεξάνδρου, τόν τε ἐκ Βαρσίνης Ἡρακλέα, καὶ Ἀλέξανδρον » τὸν ἐκ Ῥωξάνης, ἀπέκτεινεν ὑπὸ φαρμάκων » , ὥς φησι Παυσανίας (Θ', 7).

ΣΕΛΙΔ. 35, στ. 10, Αὐτοῦ.] ΔΓ, Ἑ α υ τ ο ῦ.—στ. 11, Δεινῶν.] Ἐκ ΔΓ οἱ ΗΡ, ΑΤ, Δ ε ι ν ά. — στ. 12, Τρόπον ἀπαλλαγῆς.] Ἴσ. γραπτέον, Τ ρ ό π ο ν δ' ἀ π α λ λ α γ ῆ ς.—Ζητεῖν.] ΗΡΔ, ΑΤ, Ζ η τ ῶ ν. —στ. 16, Ἐρᾷ.] Ἐκ ΔΓ οἱ ΗΡ, ΑΤ, Ἐρᾶν.—στ. 23, Τὰ τῆς Σαπφοῦς ἐκεῖνα.] Τὴν τῆς Σαπφοῦς πολυθρύλλητον ᾠδὴν αἰνίττεται, περὶ ἧς ἔπιθι τὸν Λογγῖνον (Περὶ ὕψ. ι, 2). — Φωνῆς ἐπίσχεσις.] Ἐξήγησις τοῦ Σαπφικοῦ,

Ὡς γάρ εἴδω σε, βρόχεό μοι φωνᾶς
Οὐδὲν ἔτ' ἴκει,
Ἀλλὰ καμμὲν γλῶσσα ἔαγε. —

— στ. 24, Ἐρύθημα πυρῶδες.] Ἐξήγησις τοῦ Σαπφικοῦ,

———————————— λεπτὸν δ'
Αὐτίκα χρῷ πῦρ ὑποδεδρόμακεν.

— Ὄψεων ὑποδείξεις.] Τοῦτο δ' οὐ συνᾴδει τῷ ὑπὸ τῆς Σαπφοῦς ᾀσθέντι,

Ὀππάτεσσιν δ' οὐδὲν ὄρημ'.

Καὶ ἔοικε γραφικῶς ἡμαρτῆσθαι τὸ, Ὑ π ο δ ε ί ξ ε ι ς, ὃ οἱ μὲν τρέπειν παρῄνουν εἰς τὸ, Ὑποῤῥίψεις, ὅπερ ἔοικεν ἐκφράσαι ὁ Α, qu' il luy jettoit à tous coups des œillades, καὶ ὁ Λατῖνος μεταφραστὴς, tectus oculorum conjectus, οἱ δὲ εἰς τὸ Ὑ π ο δ ή σ ε ι ς, ἢ Ὑ π ο δ ύ σ ε ι ς, ἕτεροι δὲ εἰς τὸ Ὑ π ο τ ή ξ ε ι ς, ἄλλοι δὲ πιθανώτερον εἰς τὸ Ὑ π ο λ ε ί ψ ε ι ς, ὥσπερ ἡρμήνευσε καὶ ὁ Ἰταλὸς μεταφραστὴς, ecclissamento di occhi.—Ἱδρῶτες ὀξεῖς.] Τὸ, Ἱ δ ρ ῶ τ ε ς Ψ υ χ ρ ο ί, ἦν ἂν μᾶλλον συνῳδὸν τῷ Σαπφικῷ,

Καδδ' ἱδρὼς ψυχρὸς χέεται.

ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

—στ. 26, Ὠχρίασις.] Ἐξήγησις τοῦ Σαπφικοῦ,

——————χλωροτέρα δὲ ποίας
Ἐμμὶ ——————————

ΣΕΛΙΔ. 36, στ. 10, Εἰπεῖν.] ΠΡΔ, ΑΤ, Εἶπε.—Ταύτην.] ΠΡΔ, ΑΤ, Ταῦτα. Τὸ Ταύτην ἐξέφρασε καὶ ὁ Ἰταλὸς μεταφραστής. — στ. 27, Μακεδονίαν.] ΔΓ, Μετὰ Μακεδονίαν. — στ. 28, Καὶ τῶν ἘΝΤΟΣ ἰσθμοῦ.] ἘΚΤΟΣ, γράφειν τις παρήνει, γεωγραφικώτερον μέν, ἴσως δ' οὐκ ἀναγκαίως. Ἔοικε γὰρ τὸ, Τῶν ἐντὸς ἰσθμοῦ, ἴσον ἐνθάδε δύνασθαι τῷ Τῶν ἐπὶ τάδε τοῦ Ἰσθμοῦ, ὡς πρὸς τὸν ἔχοντα Μέγαρα καὶ Ἀθήνας Δημήτριον.

ΣΕΛΙΔ. 37, στ. 9, Ἱερώνυμον τὸν ἱστορικόν.] Ἐμνημόνευσε τοῦ Ἱερωνύμου τοῦδε Πλούταρχος καὶ ἐν τῷ Εὐμένους βίῳ (§ 12, Μέρ. Δ, σελ. 42). Ἦν ἐκ Καρδίας, πόλεως Θρακικῆς· ἱστόρηκε δὲ τὰ περὶ τῶν Ἀλεξάνδρου διαδόχων.—στ. 10, Πίστιν.] ΠΡΔ, ΑΤ, Πίστιν. — στ. 15, Διειμένος.] Ἀφειμένος. « Διείς, ἀνείς... ἀφείς », Ἡσύχιος.

ΣΕΛΙΔ. 38, στ. 1, Ἡ διάμετρον ὀφείλεις τοῖς ἀποθνήσκουσιν;] » Διάμετρον, τὸ ἔλλειπον ἀπὸ τοῦ δικαίως μετρηθέντος » ἐξηγεῖται ὁ Ἁρποκρατίων. Καθ' Ἡσύχιον δέ, « Διάμετρος... τὸ διδόμενον εἰς » ἀπουσίας ΛΟΓΟΝ ΤΟΙΣ τοὺς σιτικοὺς καρποὺς μετροῦσι ». Ἐν τῷ προκειμένῳ χωρίῳ Διάμετρον νοητέον τὸ τοῖς στρατιώταις διδόμενον ὀψώνιον, ὡς εἶναι τὸν νοῦν, Ἢ καὶ τοῖς ἀποθνήσκουσιν ὀφείλεις μετρῆσαι σῖτον; Ἢ οὐ γινώσκεις, ὅτι ἀποθανόντων ἀπαλλάττῃ τοῦ τρέφειν αὐτούς; — στ. 3, Ἑτέρων.] Ἐκ ΔΓ (συναδούσης τοῖς μεταφρασταῖς), ΑΤ, Ἑταίρων.—στ. 4, Ὀξυβελεῖ.] Ἐξ ΗΔ, ΑΤ, Ὀξεῖ βέλει. Καὶ παρὰ μὲν τῷ Ποιητῇ ἐπίθετόν ἐστι τὸ Ὀξυβελὴς (Ἰλιάδ. Δ, 125),

——————————————— Ἆλτο δ' οἰστὸς
Ὀξυβελής, καθ' ὅμιλον ἐπιπτέσθαι μενεαίνων.

Παρὰ δὲ τοῖς ὕστερον καὶ οὐσιαστικῶς, ἢ μᾶλλον ἐλλειπτικῶς τοῦ οὐσιαστικοῦ, ὁ Ὀξυβελὴς, εἶδος ὅπλου, πρῶτον εὑρεθὲν ἐν Σικελίᾳ. Ἐχρῆτο δὲ καὶ Δημήτριος αὐτὸς ἐν ταῖς πολιορκίαις, ὥς φησιν ὁ Σικελιώτης Διόδωρος, τοῖς Ὀξυβελέσιν· περὶ ὧν ἔπιθι τὰ διὰ μακρῶν σημειωθέντα ὑπὸ τοῦ Σνειδέρου εἰς τὸν Βιτρούβιον (Vitruv. X, 10, Tom. III, pag. 337 — 340). — στ. 11, Αὐτῷ.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Αὐτῷ.

ΣΕΛΙΔ. 39, στ. 1, Ἐνορῶντο.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἐνεώρων. ΔΓ, Ἐνορῶντο: Μὲν ὁρῶντο. — στ. 24, Ἐγγράφους ἀξιώσεις.] Αἰτήσεις, δεήσεις, ἢ, ὡς ἡ παρ' ἡμῖν συνήθεια τῶν μὲν καλῶν κἀγαθῶν, Ἀναφοράς, τῶν δὲ τουρκοχυδαϊζόντων, Ἀρζιχάλια. Ἀναφοραὶ δ' ἐκαλοῦντο καὶ τοῖς Βυζαντινοῖς συγγραφεῦσιν· ὁ δὲ δι' οὗ προσεφέροντο τῷ βασιλεῖ, Ὁ Ἐπὶ τῶν δεήσεων (Γαλλιστὶ, Maître des requêtes). « Ὁ ἐπὶ τῶν δεήσεων (φησί τις) δέχεται τὰς τῶν αἰ» τούντων καὶ τῶν ἀδικουμένων ἀναφοράς ». Ἴδε Δουκάγγιον, σελ. 74. — στ. 26, Ἀξίου.] Ποταμοῦ τοῦ νῦν καλουμένου, Βαρδάρι. Δεῖ δὲ περισπᾷν, Ἀξιοῦ, ἀπὸ τῆς Ἀξιὸς εὐθείας, ἵνα μὴ συνεμπέσῃ τῷ ἐπιθέτῳ Ἄξιος, καθὰ καὶ, Ξάνθος ποταμὸς βαρυτόνως λέγεται, πρὸς διαστολὴν τοῦ ἐπιθέτου Ξανθός. Μέμνηται δὲ καὶ Ὅμηρος (Ἰλιάδ. β', 850) τοῦ ποταμοῦ·

Ἀξιοῦ, οὗ κάλλιστον ὕδωρ ἐπικίδναται αἶαν.

ΣΕΛΙΔ. 40, στ. 1, Κόπτοντος.] Μετ' ἐπιμονῆς καὶ ὀχληρῶς αἰτοῦντος. — στ. 3, Ἐγκραγόντος.] Μετὰ δεινοπαθείας βοήσαντος. — στ. 11, Θέμιστας.] Ἐκ τῆς Ὁμήρου Ἰλιάδ. ά, 238. « Θέμιστας, νό» μους, δίκας » φησὶν Ἡσύχιος. — στ. 14, Τὸν δικαιότατον.] Τὸν Μίνω λέγει (Ἰλιάδ. τ', 178),

——————— Ἔνθα τε Μίνως

Ἐννέωρος βασίλευε Διὸς μεγάλου ὀαριστής.

— Ὀαριστήν.] « Ὀαριστής, ὁμιλητής, συσχολαστής » φησὶν Ἡσύχιος. Ὁ δ' αὐτὸς Λεξικογράφος, μικρὸν ἀνωτέρω, καὶ « Ὀαρίζουσιν, ΕἸΡΗ» ΝΕΎΟΥΣΙΝ » εἴρηκεν, ὅπερ εἰς τὸ ἙΡΜΗΝΕΎΟΥΣΙΝ ἴσως τρεπτέον. — στ. 16, Προσωνυμίαν.] ΔΓ, Προσηγορίαν. — Πολιοῦχος.] » Πολιοῦχοι, οἱ τὴν πόλιν σώζοντες, καὶ οἱ ἄρχοντες αὐτῆς », φησὶν Ἡσύχιος. Κατὰ λέξιν ἡ Γερμανικὴ φωνὴ Stadralter τὸν Πολιοῦχον ὀνομάζει, καὶ ἡ τῶν Βαταυῶν, Stadhouder. — στ. 17, Οὕτως ἐπὶ τὴν τοῦ καλοῦ... συνῳκείωσε τῇ δόξῃ τὴν ἀδικίαν.] Ὁ νοῦς, Οὕτως ἀμαθεῖς δυνάσται καὶ ἡγεμόνες, εἰς τὴν τῶν καλῶν χώραν τὰ αἰσχρὰ εἰσαγαγόντες, ἐποίησαν ὥστε συνεζεῦχθαι τὴν ἀδικίαν τῇ δόξῃ, τουτέστιν, ὥστε τοὺς ἐνδόξους, καὶ μέγα δυναμένους, ὡς ἐπὶ τὸ πολὺ καὶ ἀδίκους εἶναι. — στ. 22, Ἅμα δὲ τῷ κουφότερος γενέσθαι.] Τῷ παρὰ τὸ συνώνυμον Ἐλαφρότερος ἐπιῤῥήματι, Ἐλαφρότερα, χρώμεθα ἐν τῇ συνηθείᾳ καὶ ἐπὶ νόσου· οἷον Ἐλαφρότερα εἶναι, ἢ ὑπάγει

ὁ ἄῤῥωστος, καὶ τῷ ῥήματι Ἐλαφρύνω ἀμεταβάτως, οἷον, Ἐλάφρυνεν ὀλίγον, ἐπὶ τῆς αὐτῆς ἐννοίας. — στ. 23, Πάνυ ῥᾳδίως ἐξελάσας αὐτόν.] Ἴσως ἀντὶ τοῦ, Πάνυ, γραπτέον, Πάλιν. — στ. 24, Προσπταιόντων] Παρῄνει τις τῶν ΠΡ τρέπειν τὴν λέξιν εἰς τὸ Προσπαλαιόντων. Ἔχει μέν τοι καλῶς τὸ Προσπταιόντων, διὰ τὸ προηγησάμενον, Ἐμποδών· ἄμφω γὰρ τροπικῶς ἐκπέφρασται, ἀπὸ τῶν προσπταιόντων τοῖς ἐν ποσὶν οὖσι. — στ. 25, Ἧττον εἶναι πρὸς οἷς διενοεῖτο.] Ἐξ ΗΔ τοῦ παρ' ἅπασιν, Ἥττων, ἡ τροπὴ εἰς τὸ ἐπιῤῥηματικὸν Ἧττον. Ὁ νοῦς, Ἧττον προσέχειν τοῖς πράγμασιν, οἷς διενοεῖτο· εἶναι γὰρ πρός τινι, ὥσπερ καὶ γίνεσθαι πρός τινι, λέγεται, ὁ σχολάζων τινὶ καὶ περὶ ἐκεῖνο καταγινόμενος· οἷον καὶ μικρὸν ἀνωτέρω Πλούταρχος εἴρηκε, «Δηχθεὶς σφόδρα, καὶ πρὸς τούτῳ γενόμενος».

ΣΕΛΙΔ. 41, στ. 7, Τεσσαρακοντήρη Πτολεμαῖος ὁ Φιλοπάτωρ ἐναυπηγήσατο κ.τ.λ.] Ἐκ τοῦ Καλλιξένου ταῦτα, παρ' οὗ καὶ ὁ Ἀθήναιος (έ, σελ. 203), εἴληφε. Λέγει δ' ἐκεῖνος περὶ τῆς νεὼς ταύτης, «Τὴν τεσσαρακοντήρη ναῦν κατεσκεύασεν ὁ Φιλοπάτωρ, τὸ μῆκος » ἔχουσαν διακοσίων ὀγδοήκοντα πηχῶν, ὀκτὼ δὲ καὶ τριάκοντα ἀπὸ » παρόδου ἐπὶ πάροδον· ὕψος δέ, ἕως ἀκροστολίου, τεσσαράκοντα » ὀκτὼ πηχῶν... Γενομένης δὲ ἀναπείρας, ἐδέξατο ἐρέτας πλείους » τῶν τετρακισχιλίων· εἰς δὲ τὰς ὑπηρεσίας, τετρακοσίους· εἰς δὲ τὸ » κατάστρωμα ἐπιβάτας τρισχιλίους, ἀποδέοντας ἑκατὸν καὶ πεντή» κοντα κ. τ. λ.» — στ. 11, Ἐπί τε τῶν παρόδων καὶ τοῦ καταστρώματος.] Ὁ Ἡσύχιος λέγων, «Πάροδος, μέρος τι τῆς νεὼς» καὶ οὐδὲν πλέον, δῆλός ἐστιν οὐδ' αὐτὸς ἀκριβῶς εἰδώς, τί ἦν ἡ Πάροδος, ἣ καὶ Παράθρανος ἐκαλεῖτο, ὥς φησι Πολυδεύκης. Πάροδοι ὠνομάζοντο αἱ ἑκατέρωθεν τοῦ καταστρώματος διαβάσεις, ἢ δῆλον καὶ ἐξ οὗ ἀνωτέρω παρεθέμεθα μαρτυρίου τοῦ Καλλιξένου· ἐκεῖνος γὰρ τὸ πλάτος τῆς Πτολεμαϊκῆς νεὼς δηλῶσαι θέλων, ὀκτὼ καὶ τριάκοντα πήχεις ἔχειν φησὶν ἀπὸ παρόδου ἐπὶ πάροδον. — στ. 19. Αἰρομένης.] Εἰς τό, Ἀγειρομένης (ὅ ἐστι, συναθροιζομένης) τρέπειν δεῖν ὑπείληφέ τις τῶν ΠΡ. Μὴ μετακίνει τὴν γραφήν· ἔστι γὰρ λέγειν, ὥσπερ, (Ἀριστοφάν. Ὄρν. 1188),

Πόλεμος αἴρεται,

οὕτως καί, Δύναμις αἴρεται. Καὶ ἡ συνήθεια δέ, καί, Ἐσήκωσε πόλεμον, λέγει, καί, Ἐσήκωσε στρατεύματα (Γαλλιστί, lever des troupes), — Στ. 23, Αἷς... τὸ μὴ πολεμεῖσθαι δέδωκεν, ἀλλ'

εἴληφεν ἑαυτῷ τό.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἀ ς... τῷ μὴ πολεμεῖσθαι δέδωκεν, ἀλλ' εἴληφεν ἑαυτῷ τῷ. —στ. 28, Ἐκ δὲ τῆς ὁμόρου.] Τῆς Ἠπείρου.

ΣΕΛΙΔ. 42, στ. 4, Στρατόπεδον.] Ἐκ ΔΓ, ΑΤ, Στράτευμα.— στ. 5, Πρὸς τὰ οἴκοι.] Καινῶς εἰρημένον, ἀντὶ τοῦ, Πρὸς οἶκον, ἢ συντομώτερον, Οἴκαδε. —στ. 8, Τραπέσθαι.] ΔΓ, Τρέπεσθαι. —Καὶ πολλοῖς.] Ἡ ἐν τῇ Ὑττενείῳ (Hutten) ἐκδόσει καὶ γράμμασι καὶ τάσει ἡμαρτημένη ΔΓ, Καὶ πολλῷ, ὑπονοεῖν παρέχει, μήποτ' ἐγέγραπτο, Καὶ ἐκ πολλοῦ. — στ. 14, Τὸν ἐν τοῖς.] ΔΓ, Καὶ ἐν τοῖς.—στ. 15, Πάντως] Ἐξ ΕΔ, ΑΤ, Πάντες. —στ. 24, Μεταμφιέννυται ] ΔΓ, Μεταμπίσχεται.—Στρατηγικῆς.] Μεταμέλει μοι προελομένῳ τὴν ΔΓ ταύτην, ΑΤ, Τραγικῆς.

ΣΕΛΙΔ. 43, στ. 2, Κασσάνδρειαν.] Ἐξ ΗΔ, ΑΤ, Κασάνδραν, ἢ Κατυνδρίαν· ἀνθ' ὧν οἱ ΠΡ ἔγραψαν Κατάνδρειαν.—στ. 11, Ἀλλ' οὑμὸς αἰεὶ κ. τ. λ.] Ἐκ μηκέτι σωζομένου δράματος (ἴσως τοῦ ἐπιγραφομένου Ἑρμιόνη) Σοφοκλέους οἱ ὀκτὼ οὗτοι στίχοι, ὧν τοὺς τελευταίους τέσσαρας καὶ ἀλλαχοῦ (Κεφαλ. καταγραφ. Ῥωμαϊκ. § 76, καὶ Περὶ πολυπραγμοσ. § 5) Πλούταρχος παρέθετο.—στ. 15, Ἀλλ' ἐξ ἀδήλου.] Ἐν δὲ τῇ Κεφαλαίων Ῥωμαϊκῶν καταγραφῇ φέρεται, Ὡς ἐξ ἀδήλου· ἐν δὲ τῷ Περὶ Πολυπραγμοσύνης, Πῶς ἐξ ἀδήλου. Εἰσὶ δ' αὗται οὐ διάφοροι γραφαί, ἀλλὰ Πλουτάρχου διασκευάσεις τῆς τοῦ λόγου συνεπείας φροντίζοντος.—στ. 17, Αὐτῆς.] ΔΓ ὡδέ τε καὶ ἀλλαχοῦ (Κεφ. καταγραφ. Ῥωμαϊκ. § 76,) καλῆ, Αὖθις.—στ. 18, Κἀπὶ μηδέν.] ΔΓ, Κ' εἰς τὸ μηδέν. —στ. 20, Αὐξήσεις καὶ φθίσεις ] ΔΓ, Τάξεις καὶ ἀποθέσεις. Τί δὲ βούλεται ἡ διάφορος αὕτη γραφή, οὐκ εὐχερὲς συνιδεῖν.—στ. 27, Μορφὴν ἀμείψας κ. τ. λ ] Ἐκ τῶν Εὐριπίδου Βακχῶν (στίχ. 4), ἐν αἷς Διόνυσός ἐστιν ὁ λέγων,

Μορφὴν δ' ἀμείψας ἐκ θεοῦ βροτησίαν,
Πάρειμι Δίρκης νάματ' Ἰσμηνοῦ θ' ὕδωρ.

ΣΕΛΙΔ. 44, στ. 3, Τῶν Σωτήρων.] Δημητρίου δηλονότι καὶ Ἀντιγόνου τοῦ Πατρός, οὓς Σωτῆρας θεοὺς ἀνεγεγράφεσαν Ἀθηναῖοι, ὡς ἀνωτέρω (§ 10, σελ. 10) Πλούταρχος εἴρηκε. — Στ. 21, Στρατηγῶν.] Ἐξ ΗΔ (συναδούσης τῷ τε Α καὶ τῷ Ἰταλῷ μεταφραστῇ), ΑΤ, Στρατιωτῶν. —στ. 25, Μηδίαν.] Ἐξ ΗΔ, ΑΤ, Μήδειαν.

—στ. 26, Ἐξωθουμένῳ.] Ἐὰν πάλιν ἐξωσθῇ ὑπὸ τῶν ἀντιπάλων. —στ. 27. Ἐπισιτισμοῦ] Λείας σίτου ἐπὶ τῷ θρέψαι τοὺς στρατιώτας.—στ. 28, Προνομῶν.] Λείας χόρτου τῶν κτηνῶν ἕνεκα. — στ. 29, Μηδ᾽ αν.] Ἐξ ΗΔ, ΑΤ, Μήδειαν.

ΣΕΛΙΔ. 45, στ. 3, Τὴν τοῦ Οἰδίποδος ἀρχὴν, μικρὸν παραλλάξας.] Παρὰ γὰρ τῷ Σοφοκλεῖ, Ἀντιγόνη, ὄνομά ἐστι τῆς θυγατρὸς Οἰδίποδος, ὅπερ ὁ σκώψας ἔτρεψεν εἰς τὸ, Ἀντιγόνου, τὸν Δημητρίου πατέρα αἰνιττόμενος Ἀντίγονον. —στ. 8, Ἐπὶ βρώσεις ἀναγκαίας.] Οἵας καὶ Θουκυδίδης (Β, 70) συμβῆναι λέγει κατὰ τὸν Πελοποννησιακὸν πόλεμον.—στ. 13, Ἀγαθοκλῆς.] Ὁ Λυσιμάχου υἱός. —στ. 28, Φοβηθεὶς, ὑπεστείλατο.] Ἐξ ΗΔ, ΑΤ, Φοβηθεὶς, ὑπέστειλε· μέσου γὰρ, οὐκ ἐνεργητικοῦ ῥήματος ἐνθάδε χρεία. «Ὑποστειλάμενος, ὑποκρυψάμενος, φοβηθεὶς» φησὶν Ἡσύχιος.

ΣΕΛΙΔ. 46, στ. 7, Ἐκβολάς.] Παρόδους, διαβάσεις. Ἴσως δ᾽ ἄμεινον γράφειν, Ἐμβολάς, ἐπὶ τῆς αὐτῆς σημασίας. Ταύτας μικρὸν ὑποβὰς, τὰς εἰς Συρίαν ὑπερβολὰς ὀνομάζει.—στ. 24, Ῥαίσας.] «Ῥαῖσαι, τρισυλλάβως Ἀττικοὶ, τὸ ἐκ νόσου ἀναλαβεῖν» Ἡσύχιος. Ἔστι δὲ κυρίως τὸ ἐν τῇ συνηθείᾳ Καλητερεύω ἢ Καλητερίζω, ἐπὶ τῶν ἐκ νόσου ἀνασφαλλόντων λεγόμενον, οὗ τὸ ἐναντίον, Κακοτερεύω, καὶ Κακοτερίζω, ἢ Χειροτερεύω, καὶ Χειροτερίζω, τὸν ἤδη νοσοῦντα, ἐπὶ τὸ νοσερώτερον μεταβάλλειν σημαίνει. Σημειούσθω καὶ τὸ σπανιώτατον τῶν ἀπὸ συγκριτικοῦ ῥημάτων· οὐ γὰρ, ὥσπερ παρὰ τὸ Καλήτερος, Καλητερεύω, κ.τ.λ. οὕτως καὶ παρὰ τὸ Σοφώτερος, λέγειν ἔξεστι Σοφωτερεύω. Καὶ ἔοικε μὲν εἶναι ξενικὸς ὁ τύπος, κατὰ τὰ παρὰ τοῖς Ἰταλοῖς migliorare καὶ peggiorare, ἐπὶ νόσου καὶ ταῦτα λεγόμενα, παρὰ τὰ συγκριτικὰ migliore καὶ peggiore· οὐκ ἔστι δέ. Ἰδοὺ γὰρ καὶ παρὰ τοῖς Ἕλλησιν, αὐτὸ τοῦτο τὸ, Ῥαίζειν, παρὰ τὸ συγκριτικὸν Ῥάων, καὶ τὸ Βελτιοῦσθαι, παρὰ τὸ Βέλτιον, προδήλως ἐσχημάτισται. Προσσημειούσθω καὶ ἕτερα δύο ῥήματα τῆς καθ᾽ ἡμᾶς γλώσσης, τὸ Καλοσυνεύω καὶ Κακοσυνεύω σύγκρισιν μὲν πως καὶ αὐτὰ δηλοῦντα, οὐκέτι δὲ καὶ ἀπὸ συγκριτικῶν παραγόμενα· ἀλλὰ παρὰ τὸ Καλοσύνη καὶ Κακοσύνη. Χρηστὰ γὰρ καὶ ταῦτα, παρὰ τὸ Καλὸς καὶ Κακὸς ὥσπερ καὶ ἡ παρὰ τὸ Δίκαιος, Δικαιοσύνη· καὶ σημαίνει οὐ μόνον τὴν ἠθικὴν τοῦ καλοῦ ἢ κακοῦ διάθεσιν, ἀλλὰ καὶ τὴν τοῦ περιέχοντος κατάστασιν, κατὰ τὸν εἰπόντα καλῶς μὲν τοῖς ὀνόμασι, βαρβάρως δὲ τῇ φράσει ποιητήν,

Ὡς ἤτονε καλὸς καιρὸς μὲ τόση καλοσύνη,
Ἐγέρθηκε πολλὴ σκληρία, μὲ πλῆσα κακοσύνη.

Καὶ ἐπαναλαμβανέσθω εἰς τὴν γλῶσσαν, τὸ ἴσως ἀπηρχαιωμένον, Σκληρία ἐπὶ τοῦ χειμῶνος, ἐπειδὴ καὶ, Μαλακὸν καιρὸν ὀνομάζομεν τὸν ἀπεναντίον τῷ χειμερίῳ. Τῶν δὲ ῥημάτων, τὸ μὲν Καλοσυνεύω ἐφ' οἵας δή ποτε νόσου χρηστὸν, τὸ Κακοσυνεύω δ' ἔοικεν ἐφ' ἑλκῶν ἢ τραυμάτων ἄμεινον λέγεσθαι, οἷον, Ἐκακοσύνευσεν ἡ πληγή.—στ. 26, Τὸν Ἀμανόν.] Τὸ οὕτως καλούμενον ὄρος, οὗ καὶ ἀλλαχοῦ (Πλουτάρχ. Ε, σελ. 424) ἐμνημόνευσε. — στ. 29, Καταλύσεις.] Ἐπιθι τὰ ἀνωτέρω (σελ. 343) σημειωθέντα περὶ τῆς λέξεως.

ΣΕΛΙΔ. 47, στ. 4, Θηρίῳ δεινῷ συμπέπλεκται.] Ἐκ ΔΓ, ΑΤ, Θηρίῳ δεινῷ συμπλέκεται. Ἡ συνήθεια οὐδετέρως, Μὲ κακὸν θηρίον ἔμπλεξε, καθὰ καὶ ἀλλαχοῦ (Ἰσοκράτ. Β, σελ. 140) ἐσημειωσάμεθα.—στ. 10, Μεταβαλέσθαι.] Ἐξ ΗΔ, ΑΤ, Μεταβάλλεσθαι.—στ. 15, Ἔφευγε.] ΔΓ, Ἔφυγε. — Καταλαβὼν ὕλην.] ΔΓ, Καταβαλὼν εἰς ὕλην· ἀμείνων ἴσως· ἔστι γὰρ ἐλλειπτικὴ τῆς, Ἑαυτὸν, ἣν ἐντελῶς ἐν τῷ Μαρίου βίῳ (§ 36, Πλουτάρχ. Γ, σελ. 82) ἐξέφρασε, « Καταβαλὼν ἑαυτὸν εἰς ὕλην βαθεῖαν». — στ. 19, Τὸν ναύαρχον.] Ἐπιθι τὰ ἀλλαχοῦ (Πλουτάρχ. Β, σελ. 368) σημειωθέντα.—στ. 21, Χρυσοῦς τετρακοσίους ὑπεζωσμένος.] Ἐξηγησάμεθα ἐν ἄλλοις (Πλουτάρχ. Ε, σελ. 380) τὴν φράσιν. — στ. 30, Περιστάντες.] ΔΓ, Παραστάντες.

ΣΕΛΙΔ. 48, στ. 3, Τύχῃ] ΔΓ, Χάριτι. — στ. 4, Αὐτοῦ.] Ἐξ ΕΔ, ΑΤ, Αὐτοῦ. — στ. 5, Διδούσῃ.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Διδούσης.—στ. 15, Μετέβαλε.] Ἐξ ΗΔ, ΑΤ, Μετέβαλλε. — στ. 21, Θαυμαστούς.] ΔΓ, Ἀγαθούς. — στ. 22, Παρά.] ΔΓ, Περί.

ΣΕΛΙΔ. 49, στ. 4, Ὅμως.] Οἱ μὲν εἰς τὸ, Ὁμαλῶς, οἱ δὲ πιθανώτερον εἰς τὸ, Ὁμοίως, τρέπειν παρῄνουν. — Ἐπιφοιτῶντες.] Ἴσως γραπτέον, Ἔτι φοιτῶντες, ὥσπερ ἡρμήνευσαν ὅτε Α καὶ ὁ Ἰταλὸς μεταφραστής.—στ. 7, Διαφησόμενον.] Ἐξ ΗΔ, ΑΤ, Διαθησόμενον· ὃ οἱ ΠΡ εἰς τὸ Διαφεθησόμενον ἔτρεψαν, οἰκείως μὲν τῇ ἐννοίᾳ, ἀπιθάνως δὲ διορθώσαντες. — στ. 9, Πρὸς τὸν υἱὸν καὶ τοὺς περὶ Ἀθήνας καὶ Κόρινθον ἡγεμόνας καὶ φίλους.] ΔΓ, Τοῖς περὶ τὸν υἱὸν, καὶ τοῖς περὶ Ἀθήνας καὶ Κόρινθον ἡγεμόσι καὶ φίλοις.—στ. 18, Χρήματα πολλὰ πέμπων ὑπισχνεῖτο Σελεύκῳ.]

Ὑπείληφέ τις τῶν ΠΡ εἰς τὸ Πέμψειν τρεπτέον εἶναι τὸ Πέμπων, πλανηθεὶς ὑπὸ τῆς τῶν λέξεων συνεχείας· οὐ γὰρ πρὸς τὸ Πέμπων, τὸ Χρήματα πολλά, ἀλλ' ἔστιν ἡ συνάρτησις, Πέμπων [κατ' ἔλλειψιν τοῦ, ἐπιστολὴν, ἤ, ἄνδρα λέγοντα] ὑπισχνεῖτο [καθ' ἑτέραν ἔλλειψιν τοῦ, δώσειν] χρήματα πολλά. —στ. 21, Παραφυλάττων.] ΔΓ, Φυλάττων. — στ. 22, Παρῆγε τὸν χρόνον.] Ἐξ ΗΔ (συναδούσης τοῖς μεταφρασταῖς), ΑΤ, Παρήγαγε τὸν χρόνον.—στ. 29, Κατέβαλε.] Ἐξ ΗΔ (συναδούσης τοῖς μεταφρασταῖς), ΑΤ, Κατέβαλλε.—Τοῦ χρόνου τὸ πλεῖστον.] Ἴσ. γρ. Τοῦ χρόνου τὸν πλεῖστον. Ἔπιθι τὰ ἀλλαχοῦ (Πλουτάρχ. Ε, σελ. 319) εἰρημένα περὶ τῶν τοιούτων συντάξεων.

ΣΕΔΙΔ. 50, στ. 3, Ἐπλάζετο.] « Πλάζεσθαι, πλανᾶσθαι, ἀποσφάλλεσθαι » Ἡσύχιος. — στ. 7, Τί γὰρ ἄλλο κ. τ. λ.] Τίνος γὰρ ἄλλου τέλους ἕνεκα οἱ φαῦλοι βασιλεῖς κινδυνεύουσι καὶ πολεμοῦσιν, ἢ τοῦ καθυπέρτεροι τῶν ἄλλων γενόμενοι, καὶ πλέον ἐκείνων τρυφᾷν ἔχωσι; Οὕτως ἐξελέξαντο τὸν νοῦν τῶν εἰρημένων καὶ οἱ ΠΡ.—στ. 8, Κακῶς καὶ ἀνοήτως διακειμένοις, οὐχ ὅτι μόνον κ. τ. λ.] Τὸ, Κακῶς καὶ ἀνοήτως διακειμένοις, ταὐτὸν ὧδε δύναται τῷ παρ' Ἰσοκράτει (Β, σελ. 76, 203, καὶ 217) Κακῶς εἰδότες. Ἔστιν οὖν ὁ νοῦς, Ἀγνοοῦσιν, ὅτι οὐ μόνον τρυφὴν ἀντὶ τῆς ἀρετῆς διώκουσιν, ἀλλ' ὅτι μηδὲ τρυφᾷν ἀληθῶς γινώσκουσι. Σημείωσαι δὲ, ὃ καὶ οἱ ΠΡ ἐσημειώσαντο, τὴν ὑπέρβασιν τοῦ, Οὐχ ὅτι μόνον, ἀντὶ τοῦ, Ὅτι οὐ μόνον.—στ. 11, Ὁ δ' οὖν.] ΔΓ (οὐ κακῇ) Ὅ γ' οὖν. — στ. 15, Μηδέ.] ΠΡΔ, ΑΤ, Μήτε. — στ. 20, Ἐπὶ νήσων ἀπήντησε.] Ὕποπτον εὐλόγως ἔδοξε τοῖς ΠΡ τὸ, Ἐπὶ νήσων, ὅπερ ὁ Α ἐξέφρασε alla au devant ... jusques aux isles; ὤφειλε γὰρ ἐνθάδε μερικῶς ὄνομα νήσου κύριον, ἢ ἄλλου τόπου τινὸς ἠπειρωτικοῦ, φράται, καὶ οὐ προσηγορικῶς ὀνομάσαι τὰς νήσους. Γραπτέον ἴσως, ἘΠῚ ἸΣΣΟΝ ἢ ἘΠῚ ἸΣΣΟΥ. Ἔτι δὲ Ἰσσὸς πόλις ἐν μεθορίοις Συρίας καὶ Κιλικίας, ἐν ᾗ ἡττήθη Δαρεῖος ὑπ' Ἀλεξάνδρου, ὥς φησιν ὁ Βυζάντιος Στέφανος (λέξ. Ἰσσὸς), κειμένη κατὰ τὸν ἀπ' αὐτῆς κληθέντα Ἰσσικὸν κόλπον, καθ' ὃν ἦν καὶ ἡ ἀνωτέρω (σελ. 339) Ῥωσός. Εἰκὸς οὖν Δημητρίου, τελευτήσαντος ἐν τῇ Συριακῇ Χερονήσῳ, τὸ σῶμα ἐπὶ τὸν Ἰσσικὸν κόλπον κατενεχθῆναι, καὶ τὸν υἱὸν μέχρις Ἰσσοῦ κομιζόμενον καταπλεῦσαι —στ. 25, Κάλπις.] Ἣν μικρὸν ἀνωτέρω Ὑδρίαν ὠνόμασε. Ἔστι δὲ ἡ ὑπὸ Ῥωμαίων urna καλουμένη, ἐξ ἧς ἡ παρ' ἡμῖν Γοῦρνα πέπλασται. « Κάλπη, ὑδρία, στάμνος » φησὶν Ἡσύχιος.

Ἐσημειώθη

Ἐσημειώθη δὲ καὶ ἀλλαχοῦ (Ἡλιοδώρ. Β, σελ. 83) ὁ διπλοῦς σχηματισμὸς τοῦ ὀνόματος, ὥσπερ καὶ τοῦ συνωνύμου Ὄλπα καὶ Ὄλπις (Πλουτάρχ. Δ, σελ. 418). Καὶ εἰκότα μοι λέγειν δοκοῦσιν οἱ παρὰ τὸ καλύπτω παράγοντες τὴν Κάλπην, οἱονεί τινα Καλύπην οὖσαν· παρ' ὃ ἴσως καὶ τὸ ἐν τῇ συνηθείᾳ Καλούπιον, καὶ Καλουπάκιον, καὶ Καλπάκιον, τὸ καλύπτον τὴν κεφαλὴν σκέπασμα, κατὰ τὴν παρὰ τοῖς ἀρχαίοις Καλύπτραν, ἢ οὐδετέρως, Κάλυπτρον. « Κάλυπτρα...κεφαλῆς καλύμματα » φησὶν Ἡσύχιος. Σημειοῦ δὲ, ὅτι κοινόν τι τούτοις ἅπασιν ἔνεϛι τὸ ϛρογγύλον καὶ κοῖλον τοῦ σχήματος· ὅθεν καὶ « Κάλπος, ποτηρίου εἶδος » παρ' Ἡσυχίῳ, καὶ « Κάλυξ, τὸ ἄνθος τοῦ ῥόδου, τὸ μὴ ἐκπετασθὲν ἄνθος . . . καὶ ἡ » χρυσῆ σύριγξ ἡ τοὺς πλοκάμους περιέχουσα κ. τ. λ. » παρὰ τῷ αὐτῷ. Ὅτι γὰρ καὶ τὸ Κάλυξ παρὰ τὸ Καλύπτω παρῆκται, ῥᾷϛα πεπείσῃ, μνημονεύσας τῶν ἀλλαχοῦ (Πρόδρ. Ἑλλ. Βιβλιοθ. Αὐτοσχ. ϛοχ. 46) εἰρημένων περὶ τῆς Αἰολικῆς τῶν εἰς πτω ῥημάτων τροπῆς εἰς σσω. Τοῦ γὰρ Καλύπτω, Αἰολικῶς Καλύσσω λεγομένου, μέλλων ἐϛὶ Καλύξω, κατὰ τὸ Ἀνάξω (παρὰ τὸ Ἀνάσσω), Δράξω, Ἑλίξω, Πτώξω. Ὥσπερ οὖν παρὰ ταῦτα τὸ Ἄναξ, Δρὰξ, Ἕλιξ καὶ Πτὼξ, οὕτως καὶ παρὰ τὸ Καλύξω τὸ Κάλυξ, οὐ παρὰ τὸ Καλύψω, ὥς φησιν ὁ Ἐτυμολόγος (σελ. 218) ἀληθῶς μὲν, οὐκ ἀκριβῶς δέ.—στ. 29, Ἱερώτατον.] Γοερώτατον, γράφειν δεῖν ὑπειληφέ τις τῶν ΠΡ, καὶ τοιοῦτόν τι ὑπολαβεῖν εἰκὸς καὶ τὸν Α, ἐκφράσαντα ἀμφοτέρας τὰς λέξεις, très-dévot et piteux.

ΣΕΛΙΔ. 51, στ. 16, Ἐπεισαγαγεῖν.] Ἐνέμεινε τῇ ἀπὸ τῶν δραμάτων μεταφορᾷ. Εἰσάγεσθαι γὰρ ἐλέγοντο εἰς τὴν σκηνὴν τὰ διδαχθησόμενα δράματα (Ἀριϛοφ. Ἀχαρν. 10),

Ὅτε δὴτ' ἐκεχήνη προσδοκῶν τὸν Αἰσχύλον·
Ὁ δ' ἀνεῖπεν· Εἴσαγ', ὦ Θέογνι, τὸν χορόν.

## ΑΝΤΩΝΙΟΣ.

ΣΕΛΙΔ. 53, στ. 2, Κρητικός.] ΔΓ, Κριτικὸς, ἣν ἀποδέξασθαι τὸν Α, ἠτιάσατο τῶν ΠΡ τις. Ἐν ᾗ μέντοι χρῶμαι Γαλλικῇ μεταφράσει, δῆλός ἐϛιν ἀποδοκιμάσας τὴν κακὴν γραφὴν ὁ Α, οὐ μόνον τῷ ἑρμηνεῦσαι Crétique, ἀλλὰ καὶ τῷ προσσημειώσασθαι, οὐκ εἰωθὼς ἄλλως σημειώσεσι πολλαῖς ἐξηγεῖσθαι τὰ μεταπεφρασμένα,

ὅτι Κρητικὸς ἐπεκλήθη διὰ τὸν πρὸς τοὺς Κρῆτας πόλεμον, οὐ καὶ μάρτυρας παρέχεται τὸν Φλῶρον καὶ τὴν Ἐπιτομὴν τοῦ Τίτου Λιβίου. Ἡμάρτηται γάρ ἡ τῆς Γαλλικῆς σημειώσεως τοῦ Ἀμιότου γραφὴ, Florus en l' Epitome du livre 97, ἀνθ' ἧς γραπτέον, Florus III, 7, et l' Epitome de Tite-Live du livre 97.

ΣΕΛΙΔ. 54, στ. 6, Ὁ πατήρ.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ὁ πατήρ.— στ. 9, Φορᾶ πάντα τὰ πράγματα κτλ.] ΔΓ, Φορᾶ τὰ πράγματα, δίχα τῆς δευτέρας λέξεως. Ἄμεινον φυλάττοντα τὸ Πάντα, τὸ ἄρθρον περιελεῖν.— Προσέμιξεν ἑαυτόν.] Ἡ αὐτὴ μεταφορικὴ χρῆσις καὶ τοῦ ἐν τῇ συνηθείᾳ Σμίγω, οἷον, Ἔσμιξε μὲ κακοὺς ἀνθρώπους, ἐλλειπτικῶς τοῦ, Ἑαυτὸν, ἧς ἐλλείψεως παράδειγμα καὶ ἐν τῷ παρὰ τοῖς ἀρχαίοις, Συμμίξαι τινί. Ὅμηρος δὲ τῷ μέσῳ ἐχρήσατο (Ἰλιάδ. σ, 216),

______________________ Οὐδ' εἰς Ἀχαιοὺς
Μίσγετο, ______________________

τουτέστιν, Οὐδ' ἔσμιγε μὲ τοὺς Ἕλληνας· ἔλεγον γὰρ καὶ προσλήψει τοῦ σ Μίσγετο, ἀντὶ τοῦ Μίγετο. Οὐχ ὑποληπτέον μέντοι κατὰ μετάθεσιν τοῦ στοιχείου τούτου εἶναι τὸ ἡμέτερον, Σμίγω, ἀλλὰ καθ' ἑτέραν τινὰ προσθήκην τοῦ σ συνήθη τοῖς ἀρχαίοις, ἐν τοῖς ἀπὸ τοῦ μ μάλιστα ἀρχομένοις ὀνόμασι, περὶ ἧς καὶ ἀλλαχοῦ (Ἡλιοδώρ. Β, σελ. 184) τὰ δέοντα λέλεκται.—στ. 27, Συνεμβαλεῖν.] Ἐξ ΠΔ, ΑΤ, Συνεμβάλλειν.

ΣΕΛΙΔ. 55, στ. 5, Παρὰ τὸ Ἔκρηγμα.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Περὶ τὸ Ἔκρηγμα.—στ. 6, Ἃ Τυφῶνος.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἃς Τυφῶνος.—στ. 8, Ἡ βραχυτάτῳ κ.τ.λ.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἧ βραχυτάτῳ. Ἔστι δὲ, Ὅπου ἡ ἐρυθρὰ θάλασσα χωρίζεται ἀπὸ τῆς μεσογείου θαλάσσης διὰ βραχυτάτου ἰσθμοῦ.—στ. 28, Καὶ γρυπότης μυκτῆρος ἐδόκει ΤΟΙΣ γραφομένοις κ. τ. λ.] Ταῦτα οὕτως ἴσως γραπτέον καὶ στικτέον, Καὶ γρυπότης μυκτῆρος· ἐδόκει ΤΕ ΤΟΙΣ γραφομένοις.

ΣΕΛΙΔ. 56, στ. 1, Ἄντωνος.] Ἐξ ΕΔ, ΑΤ, Ἀντέωνος. Ἄντων γὰρ υἱὸς Ἡρακλέους μεμυθολόγηται· πρὸς δὲ, καὶ παρὰ μὲν τὸ Ἄντων, ὁ Ἀντώνιος ὀρθῶς παρονομάζεται· παρὰ τὸ Ἀντέων δὲ, Ἀντεώνιος ἂν ἦν. Εὕρηται δὲ καὶ παρὰ Πλουτάρχῳ (Ἐρωτικ. § 17) κυριωνυμικὸν ὁ Ἄντων.—στ. 5, Καὶ σάγος περιέκειτο τῶν στερεῶν.] Τουτέστι τῶν εὐπαγῶν, τῶν οὕτω συμπεπιλημένων ἐξ ἐρίων, ὥστε μὴ

ῥᾳδίως πτύσσεσθαι. Οὕτως Ἡρόδοτος τοὺς στερεοὺς τῆς κεφαλῆς πίλους, Εὐπαγεῖς ὠνόμασεν· ἐν οἷς γὰρ περὶ τῆς τῶν Περσῶν σκευῆς λέγει (ζ΄, 61,) «Περὶ μὲν τῇσι κεφαλῇσι εἶχον τιάρας καλεομένους » πίλους ἈΠΑΓΈΑΣ», ἀντὶ τοῦ τελευταίου τούτου ὀνόματος, γραπτέον ΕΥ̓ΠΗΓΈΑΣ, ὥσπερ διώρθουν πάλαι, καὶ καθὰ Λαρχῆρος ἐν τῇ δευτέρᾳ τῆς Γαλλικῆς Ἡροδότου μεταφράσεως ἐκδόσει ἡρμήνευσεν, ἐν τῇ προτέρᾳ τὸ Ἀπαγέας ἐκφράσας. Περὶ δὲ τοῦ Σάγου, τοῖς ἀλλαχοῦ (Πλουτάρχ. Β, σελ. 401) εἰρημένοις καὶ τὰ ἑξῆς προσθετέον. Περιβόλαιον ἦν ςρατιωτικὸν ἐξ ἐρίων, οἷα εἰσὶ τὰ ἐν τῇ συνηθείᾳ ἐκ τῆς Ἰταλῶν φωνῆς ὀνομαζόμενα Καππότα (Cappotto) καὶ Κάππαι ( Cappa). Σέσωςαι δὲ καὶ τὸ ὄνομα ἐν τῇ παρ' ἡμῖν Σαγίᾳ εἶδος οὔσῃ τῶν καλουμένων Τσοχῶν. Ἴσως δὲ καὶ αὐτὴ ἡ Τσόχα παρὰ τὴν Σάγην ἐκκεχυδαΐςαι· οἱ γὰρ Τήνιοι, Σόχαν προφέρουσι τὴν παρ' ἄλλοις Τσόχαν. — στ. 9, Ἦν δέ που. ] Γραπτέον εἶναι, Ἦν δ' αὐτοῦ, τῶν ΠΡ τις ὑπενόησε· ἡμῖν δὲ μᾶλλον δοκεῖ γεγραφέναι τὸν Πλούταρχον, Ἦν δὲ δήπου. — στ. 14, Ἐπὶ τὴν ἰσχύν.] ΔΓ, (ἢ μᾶλλον ἐξήγησις), Ἐπὶ τῷ ἰσχύειν. — στ. 15, Ἐπῆρεν.] ΔΓ, Ὑπερείδειν, ἐξ ἧς ὡρμημένος τις τῶν ΠΡ, Ὑπήρειδεν, γραπτέον εἶναι ὑπετόπασε· καὶ ἦν ἂν ἀναμφήριςος ἡ διόρθωσις, διὰ τὸ ἑπόμενον, Ἀνατρεπομένην, εἰ ἔλειπε τὸ, Ἐπὶ πλεῖον. — στ. 18, Δεκίες.] ΔΓ, Δεκίης. Ῥωμαϊςὶ Decies. Παραπλήσιον δέ τι τῇ ἀνοήτῳ δωρεᾷ τοῦ Ἀντωνίου καὶ Δίων ὁ Κάσσιος ( ξά, 5, σελ. 984 ) Νέρωνι προστίθησιν, εἴτ' Ἀντώνιον μιμησαμένῳ, εἴτ' αὐτόθεν διασπαθᾷν ἐγνωκότι τἀλλότρια ( τὰ γὰρ Βασιλικὰ καλούμενα χρήματα, οὐχ ὡς προσήκοντα, ἀλλ' ὡς ἐμπεπιςευμένα τῷ βασιλεῖ, οὕτως ἐκλήθησαν ). Λέγει δ' οὖν ὁ Δίων ταῦτα· «Δορυφόρῳ, τῷ τὰ τῆς ἀρχῆς αὐτοῦ βιβλία διέποντι, πεν« τήκοντα ἅμα καὶ διακοσίας μυριάδας δοθῆναι κελεύσας, εἶτ' ἐπειδὴ » ἡ Ἀγριππῖνα ἐσώρευσεν αὐτάς, ἵνα ἀθρόον τὸ ἀργύριον ἰδὼν μετα» βάληται, ἤρετο πόσον εἴη τὸ κείμενον· καὶ μαθὼν, ἐδιπλασίασεν » αὐτὸ, εἰπὼν ὅτι, Ἠγνόησα ὀλίγον οὕτω κεχαρισμένος». — στ. 27, Καλούντων.] ΠΡΔ, (συνᾴδουσα τοῖς μεταφραςαῖς), ΑΓ, Παρακαλούντων.

ΣΕΛΙΔ. 57, στ. 3, Αὔγουρας.] Ἐξ ΠΔ, ΑΤ, Αὐγούρας. Ἔπιθι τὰ ἀλλαχοῦ (Πλουτάρχ. Γ, σελ. 395) σημειωθέντα. — στ. 9, Καταλέγοι.] ΠΡΔ, ΑΤ, Καταλέγειν.

ΣΕΛΙΔ. 58, στ. 2, Κικέρων ἐν τοῖς Φιλιππικοῖς ἔγραψε, τοῦ μὲν

Τρωϊκοῦ κ. τ. λ.] Ἐν τῷ δευτέρῳ Φιλιππικῷ (Philippic. II, 22) λέγει τοῦτο Κικέρων· ut Helena Trojanis, sic iste huic Reipublicæ causa belli, causa pestis atque exitii fuit — στ. 6, Ἔγνωστο.] Ἴσως ἄμεινον ἂν εἶπεν, Ἐγνώκει. — στ. 25, Δι' αὐτὸν ἐκεῖνον.] Διὰ τὸν Καίσαρα.

ΣΕΛΙΔ. 59, στ. 12, Κοίλην θάλατταν.] Ταύτην ἡ συνήθεια Ἀσκοθάλασσαν καλεῖ· καὶ ἔοικεν ἡ αὐτὴ εἶναι τῇ Γαλλιστὶ λεγομένῃ mer houlleuse, τουτέστιν ἧς τὰ κύματα, μετὰ τὸ κυρτωθῆναι καὶ δίκην ἀσκοῦ φυσηθῆναι, ἐπὶ τοσοῦτον ταπεινοῦνται, ὥςε βαθύτατα κοιλώματα καὶ χάσματα ποιεῖν, καὶ αὐτὸ δὲ τὸ houlleuse παρὰ τὸ Κοῖλος, διὰ τῆς τῶν Γερμανῶν φωνῆς εἰς τὴν τῶν Γάλλων διέβη. Hohl γὰρ ἐκεῖνοι τὸ κοῖλον, καὶ Hohle τὸ κοίλωμα καλοῦσιν. Ἐν δὲ τῇ κάτω Σαξονίᾳ καὶ Kuhle ὁ λάκκος ὀνομάζεται. Κοίλην θάλατταν εἴρηκε καὶ ὁ Ἀππιανὸς (Ῥωμ. ἐμφυλ. B, §, 59), ταύτην Ἀντωνίου τὴν εἰς Ἤπειρον διαπεραίωσιν ἱςορῶν. — στ. 17, Μεταβαλόμενος.] Ἐξ ΗΔ, ΑΓ, Μεταβαλλόμενος. — στ. 18, Περίπλεων.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Περίπλεον. — στ. 23, Γινομένων.] Ἴσ. γρ. Γενομένων. — στ. 27, Ἐδήλωσε δὲ Καῖσαρ.] Ἴσ. γρ. Ἐδήλωσε δὲ καὶ Καῖσαρ, ὥσπερ ἡρμήνευσε καὶ ὁ Ἰταλὸς μεταφραςής, e Cesare stesso conoscer fece

ΣΕΛΙΔ. 60, στ. 1, Παρέδωκεν.] Ἐξ ΗΔ, ΑΤ, Παραδέδωκεν. — στ. 3, Δήμαρχον.] ΔΓ (ἡ διόρθωσις), Ἵππαρχον, ὃ μᾶλλον ἀληθὲς καὶ τῇ ἱςορίᾳ συνῳδὸν εἶναι καὶ οἱ ΠΡ ἐσημειώσαντο, καὶ ἀπεδέξαντο ὅ τε Α καὶ ὁ Ἰταλὸς μεταφραςής· διὰ μέντοι τὸ ἑπόμενον, Ἡ γὰρ δημαρχία, οὔτ' ἐκεῖνοι τὴν ΔΓ προελέσθαι ἐτόλμησαν, καὶ ἡμεῖς ἐκείνοις συνυπολαμβάνομεν ἐξερρυηκέναι τι ἕτερον τοῦ χωρίου τοιοῦτον, οἷον συναρμόζειν τῷ, Δημαρχία, τὸ, Ἵππαρχον. — στ. 25, Ὕπνους καὶ περιπάτους κ. τ. λ.] Ἄμεινον ἂν γράφοις διαζευκτικῶς, ὕπνους ἢ περιπάτους, καθὰ ἡρμήνευσε καὶ ὁ Α.

ΣΕΛΙΔ. 61, στ. 2, Κυθηρίς.] Οὐολουμνία (Volumnia) ἐκαλεῖτο καὶ ἦν ἀπελευθέρα Οὐολουμνίου Εὐτραπέλου. Ἐπεκλήθη δὲ Κυθηρίς, ἢ μᾶλλον Κυθηρὶς διὰ τὴν τέχνην (Μίμος γὰρ ἦν), καὶ τὸ τοῦ βίου ἐπαφρόδιτον. Ταύτῃ Κικέρων ποτὲ συνεστιαθεὶς οὐκ ἐκ προαιρέσεως, εἶτ' ἐπιστέλλων τῷ Παίτῳ ἀπολογεῖται γράφων (Epistol. ad div. IX, 26), Me vero nihil istorum, ne juvenem quidem movit unquam; ne nunc senem, Ἐμὲ δὲ τούτων οὐδὲν οὐδὲ νέον ἐκίνησέ ποτε, μήτι γε νῦν γέροντα. — στ. 2,

Ὁ δὲ, καὶ τὰς πόλεις ἐπιὼν κ. τ. λ.] Νῦν ὀψὲ συνεώρακα τὸ παρ' ἅπασι γραφόμενον, Ὁ δὲ, τρεπτέον εἶναι εἰς τὸ, Ὃ δή· ἵνα ἔχῃ φέρεσθαι πρὸς τὸ Γ ύ ν α ι ο ν. Ὁ νοῦς, Ὃ δὴ γύναιον ὁ Ἀντώνιος, τὰς κατὰ τὴν Ἰταλίαν πόλεις ἐπιπορευόμενος, περιῆγε μεθ' ἑαυτοῦ ἐν φορείῳ κομιζόμενον, καὶ πλείους ἔχον τοὺς συνακολουθοῦντας, ἢ αὐτὴ τοῦ Ἀντωνίου ἡ μήτηρ. Ταύτην, φησὶν ὁ Κικέρων, τὴν Κύθηριν, οἱ ἐκ τῶν Ἰταλικῶν πόλεων ἐξιόντες εἰς ἀπάντησιν Ἀντωνίου, οὐ τὸ μιμικὸν ὄνομα, Κύθηριν, ἀλλ' Οὐολουμνίαν ὑπ' αἰδοῦς προσηγόρευον· ἡ δὲ μήτηρ ἡ Ἀντωνίου, καταπεφρονημένη, εἵπετο ὡς νύμφῃ τῇ τοῦ μιαροῦ υἱοῦ ἐρωμένῃ, homines honesti, obviam necessario prodeuntes, non noto illo et mimico nomine, sed Volumniam consalutabant . . . réjecta mater amicam impuri filii, tamquam nurum, sequebatur (Philippic. II, 23).—στ. 9, Χαμαιτύπαις καὶ σαμβυκιστρίαις ἐπισταθμευόμεναι.] Πόρναις καὶ μουσουργοῖς εἰς καταλύσεις διδόμεναι (Ἴδε Πλουτάρχ. Δ. σελ. 330). — στ. 25, Ἀγαγόμενος.] ΠΡΔ (συνᾴδουσα τοῖς μεταφρασταῖς), ΑΤ, Ἀ γ ά μ ε ν ο ς. ΔΓ, Ἀ γ ό μ ε ν ο ς: Ἀ γ α λ ό μ ε ν ο ς. — στ. 26, Ταλασίαν.] Ἐριουργίαν. — 28, Διδασκάλια.] Μισθὸν διδασκάλου.

ΣΕΛΙΔ. 62, στ. 25, Προελθών.] ΔΓ, Π ρ ο σ ε λ θ ώ ν.—Ἀναγορεῦσαι.] ΔΓ, Ἀ ν η γ ό ρ ε υ σ ε. Ἢ ταύτην ἀποδεκτέον τὴν γραφὴν, Ἀ ν η γ ό ρ ε υ σ ε, ἢ τὸν ἑπόμενον σύνδεσμον, Δὲ, περιαιρετέον τοῦ κειμένου.

ΣΕΛΙΔ. 63, στ. 4, Ἡ τῶν Λυκαίων ἑορτὴ κ. τ. λ.] Ἧς ἐμνήσθη καὶ ἐν τῷ Καίσαρος, καὶ ἐν τῷ Ῥωμύλου βίῳ (Πλούταρχ. Α, σελ. 54, καὶ Δ, σελ. 319).—στ. 8, Δασίοις.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Λ ε υ κ ο ῖ ς. — στ. 18, Τὰ τῶν βασιλευόντων.] Ἃ προστάσσουσιν οἱ βασιλεῖς, ὡς ἐξηγήσαντο οἱ ἀποδεχόμενοι τὴν γραφήν. Τῆς δὲ ΔΓ, Τὰ τ ῶ ν β α σ ι λ ε υ ο μ έ ν ω ν, ὁ νοῦς, Ἃ ὑπομένουσιν οἱ βασιλεῖ ὑποκείμενοι. — στ. 22, Τὸν δὲ στέφανον.] Οὐκ αὐτὸν ἐκεῖνον τὸν στέφανον, ὃν ὑπ' Ἀντωνίου τῇ κεφαλῇ Καίσαρος ἐπιτεθῆναι, μικρὸν ἀνωτέρω Πλούταρχος εἴρηκεν, ὡς ἄν τις πλανηθεὶς ὑπὸ τῆς συνεπείας τοῦ λόγου νομίσειεν, ἀλλ' ἕτερον ἐπιτεθέντα Καίσαρος ἀνδριάντι πρὸ τῆς τῶν Λυκαίων ἑορτῆς, ᾗ δῆλον ἔκ τε τοῦ Δίωνος (μδ', 10-11) καὶ τοῦ Συετωνίου (Sueton. Cæsar, § 79), καὶ αὐτοῦ Πλουτάρχου (Καισαρ. § 61, Μέρ. Δ, σελ. 320).—στ. 24, Καῖσαρ δὲ τῆς ἀρχῆς ἀπέστησε.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Κ α ί σ α ρ α δ ὲ τ ῆ ς ἀ ρ χ ῆ ς ἀ π έ σ τ η σ α ν. Ὁ νοῦς, Καῖσαρ δὲ τὴν ἀρχὴν ἀφείλετο τῶν κατασπασάντων

τὸν στέφανον δημάρχων, ὥσπερ ἐν ἄλλοις (Καίσαρ. § 61, Πλούταρ. Δ, σελ. 320) Πλούταρχος ἔγραψε.

ΣΕΛΙΔ. 64, στ. 23, Ἐμφρονέστατα.] Ἐκ ΔΓ οἱ ΠΡ, Ἐ μ φ α ν έ σ τ α τ α. — στ. 24, Τούτων μέντοι ταχὺ τῶν λογισμῶν ἐξέσεισεν αὐτὸν ἡ παρὰ τῶν ὄχλων δόξα.] Ἐντεῦθεν ἴσως διορθωτέον τὸ ἐν ἄλλοις εἰρημένον περὶ Κικέρωνος τῷ Πλουτάρχῳ (Μέρ. Ε, Κικέρ. ς', σελ. 234), Καὶ πολλοὺς πολλάκις τῶν ὀρθῶν ἐπετάραξε λογισμῶν, ὁ τότε μὲν καλῶς ἔχειν ὑπελάμβανον, νῦν δέ πως μοι τοὐναντίον δοκεῖ. Ἴσως οὖν κἀκεῖ γραπτέον συμφώνως μὲν τῇ ἐννοίᾳ τῶν παραινεσάντων διορθοῦν, συντομώτερον δὲ τῇ λέξει, Καὶ πολλάκις τῶν ὀρθῶν ἐξετάραξε λογισμῶν. — στ. 29, Ἐπὶ τῷ πάθει· καὶ τελευτῶν, τούστε χιτωνίσκους.] ΠΡΔ (ἣν ἀπεδεξάμην, περιελὼν δύο μόνας λέξεις, Τῶν λόγων) ΑΤ, Ἐπὶ τῷ πάθει καὶ τῷ λόγῳ. Τελευτῶντε τοὺς χιτωνίσκους, τῆς Στεφανείου ἐκδόσεως. Ἕτεροι δὲ γράφειν παρῄνουν, Ἐπὶ τῷ πάθει· καὶ τῷ λόγῳ τελευτῶντι κ. τ. λ.

ΣΕΛΙΔ. 65, στ. 18, Χαρωνίτας.] Orcini οὗτοι τηνικαῦτα ἐκλήθησαν, ὡς φησι Συετώνιος (Octav Aug. § 35). Καὶ ὁ Χάρων γὰρ ἔσθ' ὅτε ὑπὸ Ῥωμαίων τῷ τοῦ Orcus ὀνόματι ἐκαλεῖτο, δηλοῦντι ἄλλως τὸν Ἅδην. Αὐτὸ δὲ τὸ Orcus ὁ Κασωβὼν παρὰ τὸ τῶν Ἑλλήνων, Ἕρκος, παρῆχθαί φησι. — στ. 21, Ἀδελφιδῆς.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἀδελφῆς.

ΣΕΛΙΔ. 66, στ. 2, Αἱρεσθαι.] Ἐξ ΕΔ (συνῳδούσης τοῖς μεταφρασταῖς), ΑΤ, Αἱρεῖσθαι. — στ. 5, Δίφρον χρυσοῦν τοῦ πατρὸς, ὥσπερ ἐψήφιστο, τιθέντος.] Ἐκ ΔΓ ἡ τελευταία λέξις, ΑΤ, Θέντος. Ὁ δὲ χρυσοῦς δίφρος, οὗ καὶ ἐν τῷ Καίσαρος βίῳ Πλούταρχος (Δ, σελ. 319) μνείαν ἐποιήσατο, ὑπὸ τῆς βουλῆς ἐψήφιστο Ἰουλίῳ Καίσαρι, ὥς φησι Δίων ὁ Κάσσιος (μδ', 6). Τοῦτον οὖν τοῦ πατρὸς τὸν δίφρον ἀποθανόντος ὁ νέος Καῖσαρ βουλόμενος εἰσάγειν εἰς τὸ θέατρον ἐκωλύθη ὑπὸ τοῦ Ἀντωνίου, καθὰ λέγει ὁ αὐτὸς Δίων (μέ, 6,) « Καὶ τότε μὲν οὔτε τὸν δίφρον τὸν τοῦ Καίσαρος τὸν ἐπίχρυσον, » οὔτε τὸν στέφανον τὸν διάλιθον ἐς τὸ θέατρον ἐσήγαγεν, ὥσπερ » ἐψήφιστο, φοβηθεὶς τὸν Ἀντώνιον ». Ἴδε καὶ τὸν Ἀππιανὸν (Ῥωμ. Ἐμφυλ. Γ, § 28). — στ. 9, Τὴν βουλήν.] Ἐκ ΔΓ, ΑΤ, Τῇ βουλῇ. — στ. 27, Μυτίνην.] Τὴν νῦν καλουμένην Ἰταλιστὶ Modena. — στ. 30, Ἐγίνετο.] Ἐκ ΔΓ, ΑΤ, Ἐγένετο.

ΣΕΛΙΔ, 67, στ. 2, Οὐ μὴν ἁπάντων . . . ἐῤῥωμένων.] Ὁ νοῦς,

[library stamp]

Οὐχ ἁπάντων ὅμως τῶν ἀνθρώπων ἐῤῥωμένων, τουτέστι δυναμένων ἐν ταῖς τῆς τύχης μεταβολαῖς μιμεῖσθαι ἃ ζηλοῦσι καὶ φεύγειν ἃ δυσχεραίνουσι.—στ. 13, Στρατοπεδεύσας.] ΔΓ, Παραςρατοπεδεύσας.—στ. 15, Παραβάλλεσθαι.] Ἴσ. γρ. Παραβαλέσθαι.—στ. 20, Ἀφαιρεῖσθαι.] ΔΓ, Ἀφελέσθαι.—στ. 24, Τοὺς δεξομένους.] Ἐξ ΕΔ ἡ προσθήκη τοῦ ἄρθρου. — στ. 30, Ἡμερώτατα Λεπίδῳ προσηνέχθη.] Καθὰ καὶ ἡ συνήθεια, Ἐφέρθη ἡμερώτατα πρὸς τὸν Λέπιδον, ἢ μὲ τὸν Λέπιδον.

ΣΕΛΙΔ. 68, στ. 4, Πλάγκου.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Φλάκκου.— στ. 9, Κοτύλωνα.] Τὸν παρὰ τῷ Κικέρωνι Κοτύλαν καλούμενον εἶναι τοῦτον οἱ ΠΡ ἐσημειώσαντο· καὶ ἑλληνικῶς οὕτως ἐπικεκλῆσθαι παρὰ τὴν Κοτύλην, διὰ τὸ φίλοινον, ὑπέλαβον. — στ. 24, Δοκῶ.] ΔΓ, Δοκεῖ.

ΣΕΛΙΔ. 69, στ. 3, Τὴν χεῖρα τὴν δεξιάν.] Ἐν δὲ τῷ Κικέρωνος βίῳ (§ 48) Τὰς χεῖρας, εἴρηκε. Ἐπιθι τὰ ἐκεῖ (Πλουτάρχ. Ε, σελ. 431) σημειωθέντα περὶ τῆς διαφωνίας ταύτης.—στ. 20, Ἀνεχαίτισε τῶν πραγμάτων.] Ὕποπτος ἔδοξεν ἡ φράσις τῶν ΠΡ τινὶ οὐκ ἀπεικότως. Ἴσως γραπτέον, Ἀνεχαίτισεν ἐκ τῶν πραγμάτων, ἐλλειπτικῶς τοῦ, Ἑαυτὸν, τουτέςιν, ἀνέλαβεν ἑαυτὸν ἐκ τῶν πραγμάτων, ἀπηλλάγη τῶν συμφορῶν. Ἡ μεταφορὰ ἀπὸ τῶν ἀναχαιτιζομένων ἵππων.

ΣΕΛΙΔ. 70, στ. 1, Τελῶν.] Φόρων. — στ. 15, Τῶν φίλων τινὸς ὄναρ ἰδόντος.] Ἀρτώριον Μάρκον τοῦτον ὀνομάζει Πλούταρχος ἐν τοῖς ἑξῆς (Βρούτ. § 41, σελ. 217,). Ἦν δὲ ἰατρὸς τοῦ Αὐγούςου, ὡς δῆλον ἐκ τῶν ἱςορησάντων τὸν ὄνειρον, Δίωνος Κασσίου (μζ΄, 41), καὶ Οὐαλερίου Μαξίμου (ά, 7).

ΣΕΛΙΔ. 71, στ. 5, Τὰς πρὸς ἕω.] ΔΓ, Τὰς πρὸς ἕωας· ἢ καλῶς ἂν εἶχεν, εἰ συνημμένως ἐγράφετο, Τὰς προσεῴας. Λέγοιτο γὰρ ἂν καὶ, Προσεῴα ἐπαρχία, ὥσπερ καὶ Στράβων (σελ. 689) τὸ πρὸς ἕω τῆς Ἰνδικῆς μέρος, Προσεῷον πλευρὸν ὠνόμασε.—στ. 8, Οὐκ ἀτόπως, οὐδὲ φορτικῶς.] Ἐξ ΗΔ, ΑΤ, Οὐκ ἄτοπος, οὐδὲ φορτικός.—στ. 9, Τό γε πρῶτον.] Ἐξ ΗΔ οἱ ΠΡ, ΑΤ, Τότε πρῶτον.—στ. 10, Αὐτοῦ.] Ἐξ ΕΔ, ΑΤ, Αὐτοῦ.—στ. 11, Ἔτρεπε.] Ἐκ ΔΓ, ΑΤ, Ἔπρεπε· ὃ οἱ ΠΡ ἔτρεψαν εἰς τὸ Ἔῤῥεπε.—Ἐπιεικής.] Ἐκ ΔΓ, ΑΤ, Ἐπιείκια.—στ. 12, Ἔτι δὲ μᾶλλον φιλαθήναιος προσαγορευόμενος.] Μέγα γὰρ ἐδύνατο τὸ ῥημάτιον τοῦτο, Φιλαθήναιος, παρὰ τοῖς Ἀθηναίοις· καὶ διὰ τοῦτο εἰκὸς χαίρειν μάλιστα καὶ τὸν

Ἀντώνιον οὕτω προσαγορευόμενον, ὥσπερ ἐχέγγυον ἔχοντα τῆς παρ' ἐκείνων εὐνοίας τὸ φίλων Ἀθηναίων ὑπολαμβάνεσθαι. Διὸ καὶ ὁ Κωμικὸς τὴν εὐήθειαν τοῦ ὑπὸ τῶν λεγομένων Φιλαθηναίων συνεχῶς ἀπατωμένου δήμου σκώπτων φησὶ (Σφηξ. 281),

Διὰ τὸν χθεσινόν γ' ἄνθρωπον, ὃς ἡμᾶς διεδύετ'
Ἐξαπατῶν, καὶ λέγων, ὡς ΦΙΛΑΘΗΝΑΙΟΣ ἦν —.

Καὶ αὖθις (Ἀχαρν. 142],

Καὶ δῆτα ΦΙΛΑΘΗΝΑΙΟΣ ἦν ὑπερφυῶς,
Ὑμῶν τ' ἐραστὴς ἦν ἀληθῶς, ὥστε καὶ
Ἐν τοῖσι τοίχοις ἔγραφ' ΑΘΗΝΑΙΟΙ ΚΑΛΟΙ.

— στ. 15, Αὐτῶν.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Αὐτόν. — στ. 16, Μικρὸν μὲν ... σαπρὸν δέ.] Ἡ ὀξύτης τοῦ σκώμματος ἐστὶν ἐν τῷ, Μέν, συνδέσμῳ. Μετὰ γὰρ τὸ Μικρὸν μέν, ὁ ἀκούων προσδοκᾷ ἀντίθετόν τι παραμυθητικὸν τῆς μικρότητος ἐπάξειν τὸν λέγοντα, οἷον, Ἀστεῖον δέ, Κομψὸν δέ, ἤ τι ἕτερον τοιοῦτον, οἷόν ἐστι τὸ Ὁμηρικὸν (Ἰλιάδ. έ, 801),

Μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής·

ἀκούει δὲ παρὰ προσδοκίαν τό, Σαπρὸν δέ, τουτέστι, διεῤῥυηκὸς ὡς ὑπὸ σήψεως, τῆς παλαιότητος.

ΣΕΛΙΔ. 72, στ. 1, Καθάπερ ἡ Σοφόκλειος κ. τ. λ.] Λέγει τοῦτο Σοφοκλῆς ἐν Οἰδίποδι τυράννῳ (στ. 4),

Πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμει,
Ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων.

— στ. 9, Ὠμηστὴς καὶ ἀγριώνιος.] Ἐπώνυμα τοῦ Διονύσου. Καὶ τοῦ μὲν Ὠμηστοῦ (ὅ ἐστιν ὠμοφάγου, ἢ ὠμοβόρου) ἐμνημόνευσε καὶ ἀλλαχοῦ (Πλουτάρχ. Α, Θεμιστοκλ. § 13, σελ. 218, καὶ 440)· ὁ δὲ Ἀγριώνιος ὑπονοεῖν παρέχει, μήποτε Ἀγρώνιος ὤφειλε λέγεσθαι, διὰ τὸ ἐν τοῖς ἀγροῖς τὴν ἑορτὴν αὐτοῦ τελεῖσθαι· ὅθεν καὶ τὰ καλούμενα, Κατ' ἀγροὺς Διονύσια (Ἀριστοφ. Ἀχαρν. 202)· πρὸς δέ, ὅτι καὶ ἃ πληθυντικῶς καὶ οὐδετέρως Ἀγριώνια, τὴν τοῦ Ἀγριωνίου τούτου Διονύσου ἑορτήν, Πλούταρχος (Κεφ. Ἑλλην. κατaγρ. 38) καλεῖ, ἀλλαχοῦ (Συμποσιακ. Η, ά) τετρασυλλάβως Ἀγρώνια

ὀνομάζει. Ἐὰν μέντοι κατὰ χώραν τὴν γραφὴν Ἀγριώνιος ἄμεινον, μήτ' εἰς τὸ Ἀγρώνιος, μήθ', ὡς ἔδοξέ τινι τῶν ΠΡ, εἰς τὸ Ἀγριώλιος τρέποντας· οὐχ ὅτι μόνον τὸν Ἀγριώνιον (παρὰ τὸ Ἄγριος) ἐπὶ τοῦ ἀπηνοῦς τοὺς τρόπους, ὥσπερ καὶ τὸν Ὠμηστὴν, προδήλως τέταχεν ἐνθάδε ὁ Πλούταρχος, ἀλλὰ καὶ διὰ τῆς ἱστορίας τὴν ἀδηλότητα, ἣν ἐπιτείνει καὶ ἑτέρα διάφορος γραφὴ ἡ παρ' Ἡσυχίῳ. « Ἀγράνια (γάρ φησιν) ἑορτὴ ἐν ἈΡΓΕΙ ἐπὶ μίαν (γρ. μιᾷ) τῶν » Προίτου θυγατέρων » · καὶ αὖθις ὁ αὐτὸς, « Ἀγριάνια, νεκύσια » παρὰ ἈΡΓΕΙΟΙΣ, καὶ ἀγῶνες ἐν Θήβαις ». Καὶ τοῖς μὲν ἐν Ἄργει τελουμένοις Ἀγρανίοις οὐδὲν ἐστι κοινὸν πρὸς τὰ παρὰ τῷ Πλουτάρχῳ Ἀγρώνια, ἢ Ἀγριώνια τοὺς δ' ἐν Θήβαις ἀγῶνας οὐκ ἀπεικότως ἄν τις ἡγήσαιτο εἰς τιμὴν τοῦ Θηβαγενοῦς Διονύσου τελεῖσθαι. — στ. 14, Ὕβρέας.] Μνημονεύει τοῦ Ὑβρέου τούτου καὶ Στράβων (ἴδ', σελ. 659), ὡς ἐνδόξου Ῥήτορος, καὶ συντόνως δημαγωγήσαντος ἐν Μυλάσοις τῇ πατρίδι· φέρει δὲ καὶ μαρτύριον τῆς ὀξύτητος αὐτοῦ, ὃ πρὸς τὸν ἀντιπολιτευόμενον Εὐθύδημον δημηγορῶν εἶπεν, « Εὐθύδημε, » κακὸν εἶ τῆς πόλεως ἀναγκαῖον· οὔτε γὰρ μετὰ σοῦ δυνάμεθα ζῆν, » οὔτ' ἄνευ σοῦ ». Ἦν γὰρ ὁ Εὐθύδημος, ὥς φησι Στράβων, « Δυνα» τὸς ἅμα καὶ χρήσιμος τῇ πόλει, ὥς', εἰ καίτι τυραννικὸν προσῆν, » τοῦτ' ἀπελύετο τῷ παρακολουθεῖν τὸ χρήσιμον (γρ. τῷ παρακο» λουθοῦντι χρησίμῳ) ». — στ. 15, Ἀγοραίως.] Κατὰ τοὺς ἐν ἀγορᾷ κυλινδουμένους, καὶ σχεδὸν βωμολοχικῶς. — Πρὸς τὸν Ἀντωνίου ζῆλον.] Οἰκείως οἷς Ἀντώνιος ἐζήλου καὶ ἠγάπα. — στ. 18, Πρακτικῶς.] Ἐνεργῶς. — Παραβόλως.] Τολμηρῶς· οὐ γὰρ ἦν ἀκίνδυνον τὸ μετὰ σπουδῆς ἐπιτιμᾷν Ἀντωνίῳ, ὥσπερ τὸ μετὰ παιδιᾶς. — Συναγαγών.] Συλλογισάμενος καὶ συναθροίσας τοῦ ἀργυρίου τὴν ποσότητα. — στ. 19, Ὅτι.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ὅτε. Καὶ οἱ μὲν ἀπὸ τοῦ, Ὅτι, τούτου ἄρχεσθαι τὸ πρὸς τὸν Ἀντώνιον λεγόμενον ὑπὸ τοῦ Ὑβρέου, οἱ δὲ ἀπὸ τοῦ ἐχομένου, Ταῦτ', ἄλλοι δὲ συμφώνως ἡμῖν, ἀπὸ τοῦ, Εἰ μέν. Ὅτι δὲ αὕτη ἐςὶν ἡ ἀρχὴ τοῦ λόγου, γενήσεται καταδηλότερον ἐκ τῶν ἑξῆς. — Μυριάδας εἴκοσι ταλάντων.] Ὡς μὲν ὑπελογίσατο ὁ τὴν Γαλατικὴν Ἀμιότου μετάφρασιν πρὸ τοῦ Κλαυερίου ἐκδοὺς, 933, 750, 000 λιτρῶν Γαλλικῶν· κατὰ δὲ τὸν τοῦ Ἀναχάρσιδος συγγραφέα Βαρθολομαῖον, εἶεν ἂν αἱ εἴκοσι μυριάδες ταλάντων ἴσαι, 1, 000, 080, 000 λιτρῶν. — Ταῦτ', εἰ μὲν κ. τ. λ.] Ἐξ ΗΔ, ΑΤ, Ταῦτ', εἶπεν, εἰ μέν. Ὁ περισσὸν τῆς γραφῆς, Εἶπεν, ὑπολαβεῖν ἐποίησέ τινας τῶν ΠΡ,

ὡς εἴρηται, ἀπὸ τοῦ, Ταῦτ', ἄρχεσθαι τὴν δευτέραν ταύτην Ὑβρέου πρὸς τὸν Ἀντώνιον ἐπιτίμησιν, ἀναφέροντας τὴν ἀντωνυμίαν πρὸς τὸ ἐχόμενον, Εἴληφας, ὡς εἶναι τοῦ λόγου τὴν συνάρτησιν, Εἶπεν, « Εἰ μὲν οὐκ εἴληφας ταῦτα κ. τ. λ. ». Καὶ ὅτι μὲν οὐκ ἀναγκαῖον ἐνθάδε τὸ, Εἶπεν, δηλοῖ τὸ προηγησάμενον (στ. 15) Εἰπεῖν· ὅτι δὲ καὶ συγχέει τῶν λεγομένων τὸν νοῦν, πιςοῦται ἡ τῶν ὀνομάτων ἀντίθεσις, ἣν ἀφανίσειεν ἂν συναπτόμενον τοῖς ἑξῆς. Ἔστι γὰρ ἡ συνάρτησις μικρὸν ἄνωθεν ἀρξαμένοις τοιαύτη· Ἐτόλμησεν Ὑβρέας εἰπεῖν, ἈΓΟΡΑΊΩΣ ΜῈΝ ἘΚΕΙ͂ΝΑ. . . « Εἰ δύνασαι κ. τ. λ. ΠΡΑΚΤΙΚΩ͂Σ ΔῈ ΚΑῚ ΠΑΡΑΒΌΛΩΣ ... ΤΑΥ͂Τ', « Εἰ μὲν οὐκ εἴ» ληφας κ. τ. λ. — στ. 21, Ἔτρεψέ τε τοῦτο.] Τὸ μὲν Ἔτρεψέ τε, ἐξ ΗΔ, ΑΤ, Ἐτρέψατο, τὸ δὲ, Τοῦτο, ἐκ ΔΓ, ΑΤ, Τούτῳ. Οἱ ΠΡ, ὡς εἰκὸς ἦν ἐκ τῆς ἡμαρτημένης γραφῆς, ἡρμήνευσαν, Ἐτρέψατο ὁ Ὑβρέας τὸν Ἀντώνιον τούτῳ· τῆς δ' ἡμετέρας διορθώσεως ὁ νοῦς, Τοῦτο τοῦ Ὑβρέου τὸ ῥῆμα ἔτρεψε τὸν Ἀντώνιον, ὥσπερ ἐξέφρασε καὶ ὁ Α, [Ces paroles de Hybreas touchèrent et piquèrent fort Antonius.

ΣΕΛΙΔ. 73, στ. 5, Ὑποστύφου.] Ἐξ ΕΔ (μετοχικῶς), ΑΤ, Ὑπόςυφον (ὀνοματικῶς). — στ. 8, Ὁμιλούντων . . . ἡττωμένων.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ὁμιλοῦντες...ἡττώμενοι.—στ. 22, Τοῦτο δὴ τὸ Ὁμηρικὸν...εὖ ἐντύνασαν ἑαυτήν.] Ἐκ ΔΓ προσέθηκα τὴν ἀντωνυμίαν, Ἑαυτήν. Οὕτως γὰρ ἔχει καὶ ὁ περὶ τῆς Ἥρας Ὅμηρος λέγει (Ἰλιάδ. ξ, 161),

Ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλὴ,
Ἐλθεῖν εἰς Ἴδην, εὖ ἐντύνασαν ἓ αὐτήν.

Τὸ δὲ, Ἐντύνασαν, ἐστὶ κοσμήσασαν.

ΣΕΛΙΔ. 74, στ. 1, Συνεσκευάσατο.] Μεθ' ἑαυτῆς ἐν σκεύεσιν ἐκομίσατο· δύναται γὰρ τὸ Συσκευάζεσθαι ταὐτὸν τῷ παρὰ τοῖς Γάλλοις empaqueter, ἢ empaller. — στ. 4, Μαγγανεύμασι. ] ΔΓ (ἢ μᾶλλον ἐξήγησις) Μαγεύμασι. « Μαγγανεία, ἣν ἡμεῖς μα» γείαν· μάλιςα δὲ ἡ τῶν ἀγυρτῶν οὕτως λέγεται », φησὶ Φώτιος. — Παρεγένετο.] ΔΓ, Παρεγίνετο. — στ. 7, Ἀνὰ τὸν Κύδνον ποταμόν.] Ἴδ. Πλουτάρχ. Δ, σελ. 418. — Πορθμείῳ.] Ἐξ ΗΔ, ΑΤ, Πορθμίῳ. — στ. 10, Συνηρμοσμένον.] Ἐκ ΔΓ, ΑΤ, Συνηρμοσμένης. Ἕτεραι ΔΓ, Συνηρμοσμένων: Συνηθροισμένων.— στ. 11, Σκιάδι.] « Σκιὰς ... σκηνὴ ὠροφομένη (γρ. ὠροφωμένη) κ.τ.λ. »

φησὶν Ἡσύχιος. — στ. 18, Ἀπὸ τῆς πόλεως.] Τῆς Ταρσοῦ δηλονότι, ὡς ὑπενόησέ τις τῶν ΠΡ· ταύτην γὰρ ὁ Κύδνος διαῤῥεῖ, καὶ πέντε σταδίους αὐτῆς ἀποσχὼν εἰς τὴν θάλασσαν ἐκβάλλει (Στράβ. ιδ΄, σελ. 673). — στ. 29, Πλαισίων.] Τετραγώνων. — Περιφερῶν.] Ἐξ ΗΔ, ΑΤ, Περιφερειῶν. «Περιφερὲς, στρογγύλον» Ἡσύχιος. — Ἐν ὀλίγοις.] ΗΡΔ, ΑΤ, Ἐν λόγοις.

ΣΕΛΙΔ. 75, στ. 2, Ἐμμέλειαν.] ΗΡΔ, ΑΤ, Ἐπιμέλειαν. Οὕτως δὲ καὶ οἱ μεταφρασταὶ, ὁ μὲν Α, belle ordonnance, ὁ δ' Ἰταλὸς squisitezza. — Ἀμφοῖν δὲ λειπόμενος, καὶ κρατούμενος [ἐν αὐτοῖς ἐκείνοις.] Οὕτως παρ' ἅπασιν· μεταμέλει δέ μοι μὴ τρέψαντι τὴν τελευταίαν λέξιν εἰς τὸ Ἐκείνης, τῆς Κλεοπάτρας δηλονότι. Ὁ νοῦς, Κατ' ἄμφω, τήν τε ἐμμέλειαν καὶ τὴν λαμπρότητα, λειπόμενος ἐκείνης καὶ κρατούμενος ἐν αὐτοῖς. — στ. 9, Ἀφὴν. . . ἄφυκτον.] Λῆψιν, ἅλωσιν, χείρωσιν, ἣν οὐκ ἦν δυνατὸν φυγεῖν· παρὰ τὸ Ἅπτομαι. Τὸ δὲ ψιλούμενον ἀρσενικὸν, Ἀφὴς, παρὰ τὸ στερητικόν ἐστιν α καὶ τὸ Φάω τὸ λέγω. Καὶ διορθοῦσθω ὁ Ἡσύχιος, ἐν οἷς φησιν, «Ἀφὴς, ἀδύνατος » ΑΛΛΟΣ. . . ». Γραπτέον γὰρ ΑΛΑΛΟΣ. Συνήπται δὲ τῷ Ἀδύνατος, διὰ τὸ σημαίνειν τὸν δι' ἀσθένειαν ἄφωνον, ὥσπερ καὶ τὸ παρὰ τὸ Βάζω, Ἀβάκης καὶ τὸν ἀδύνατον καὶ τὸν ἄφωνον δηλοῖ, παρὰ τῷ αὐτῷ Ἡσυχίῳ. — στ. 11, Περιθέοντος.] ΔΓ, Παραθέοντος· ἣν προείλοντο οἱ ΗΡ. — στ. 19, Παραλαβεῖν.] Ἐξ ΗΔ, ΑΤ, Περιλαβεῖν· διὰ τὰ ἀλλαχοῦ (Πλουτάρχ. Δ, σελ. 330) σημειωθέντα. — Στ. 23, Αἰωρουμένης. . . σρατιᾶς.] Ὅμοιον τῷ ἀνωτέρω (Δημητρ. § 44, σελ. 41) Αἰρομένης δυνάμεως. Τῶν ἐντεῦθεν δὲ, ὡς καὶ οἱ ΗΡ ἐσημειώσαντο, μέχρι τοῦ § 52, σελ. 98, καὶ τινων τοῦ § 53, πολλὰ εὕρηται ταυτὰ καὶ ἐν τῇ Παρθικῇ καλουμένῃ τοῦ Ἀππιανοῦ Ἱστορίᾳ, τῶν ἀντιγραφέων κακῶς τοῖς Ἀππιανείοις ἐγκαταμιξάντων τὰ τοῦ Πλουτάρχου, ὥσπερ ἐγκατέμιξαν καὶ τὰ περὶ τοῦ Κράσσου (Ἴδ. Πλουτάρχ. Γ, σελ. 436). — στ. 29, Ἀμιμητοβίων.] Ἐξ ΕΔ οἱ ΗΡ, ΑΤ, Ἀμίμητος βίων.

ΣΕΛΙΔ. 76, στ. 12, Παραγαγεῖν.] Ὑπερθέσθαι τὸ δεῖπνον. — Στ. 14, Δεῖπνα συντέτακται.] ΔΓ, Δεῖπνα δεῖ συντετάχθαι. — στ. 16, Τὸν πρεσβύτατον τῶν Ἀντωνίου παίδων.] Τὸν ὀνομαζόμενον ἐν τοῖς ἑξῆς Ἄντυλλον, ὃν ὁ Καῖσαρ ἀνεῖλε (§ 87, σελ. 127). — Στ. 18, Ἐπιεικῶς.] Ὡς ἐπὶ τὸ πλεῖστον. — στ. 19, Τὸν ἰατρόν.] Ἐξ ΗΔ ἡ προσθήκη τοῦ ἄρθρου, [ἧς μεταμέλει μοι νῦν. Εἰ μὲν γὰρ ὁ θρασυνάμενος ἰατρὸς, ὁ αὐτός ἐστι τῷ ἰατρῷ Φιλώτᾳ, ἐπά-

ναγκες προσθετέον τὸ ἄρθρον· εἰ δὲ ἕτερος, ὥσπερ ἐξεδέξαντο πιθανῶς οἱ μεταφρασαί, οὐ πάνυ τι σαφῶς ἐκπέφρασται τὸ διήγημα.—στ. 29, Ἀφοσιουμένου.] ΔΓ, Ἀποσειομένου.—στ. 30, Τί, ὦ πόνηρε.] Ἐξ ΗΔ, (προπαροξυτόνως), ΑΤ, Τί, ὦ πονηρὲ (ὀξυτόνως). Πονηρὸς μὲν γὰρ ἐπὶ τοῦ κακοῦ λέγεται (Ἀριςοφάν. Βατρ. 731),

Καὶ πονηροῖς, κἀκ πονηρῶν, εἰς ἅπαντα χρώμεθα·

Πόνηρος δὲ, οἰκτείροντος μᾶλλόν ἐςι προσφώνημα, κατὰ κλητικὴν πτῶσιν λεγόμενον, Ἀριςοφάν. Ὀρν. 3),

Τί, ὦ πόνηρ', ἄνω κάτω πλανύττομεν;

οἷόν ἐςιν ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ τὸ, Κακόμοιρε, τὸ, Ταλαίπωρε, τὸ, Καυμένε (χυδ. Καϊμένε), καὶ ἄλλα τοιαῦτα.—Φάναι τὸν ἄνθρωπον.] Οὐ τὸν Ἀντωνίου υἱὸν, ὡς ἐξεδέξατο ὁ Α, ἀλλὰ τὸν προσενεγκόντα τὰ ἐκπώματα οἰκέτην.

ΣΕΛΙΔ. 77, στ. 7, Ὥσπερ ὁ Πλάτων φησί.] Ἐν τῷ Γοργίᾳ (σελ. 464), «Ἡ κολακευτική...τέτραχα ἑαυτὴν διανείμασα... τοῦ μὲν βελ» τίςου οὐδὲν φροντίζει, τῷ δὲ ἀεὶ ἡδίςῳ θηρεύεται τὴν ἄνοιαν».—στ. 10, Ἀνεῖςα.] Ἐκ ΔΓ, ΑΤ, Ἀνεῖσα.—στ. 12, Προσιςαμένῳ.] ΠΡΔ, ΑΤ, Προϊςαμένῳ.

ΣΕΛΙΔ. 78, στ. 26, Τὸν Ἰόνιον.] Ἐλλειπτικῶς τοῦ Κόλπον. Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἰώνιον.

ΣΕΛΙΔ. 79, στ. 3, Ἀττίας.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Τατίας.—στ. 13, Σωτηρίαν ἔσεσθαι καὶ σύγκρασιν.] Ἴσως γραπτέον, Σωτήριον ἔσεσθαι σύγκρασιν.—στ. 16, Ἐκείνη.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἐκείνης.—στ. 24, Παρακεκλιμένων.] Ἐξ ΗΔ, ΑΤ, Παρακεκριμένων· ὃ καὶ ὁ Στέφανος ἡμαρτῆσθαι ὑπενόησεν. Ἔςι δὲ τὸ Παρακλίνεσθαι ἐνθάδε, παρακεῖσθαι καὶ πλησίον ἑςάναι.—στ. 26, Σίτου τι τεταγμένον.] Ἐλλειπτικῶς τοῦ Μέτρον.—στ. 29, Ἐνταῦθα (ἔφη, δείξας κ. τ. λ.)]. Αἰτιῶνται οὐκ ἀλόγως τὸν Πλούταρχον διαφθεῖραι τὴν ὀξύτητα τῆς τοῦ νέου Πομπηίου ἀποκρίσεως, μὴ νοήσαντα τὸν Ῥωμαῖον συγγραφέα, ἐξ οὗ ἠρανίσατο τὸ διήγημα. Πρὸς γὰρ τὸν Ἀντώνιον ἐρωτήσαντα, Ποῦ δειπνήσουσιν, ἀπεκρίνατο, Ἐν ταῖς τρόπισι. Τοῦτο δὲ Ῥωμαϊςὶ λέγεται, In carinis· ἀλλ' ἐπεὶ τὸ carinæ τὸ σημαῖνον τὰς τρόπεις τῶν νεῶν, καὶ ὄνομα ἦν κύριον μέρους πόλεως τῆς Ῥώμης, ἔνθα ἦν ἡ πατρῷα Πομπηίου οἰκία, φάσκων, Ἐν ταῖς τρόπισι δειπνήσομεν, τῷ μὲν

ῥήματι, Ἐν τῇ νηῒ δειπνήσομεν, ἔλεγε, τῷ δὲ νῷ καθήπτετο τῆς Ἀντωνίου πλεονεξίας, κατασχόντος τὸν ἐν ταῖς καλουμέναις Τρόπισιν (in Carinis) ὄντα πατρῷον οἶκον. Διὸ καὶ Δίων ὁ Κάσσιος (μή, 38), καλῶς ποιῶν τὸ Ῥωμαϊκὸν ἐφύλαξεν ὄνομα, «Πρὸς τὸν » Ἀντώνιον, ἐπειδὴ τὴν οἰκίαν αὐτοῦ τὴν πατρῴαν ἐν ταῖς Καρίναις » κατεῖχε (τόπος γάρ τις τῆς Ῥωμαίων πόλεως οὕτω καλούμενός ἐςιν), » ἀποσκώψας τρόπον τινὰ ἥδιςον· ταῖς γὰρ τρόπισι τῶν νεῶν τῆς » αὐτῆς ὀνομασίας οὔσης, Ἐν ταῖς Καρίναις αὐτοὺς ἑςιᾶν » ἔφη ».

ΣΕΛΙΔ. 80, στ. 3, Ὁρμίσας.] ΠΡΔ, ΑΤ, Ὁρμήσας. — στ. 7, Μηνᾶς.] Ὑποκοριςικὸν τοῦ Μηνόδωρος· τοῦτο γὰρ αὐτὸν Ἀππιανὸς (Ἐμφυλ. Ῥωμ. έ, 73) καλεῖ. — στ. 22, Γενέσεις.] Ἐξηγησάμεθα την λέξιν ἐν τοῖς εἰς τὸν Ἡλιόδωρον Προλεγομένοις (Ἡλιοδώρ. Β, σελ. πά), ὅπου διώρθου καὶ τὸ τυπογραφικὸν ἁμάρτημα, Διὰ τὸ ἐκ τῆς διαφόρου... προλέγοντες, τρέπων τὴν τελευταίαν λέξιν εἰς τὸ προλέγειν.

ΣΕΛΙΔ. 81, στ. 3, Ἀνιώμενος ἀδήλως ὁ Ἀντώνιος.] Παρὰ δὲ τῷ Ἀππιανῷ γράφεται, Ὁ Ἀντώνιος ἀνιώμενος δῆλος ἦν. — στ. 6, Διαχειμάζοντι... ἀπαγγέλλεται.] Ἀππιαν. Χειμάζοντι... ἀγγέλλεται. — στ. 9, Φαρναπάτην.] Ἀππιαν. Φρααάτην. — Τῶν Ἡρώδου.] Ἐξ ΠΔ, ΑΤ, Τὸν Ἡρώδου. Παρὰ δὲ τῷ Ἀππ. Τῶν Ὀρώδου. Καὶ οὕτως ἂν ἔγραψα ὀρθώτερον, εἰ μὴ ἀλλαχοῦ Πλούταρχος (Μέρ. Γ, σελ. 317, καὶ 437) Ὑρώδην ἐκάλει, ὃν ὧδε Ἡρώδην ὀνομάζει, ὥς' ἄδηλον εἶναι, εἴτε τῶν ἀντιγραφέων, εἴτ' αὐτοῦ Πλουτάρχου ἐςὶ τὸ ἁμάρτημα. Ἐκαλεῖτο γὰρ ὁ περὶ οὗ νῦν ὁ λόγος οὔθ' Ἡρώδης, οὔθ' Ὑρώδης, ἀλλ' Ἀρσάκης Ὀρώδης, ὥσπερ καὶ ὑπεσημειώσαμεν τῇ αὐτοῦ εἰκόνι (Πλουτάρχ. Γ, σελ. 416.) — στ. 10, Ἐγυμνασιάρχει δ' Ἀθηναίοις.] Γραπτέον ἴσως, Ἐγυμνασιάρχει τ' Ἀθηναίοις· ὡς γοῦν ἐςιν εἰκάσαι ἐκ τῆς παρὰ τῷ Ἀππ. γραφῆς, Καὶ ἐγυμνασιάρχει Ἀθηναίοις. — στ. 12, Γυμνασιαρχικῶν ] Ἐκ ΔΓ, ΑΤ, Γυμνασιάρχων. Τὰς δὲ γυμνασιαρχικὰς ῥάβδους ταύτας ἐξέφρασε καὶ ὁ Ἰταλὸς μεταφραςὴς colle verghe proprie appunto de' sopraintendenti a tali givochi. — Φαικασίοις.] «Φαικάσιον (φησὶν Ἡσύχιος), ὑποδήματος εἶδος ΓΕΩΡΓΙΚΟΥ », ἔνθα οἱ κριτικοὶ τὴν τελευταίαν λέξιν εἰς τὸ Ἱερουργικοῦ τρεπτέαν εἶναι εἴκασαν, διὰ τὸν Ἀππιανὸν, περὶ αὐτῶν τούτων ὧν Ἀντώνιος ὑπεδεῖτο φαικασίων οὑτοσὶ λέγοντα (Ἐμφυλ. Ῥωμαϊκ. έ, 11) «Ὑπό-

» δῆμα ἦν αὐτῷ λευκὸν Ἀττικόν, ὃ καὶ Ἀθηναίων ἔχουσιν ΙΕΡΕΙΣ » καὶ Ἀλεξανδρέων, καὶ καλοῦσι φαικάσιον ». Ἀλλὰ μήποτε παρ' Ἡσυχίῳ γραπτέον, ΓΥΜΝΑΣΙΑΡΧΙΚΟΥ. — στ. 13, Διαλαμβάνων.] Ἀπὸ τῆς παλαίστρας ἡ λέξις· σημαίνει δὲ τό, Μέσον λαμβάνων, καὶ ὃ φασιν οἱ Γάλλοι, prendre un homme à fois de corps, οὐχ ὡς ὁ Α ἐξέφρασε, séparoit. « Διαλαβεῖν, παλαιστρικόν τι », φησὶν Ἡσύχιος, οὐδὲν ἐξηγησάμενος περαιτέρω. Ὑποβὰς δέ, καὶ τὸ σημαινόμενον ἔγραψε, « Διαλελημμένων ...διακρατουμένων ἑκατέρω-» θεν ».—Ἐτραχήλιζεν.] Καὶ αὕτη παλαιστρικὴ ἡ λέξις. Ἔστι δὲ τὸ Τραχηλίζειν, κυρίως μὲν τὸ ἀνακλίνειν τὸν τράχηλον, οἷον ποιοῦσιν οἱ παλαισταί, πρὸς δὲ καὶ οἱ ζῶόν τι σφάττειν βουλόμενοι, τροπικῶς δὲ τὸ ἀνακαλύπτειν καὶ φανεροῦν· ὅθεν καὶ τὸ ἀποστολικὸν (Πρὸς Ἑβρ. δ΄, 13,), Γυμνὰ καὶ τετραχηλισμένα. — στ. 14, Ἀπὸ τῆς ἱερᾶς ἐλαίας.] Τῆς εἰδικώτερον Μορίας καλουμένης. « Μορίαι, » ἐλαῖαι ἱεραὶ τῆς Ἀθηνᾶς » φησὶν Ἡσύχιος. Ἔπιθι τὸν διὰ μακρῶν γράψαντα περὶ τῆς ἱερᾶς ταύτης ἐλαίας Μεύρσιον (Meurs. Att. lect. lib. IV, cap. 6.) — στ. 15, Κλεψύδρας.] Κρήνη Ἀθήνησιν ἦν ἡ Κλεψύδρα, ἀπὸ τῆς ἀκροπόλεως ἐπὶ σταδίους εἴκοσιν ὑπὸ γῆν φερομένη· εἶχε δὲ τὰς ῥύσεις ἀνατελλούσας εἰς τὸν Φαληρέων δῆμον, ὥς φησιν Ἡσύχιος (λέξ. Κλεψίρρυτον, καὶ Κλεψύδρα).—στ. 16, Ἐμπλησάμενος.] Ἀππιαν. Ἐμπλήσας.—στ. 22, Μηδίας.] Ἐξ ΗΔ, (συναδούσης τῷ Ἀππιανῷ), ΑΤ, Μηδείας.—στ. 26, Δεομένου.] Ἀππιαν. Δεομένους.—στ. 28, Ἐκέλευε.] Ἀππιαν. Ἐκέλευσε. —Ἐπιών.] Λείπει ἐν τοῖς τοῦ Ἀππιανοῦ.—στ. 29, Ἔν γε τοῦτο τῶν ἔργων.] Ἀππιαν. Ἐπί γε τούτῳ τὸ ἔργον.

ΣΕΛΙΔ. 82, στ. 3, Τραπομένων, πράττων οὐδέν.] Ἀππιαν. Τρεπομένων, πράττων μὲν οὐδέν.—στ. 8, Γένει μὲν ἀφανής.] Ἐκ τοῦ Ἀππιαν. ΑΤ, Γενόμενος μὲν ἀφανής.—στ. 10, Λεγόμενον καὶ Καῖσαρος.] Ἐξ ΕΔ προσέθηκαν οἱ ΠΡ τὸν σύνδεσμον. Ἀππιαν. Καὶ Καίσαρος λεγόμενον.—στ. 19, Περιώρμισεν.] Ἐξ ΗΔ, ΑΤ, Περιώρμησεν.

ΣΕΛΙΔ. 83, στ. 13, Αὐτῷ.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Αὐτοῦ.— στ. 15, Εὕδουσα δ' ἡ δεινὴ συμφορὰ χρόνον πολύν.] Στίχον εἶναι ἔκ τινος ποιητοῦ παρειλημμένον πιθανῶς μὲν ὑπενόησαν οἱ ΠΡ, οὐ πιθανῶς δ' ὑπέλαβον φέρεσθαι παρὰ τῷ ποιητῇ τὸν τρόπον τοῦτον, Εὕδουσα δ' ἤδη συμφορὰ χρόνον πολύν. Οὐδὲν γὰρ ἐπείγει περιγράφειν τὸ Δεινὴ ἐκ τοῦ στίχου, οὕτως ἔχοντος·

Εὕδουσα δεινὴ συμφορὰ χρόνον πολύν.

— στ. 18, Ὥσπερ φησὶν ὁ Πλάτων.] Ἐν τῷ Φαίδρῳ (σελ. 256).— στ. 28, Ὃν καὶ προαγαγών.] ΠΡΑ ἡ προσθήκη τοῦ, Ὄν, ὅπερ ἐξέφρασαν καὶ οἱ μεταφρασταί.—στ. 29, Ἀλλὰ τὸ αἰσχρὸν ... ἀνιαρώτατον.] Ὁ νοῦς, Ἀλλ' ὅπερ ἠνία μάλιστα τοὺς ἀνθρώπους, αἱ τιμαὶ ἦσαν, ἃς αἰσχρῶς ἐδίδου τῇ Κλεοπάτρᾳ.

ΣΕΛΙΔ. 84, στ. 84, Τὸν αὐτοῦ πρόγονον.] Ἐξ ΕΔ, ΑΤ, Τὸν αὐτοῦ πρόγονον. Λέγει δὲ ὃν ἀνωτέρω (§ 4, σελ. 56) Πλούταρχος ὠνόμασεν Ἄντωνα.—στ. 9, Νόμους Σολωνείους.]Οὓς Σόλων ἔθηκε περὶ γάμων νόμους, καὶ οὓς ἀλλαχοῦ (Ἀρταξ. § 23, Μέρ. Ε, σελ. 302) Ἑλλήνων νόμους, εἴρηκε. — στ. 12, Φραόρτου.] Γραπτέον, Φραάτου, ὡς φέρεται καὶ ἐν τῷ Κράσσου βίῳ (Πλουτάρχ. Γ, σελ. 337), καὶ παρὰ τῷ Ἀππιαν. — Ὑρώδην.] Προσέθηκα τὸ ν. Ἐν δὲ τῷ Κράσσου βίῳ, Ὑρώδην· Ἀππιανὸς δὲ, Ὀρώδην. — στ. 14, Μοναίσης.] Παρὰ τῷ Ἀππιαν. Μονέσσης.—στ. 18, Βαμβύκην.] Ἐκ ΔΓ καὶ τοῦ Ἀππιαν. οἱ ΠΡ, ΑΤ, Βορβύκην.—στ. 20, Δεξιὰν καταπέμψαντος.] Μεγίστη γὰρ αὕτη συγγνώμης πίστις παρὰ τοῖς Πέρσαις, ἠνίκα ὁ βασιλεὺς τῷ προσκρούσαντι, παρόντι μὲν τὴν δεξιὰν χεῖρα ἐδίδου, ἀπόντι δὲ δι' ἑτέρων λαβόντων συγγινώσκειν ἤγγελλε. Ἔχεις καὶ παρὰ τῷ Ξενοφῶντι τὸ, Δεξιὰν πέμπειν, ὃ καὶ Πολυδεύκης ἐσημειώσατο, [καὶ ὁ τὸ Ξενοφώντειον συντάξας Λεξικὸν (λέξ. Δεξιός) παραδείγμασιν ἐπιςώσατο. « Δεξιαὶ (φησὶν Ἡσύχιος), αἱ » γινόμεναι κατὰ συνθήκας ἐπαφαὶ τῶν δεξιῶν χειρῶν, εἰς σύμβολον » τοῦ βέβαια ἔσεσθαι καὶ ΗΝ ΜΕΤΑ τὰ συντιθέμενα » · ὅπου γραπτέον ... καὶ ΠΙΣΤΑ τὰ συντιθέμενα. Διορθούσθω δὲ καὶ ἡ μικρὸν ἀνωτέρω τοῦ αὐτοῦ Ἡσυχίου γλῶσσα « Δεξαμεναί...ΚΑΙ ΕΠΙΣΚΙΑΙ ». Ἡ γὰρ γνησία γραφή ἐστι...ΚΑΙ ΑΙ ΠΙΣΚΙΝΑΙ. Πισκίνας δὲ ἐκάλουν οἱ Βυζαντινοὶ συγγραφεῖς, παρὰ τὸ τῶν Ῥωμαίων Piscina, τὰ ἰχθυοτροφεῖα· ὅθεν καὶ ἐν τοῖς ἀρχαίοις Γλωσσαρίοις εὕρηνται, « Piscina, » δεξαμενή, ἰχθυοτροφεῖον» . Ἴδε καὶ Δουκάγγιον λέξ. Πισκίνα, καὶ Φισκίνα. — Ἀπέστειλεν.] Ἀππιαν. Ἀπέστελλεν. — στ. 21, Φραόρτην.] Γράφε, Φραάτην, ὡς γράφεται καὶ παρὰ τῷ Ἀππιανῷ. — Στ. 22, Ἀξιῶν δὲ τάς.] ΠΡΔ (συνᾴδουσα τῷ Ἀππιαν.) ΑΤ, Ἀξιῶν τάς. — στ. 26, Μέγιστος δὲ πάντων ὁ τῆς Ἀρμενίας Ἀρταουάσδης.] Ἀππιαν. Μέγιστος δὲ ὁ τῶν Ἀρμενίων, Ἀρταβάζης. Ἐπειδὴ τὰ ἀλλαχοῦ (Πλουτάρχ. Γ, Αὐτοσχ. στοχ. σελ. πτ', σημ. 2) σημειωθέντα

περὶ τῆς γραφῆς τοῦ ὀνόματος.— στ. 27, Ἑξακισχιλίους.] Ἑξακισχιλίους καὶ μυρίους, δεῖν γράφειν ὑπενόησαν οἱ ΠΡ, διότι καὶ Πλούταρχος προϊὼν (§ 50, σελ. 97) τοσούτους διαῤῥήδην λέγει τοὺς ἱππέας.—Στ. 28, Ἐξήτασε.] Ἀππιαν. Ἐξέτασσε.

ΣΕΛΙΔ. 85, στ. 6, Οὐκ ὄντα τῶν ἑαυτοῦ λογισμῶν.] Παρῄνει τις γράφειν οὐκ ἀπιθάνως, Οὐκ ἐντὸς ὄντα τῶν κ. τ. λ. Ἀλλ' οὐ μετακινητέον τὴν γραφήν· λέγεται γὰρ ἀμφότερα. Ἡ δὲ παρ' ἡμῖν συνήθεια, Δὲν εἶναι μετὰ λογικά του.—Στ. 10, Αὐτοῦ.] Ἀππιαν. Αὐτῷ.— Στ. 11, Ἀποτετρυχωμένον.] ΔΓ καὶ Ἀππιαν. Ἀποτετρυμένον.— Στ. 13, Μηδίαν.] Ἐξ ΗΔ (συναδούσης τῷ Ἀππιαν.), ΑΤ, Μηδειαν.—στ. 14, Ἐν ἀριςερᾷ.] Ἀππιαν. Ἐπ' ἀριςερά.—Ἀτροπατηνῆς.] ΔΓ, Σατροπατηνῆς. Ἔπιθι τὰ ἀλλαχοῦ (Πλουτάρχ. Γ, σελ. 404) σημειωθέντα. — στ. 21, Στατιανόν.] Ἐξ ΕΔ (οὕτως διορθώσαντος καὶ τοῦ ἐκδόντος τὰ Ἀππιανοῦ), ΑΤ, Τατιανόν.— στ. 22, Φράατα.] Ἐξ ΕΔ, ΑΤ, Φραόρτου. — στ. 23, Μηδίας.] Ἐξ ΗΔ, (συναδούσης τῷ Ἀππιαν.) ΑΤ, Μηδείας. — στ. 24, Ὅσον ἥμαρτε.] Ἀππιαν. Ἐςὰ ἥμαρτε.—στ. 26, Φραόρτης.] Γράφε, Φραάτης, ὡς φέρεται παρὰ τῷ Ἀππιανῷ.—στ. 29, Τατιανός.] Τυπογράφων ἀβλεψίᾳ παρημελήθη ἐνταῦθα ἡ εἰς τὸ Στατιανὸς τροπή.

ΣΕΛΙΔ. 86, στ. 1, Διέφθειραν. Εἶλον δὲ παμπόλλους.] Ἀππιαν. Διέφθειραν παμπόλλους.—στ. 4, Ἀρταουάσδης.] Ἀππιαν. Ἀρταβάζης.—στ. 5, Στρατιάν.] ΠΡΔ (συνᾴδουσα τῷ Ἀππιαν.) ΑΤ, Στρατεία.—στ. 9, Τὸ δυσθυμοῦν.] Ἀππιαν. Τὸ δύσθυμον.— στ. 12, Οἰόμενος.] Ἀππιαν. Ἡγούμενος. — Ἐπισπασθέντων.] Ἀππιαν. Ἐπιςάντων.—στ. 13, Δὲ μιᾶς ὁδόν.) Ἀππιαν. Δὲ μόνον ὁδόν.—στ. 19, Ἐν ἐφικτῷ δοκῶσιν εἶναι, τούς.] Ἀππιαν. Ἐν ἀφύκτῳ δοκῶσι, τούς.—στ. 20, Παρακεκριμένοις.] Ἴσως κἀνθάδε, ὥσπερ ἀνωτέρω (σελ. 364), τρεπτέον εἰς τό, Παρακεκλιμένοις. — στ. 21, Παρεξιόντας... ἴσοις.] Ἐκ ΔΓ καὶ τοῦ Ἀππιαν. οἱ ΠΡ, ΑΤ, Παρεξιόντες... ἴσους.—στ. 22, Ἀθορύβως.] Ἀππιαν. Ἀθορύβους.—στ. 23, Ἤρθη.] Ἀππιαν. Ἦρον (κακῶς ἀντὶ τοῦ Ἦραν).—στ. 24, Τούτους μέν.] Ἀππιαν. Τοὺς μέν.—στ. 25, Συναπτόντων.] Ἀππιαν. Συνεπιόντων.

ΣΕΛΙΔ. 87, στ. 1, Στάδια.] Ἀππιαν. Σταδίους.—στ. 4, Δεινὸν εἶναι λογιζομένοις.] Ἀππιαν. Δεινὸν λογιζομένοις.—στ. 7, Φραάτων.] Ἐξ ΕΔ, ΑΤ, Φραόρτου.—στ. 15, Δεκατεία.] ΠΡΔ (συνᾴδουσα τῷ Ἀππιαν.) ΑΤ, Δεκατία.—στ. 20, Ἐπισιτίσασθαι.]

Ἀππιαν.

Ἀππιαν. Ἐπισιτίζεσθαι.— στ. 21, Φραόρτης.] Ὀρθώτερον παρὰ τῷ Ἀππιαν. Φραάτης.—στ. 25, Συντίθησι.] Ἐξ ΗΔ (συναδούσης τῷ Ἀππιαν.) ΑΤ, Τίθησι.—Πάρθων.] Ὀρθώτερον παρὰ τῷ Ἀππιαν. Τῶν Πάρθων.

ΣΕΛΙΔ. 88, στ. 2, Φραόρτη] Ἀππιαν. Φραάτη.—στ. 4, Κάθηται πολεμίους ἀναμένων.] Ἔπιθι τὰ ἀλλαχοῦ (Πλουτάρχ. Δ, σελ. 419) σημειωθέντα περὶ τῆς φράσεως.—στ. 5, Δὶ ὧν.] Ἴσως γραπτέον, Δὶ ὃν, τουτέστι, Δὶ ὃν χειμῶνα.—στ. 8, Ἢ πυθέσθαι.] Ἀππιαν. Πρὶν πυθέσθαι. — στ. 11, Ἔπεμψέ τινας. ] Ἀππιαν. Ἔπεμψέ τινα.—στ. 13, Ἀγαπᾷν.] Ἀππιαν. Ἀγαπῶν. —στ. 14, Κελεύοντος. ] Λείπει παρὰ τῷ Ἀππιαν. — στ. 16, Διὰ λόγου. ] Ἐκ ΔΓ (συναδούσης τῷ Ἀππιαν.) ΑΤ, Διὰ λόγων.—στ. 17, Ὁντινοῦν.] Ἀππιαν. Ὁντιναοῦν.—στ. 18, Δομίτιον δ' Αἰνόβαρβον.] Ἀππιαν. Δομέτιον δ' Ἀηνόβαρβον.—στ. 21, Τὴν αἰτίαν· διὸ καὶ μᾶλλον ᾤοντο δεῖν ἀνταιδεῖσθαι.] Ἀππιαν. Τὴν δόξαν· διὸ καὶ μᾶλλον ᾤοντο δὴ καὶ τούτου δεῖσθαι. —στ. 24, Οὖσαν.] Λείπει ἐν τῷ Ἀππιανῷ.—στ. 26, Μάχῃ τῇ περὶ... γεγονώς. ] Ἀππιαν. Μάχῃ περὶ... γενόμενος.—στ. 29, Ὑποβαλεῖν.] Ἀππιαν. Ὑποβάλλειν. —στ. 30, Φραόρτην.] Ἀππιαν. Φραάτην.

ΣΕΛΙΔ. 89, στ. 7, Ἡγεῖτο.] Ἀππιαν. Ἥγετο.—στ. 9, Βαδίζοντος.] Ἐκ ΔΓ (συναδούσης τῷ Ἀππιαν.) οἱ ΠΡ, ΑΤ, Βαδίζοντας. —Στ. 11, Ἐκχεόμενον.] Ἀππιαν. Ἐκκεχυμένον. —στ. 19, Διδόντες... λαμβάνοντες.] Ἀππιαν. Δόντες... λαβόντες.— στ. 23, Ὑπόδειγμα.] Οἱ μὲν εἰς τὸ διαλελυμένον, Ὑπὸ δεῖγμα, ἕτεροι δὲ εἰς τὸ, Ἐμπόδισμα, τρέπειν παρῄνουν. — στ. 26, Πλαισίῳ.] Ἀππιαν. Πλινθίῳ.—στ. 27, Προσβαλόντας.] Ἀππιαν. Προσβάλλοντας.—στ. 30, Γεγονέναι.] Ἀππιαν. Γενέσθαι.

ΣΕΛΙΔ. 90, στ. 1, Φλαούϊος.] Ἀππιαν. Φλάβιος.—στ. 3, Ἀπ' οὐρᾶς.] Ἀππιαν. Ἐπ' οὐράν.— στ. 5, Προσβαλόντας. ] Ἀππιαν. Προσβάλλοντας.—στ. 16, Ὧν καί. ] Ἀππιαν. Ἐφ' ὧν καί. — στ. 17, Μέγιστον.] Ἀππιαν. Μέγιστα. —στ. 23, Ὠσάμενον.] ΠΡΔ (ἐκ τοῦ Ἀππιαν.) ΑΤ, Ὠσάμενος.—στ. 26, Ἐπὶ σκηνάς.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἐπὶ σκηναῖς.— στ. 27, Ἐναντίοις.] Λείπει ἐν τῷ Ἀππιανῷ.

ΣΕΛΙΔ. 91, στ. 3. Οὔτ' ἀλκαῖς... οὔτε ἡλικίᾳ ] Ἀππιαν. Οὔτ' ἐν ἀλκαῖς... οὔτ' ἐν ἡλικίᾳ.—στ. 18 Προσδοκῶντας. ] Ἐξ ΕΔ καὶ τοῦ Ἀππιαν. οἱ ΠΡ, ΑΤ, Προσδοκῶντες.—στ. 23, Αὐτὸς

μέν γάρ.] Περιγραπτέος ὁ πρότερος τῶν συνδέσμων· οὐδὲ γάρ πρὸς τὸν ἐχόμενον, Δέ, ἀντικεῖσθαί τις αὐτὸν εὐλόγως ἂν ἡγήσαιτο. — στ. 24, Προσαγορεῦσαι.] Ἐπὶ τοῦ ἁπλοῦ Ἀγορεῦσαι, τουτέστι, λαλῆσαι ἢ ὁμιλῆσαι, κατὰ τὴν Ῥωμαϊκὴν χρῆσιν τοῦ Alloquor. Χρήσεται δὲ καὶ ἐν τοῖς ἑξῆς (Δίων., § 29, σελ. 156) τῷ λατινισμῷ τούτῳ. — στ. 25, Ἱμάτιον.] Ἀππιαν. Ἱματίδιον. — στ. 26, Στρατηγική.] Ἀππιαν. Στρατιγίδι. — Προελθών.] ΔΓ, Προσελθών.

ΣΕΛΙΔ. 92, στ. 4, Εἰς αὐτόν.] Ἀππιαν. ὀρθώτερον, Ἐπ' αὐτόν. — στ. 8, Ἐῤῥωμένους δέ.] Ἀππιαν. ὀρθώτερον, Ἐῤῥωμένους τε. — στ. 10, Ἐπεξάγοντας.] Ἀππιαν. Ὑπεξάγοντας. — στ. 12, Προὐβάλοντο.] Ἐξ ΗΔ, ΑΤ, Προὐβάλλοντο. — στ. 15, Στεγανώτατον.] Ἀππιαν. Στεῤῥότατον. — στ. 23, Διὰ μάχης.] Ἀππιαν. Καὶ διὰ μάχης. — στ. 28, Ἄρτους.] Λείπει ἐν τῷ Ἀππιανῷ.

ΣΕΛΙΔ. 93, στ. 7, Τὸ μόνον ἀντιπαθές, οἶνος. Ἀππιαν. Ὃ μόνον ἀντιπαθὲς ἦν, ὁ οἶνος. — στ. 13, Διαπλέξαι... τὸν στρατόν.] Κυρίως μὲν ἐπὶ τοῦ ἐκ μίτων ἢ κλωστήρων, ἱμάτιον κατασκευάζειν τὸ Διαπλέκειν, οἷόν ἐστι τὸ, «Διαπλέκουσαν ζώνια καὶ κεκρυφάλους (Πλουτάρχ. Ἑπτ. σοφ. συμποσ. § 10)», ὥσπερ καὶ τὸ ἐν τῇ συνηθείᾳ ἁπλοῦν πλέκω· μεταφορικῶς δὲ καὶ τὸ διασχίσαι καὶ διὰ μέσου ἐλθεῖν σημαίνει. — στ. 15, Πεφευγότες.] Ἀππιαν. Φεύγοντες. — στ. 21, Πάνυ.] Ἀππιαν. ἄμεινον, Πάλιν. — στ. 25, Μοναίσου.] Ἀππιαν. Μονέσου. — στ. 27, Τινὰ τῶν Παρθιστὶ... δυναμένων.] Ἀππιαν. Τινὰ Παρθιστὶ... δυνάμενον. — στ. 29, Μοναίση. — Ἀππιαν. Μονέσση.

ΣΕΛΙΔ. 94, στ. 1, Συνεχεῖς καὶ ὑψηλούς.] Ἀππιαν. Ὑψηλοὺς καὶ Συνεχεῖς. — στ. 5, Ἀπολιπόντας.] Ἐκ ΔΓ (συνᾳδούσης τῷ Ἀππιαν.), ΑΤ, Ἀπολειπόντας. — Δίψος καὶ πόνον ὑμῖν συνηθει.] Ἐκ ΔΓ (συνᾳδούσης τῷ Ἀππιαν.) ΑΤ, Δίψος ὑμῖν συνήθη καὶ πόνον. — στ 10, Καὶ γάρ ἄνευ.] Ἀππιαν. Καὶ γάρ καὶ ἄνευ. — Στ. 18, Ἀνίσχοντος.] Ἀππιαν. Ἀνασχόντος. — στ. 19, Τεσσαράκοντα γὰρ καὶ διακοσίους... σταδίους.] Οἵπερ εἰσὶν ἴσοι δέκα λεύγαις Γαλατικαῖς. — στ. 20, Κατηνύκεισαν· καὶ τὸ μὴ προσδοκῶσιν. πολεμίους ἀθυμίαν παρεῖχε.] Ἀππιαν. Κατηνύκεσαν, καίτοι μὴ προσδοκῶντες .. πολεμίους· ὃ καὶ ἀθυμίαν παρεῖχε. — Στ. 22, Καὶ τὸ δίψος.] Ἀππιαν. Καὶ τὸ δίψος δέ. — στ. 27, Ἀνείργοντας.] Ἀππιαν. Ἀπάγοντας. — στ. 28, Περιιών.] Ἀππιαν. παρών. — στ. 30, Ὥστε.] Ἀππιαν. Ὥστε καί.

ΣΕΛΙΔ. 95, στ. 1, Ἐσήμαινεν.] ΔΓ, Ἐσήμανεν.— στ. 4, Εἰώθεισαν.] Ἀππιαν. Εἰώθασιν.— στ. 5, Προελθόντος.] Ἀππιαν. Προσελθόντος.—στ. 10, Κατακρύψαι δυνατὸς ἦν, λαβών.] Ἀππιαν. Δυνατὸς κατακρύψαι, λαβών.— στ. 14, Ἀποκτιννύντες.] Ἀππιαν. Κτείνοντες.—στ. 19, Ἕνα καλέσας.] Ἀππιαν. Καλέσας ἕνα.—στ. 21, Τὸ ξίφος αὐτῷ διεῖναι.] Ἄμεινον Ἀππιαν. Τὸ ξίφος αὐτοῦ διεῖναι.—στ. 29, Ἀπήγγελλον.] Ἀππιαν. Ἤγγελλον.

ΣΕΛΙΔ. 96, στ. 7, Ἐγγὺς οὐ τολμῶντας.] Λείπουσιν ἐν τῷ Ἀππιανῷ.—στ. 8, Ὑπαγόντων.] ΔΓ, Ὑπαγαγόντων.— στ. 15, Οὐ πάνυ.] Ἀππιαν. Οὐ πάνυ τι.—στ. 19, Αὐτόθι.] Ἀππιαν. Αὐτόν.—στ. 23, Ἐτράποντο.] Ἀππιαν. Ἐτρέποντο.— στ. 24, Ἀνέδην.] Ἐξ ΕΔ, καὶ τοῦ Ἀππιαν. οἱ ΠΡ, ΑΤ, Ἀναίδην. — Ὑδερικοῖς.] Ἴσως γραπτέον Δυσεντερικοῖς· τούτοις γὰρ μάλιστα τοῖς νοσήμασι περιπίπτουσι τὰ στρατόπεδα.

ΣΕΛΙΔ. 97, στ. 3, Ἀρταουάσδης.] Ἀππιαν. Ἀρταβάζης.— — στ. 5, Μηδίας.] Ἐξ ΗΔ (συναδούσης τῷ Ἀππιαν.), ΑΤ, Μηδείας.—Ἑξακισχιλίους καὶ μυρίους.] Ἀππιαν. Ἑξακισχίλιοι καὶ μύριοι. Ἔπιθι τὰ ἐν τοῖς πρόσθεν (σελ. 368) εἰρημένα περὶ τῆς τοῦ ἀριθμοῦ διαφωνίας.—στ. 7, Μὲν τοὺς μαχομένους ... δὲ τοὺς φεύγοντας.] Ἀππιαν. Μὲν μαχομένους...δὲ φεύγοντας.—στ. 23, Περιέμενε.] Ἐξ ΠΔ (ἣν ἐξέφρασε καὶ ὁ Ἰταλὸς μεταφραστὴς διὰ τοῦ aspettava), ΑΤ, Περιέμεινε. — στ. 28, Ἐκ τῶν ἰδίων.] ΔΓ, Ἐκ τῶν ἰδίων ἑαυτοῦ.

ΣΕΛΙΔ. 98, στ. 1, Φραόρτην, τὸν Πάρθον.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Φραόρτην, τὸν Μῆδον. ΔΓ καὶ Ἀππιαν. ἄμεινον, Φραάτην, τὸν Πάρθον. — στ. 6, Κατειργάσθαι.] ΔΓ καὶ Ἀππιαν. Κατεργάσασθαι.— στ. 7, Ἐνδεὴς ἐλθών.] Ἀππιαν. Ἐνδεὴς ὤν. —στ. 9, Δι' Ἀρμενίας αὖθις ἀναβαίνειν.] Ἀππιαν. Αὖθις Ἀρμενίας ἐπιβαίνειν. — στ. 18, Ποῖ.] ΠΡΔ, ΑΤ, Ποῦ.— στ. 21, Στρατηγικάς.] ΔΓ, Στρατιωτικάς.

ΣΕΛΙΔ. 99, στ. 16, Ἀναβαλέσθαι.] Ἀππιαν. Ἀναβάλλεσθαι.] στ. 17, Τοῦτον. Ἀππιαν. Τοῦτον μέν.—στ. 19, Ἐγγυήσας.] Λείπει ἐν τῷ Ἀππιανῷ.—στ. 20, Τετραμμένος.] Ἀππιαν. Τρεψόμενος.

ΣΕΛΙΔ. 100, στ. 9, Πρώτην.] ΔΓ, Πρῶτον.] στ. 15, Μηδίαν.] Ἐξ ΗΔ, ΑΤ, Μήδειαν.—στ. 17, Τιάραν καὶ κίταριν ὀρθὴν

ἐχούσῃ.] Ὕποπτος ἔδοξέ τισιν ἡ γραφή, καὶ παρῄνουν γράφειν ἀπεδάνως μὲν, Καὶ τιάραν ὀρθὴν, ἥν καὶ κίταριν λέγουσι, πιθανώτερον δὲ, Καὶ τιάραν κίταριν ὀρθὴν ἐχούσῃ. «Τιάρα » (φησὶ Σουΐδας), κόσμος ἐπικεφάλαιος, ἣν οἱ βασιλεῖς μόνοι ὀρθὴν ἐφόρουν παρὰ Πέρσαις· οἱ δὲ στρατηγοὶ κεκλιμένην... τὸ δ' » αὐτό φασιν εἶναι καὶ Κίταριν. Θεόφραστος δ' ἐν τῷ Περὶ βασιλείας Κυπρίων, τὴν Κίταριν, ὡς διάφορον». Εἰ μὲν οὖν εἴδει διάφορος ἡ Κίταρις τῆς Τιάρας, εἰκὸς τῷ παρὰ τοῖς Πέρσαις Τιάρα καλουμένῳ κεφαλῆς καλύμματι παραπλήσιόν τι παρὰ τοῖς Κυπρίοις, Κίταριν καλεῖσθαι εἰρηκέναι τὸν Θεόφραστον· ᾧ συνᾴδειν ἔοικε καὶ ὁ Ἡσύχιος, «Κίταρις, διάδημα, ὃ φοροῦσι Κύπριοι κ. τ. λ.». Εἰ δὲ διάφορος, ὡς μέρος ὅλου, εἴη ἂν ἡ Κίταρις αὐτὸ τὸ εἰς ὀξὺ ἀπολῆγον μέρος τῆς Τιάρας, καὶ τὸ αὐτὸ ἴσως τῇ παρ' Ἡσυχίῳ Τιαρίδι. «Τιάρες (γρ. Τιαρὶς), λόφος τῆς περικεφαλαίας κ τ λ.». — στ. 19, Καυσίᾳ διαδηματοφόρῳ.] Καυσία, ἡ διάδημα περιέκειτο. Ἦν δὲ ἡ Καυσία «Κάλυμμα κεφαλῆς Μακεδονικὸν ἐκ πίλου, ὡς τιάρα, » σκέπουσά τε ἀπὸ καύσωνος, καὶ ὡς εἰς (γρ. καὶ εἰς) περικεφαλαίαν » συντελοῦσα» ὥς φησιν Εὐστάθιος (Ἰλιάδ. β, σελ. 255). — στ. 23, Στολὴν ἑτέραν.] Παρῄνει τις τῶν ΠΡ διαγράφειν τὸ, Ἑτέραν, ὅπερ οὐδὲ τῶν μεταφραστῶν οὐδεὶς ἐξέφρασε. Ἕτεροι δὲ, ἑτέραν τῆς Μακεδονικῆς στολῆς, ἡρμήνευσαν. Ἔστιν ἴσως ἄμεινον ἐπὶ τοῦ, ἑτέραν ἧς ἐφόρει κατ' οἶκον, ἐκλαβεῖν τὸ λεγόμενον. — στ. 24, Ἐχρημάτιζε.] Ἐκαλεῖτο, ὠνομάζετο. Οὐδεὶς τῶν μεταφραστῶν ἐνόησε τὴν σημασίαν τῆς λέξεως πλὴν τοῦ Ἰταλοῦ, chiamar si faceva. Ἐπιθι τὰ ἀλλαχοῦ (Ἡλιοδώρ. Β, σελ. 347) σημειωθέντα περὶ τοῦ Χρηματίζω. — στ. 27, Ἔπεμψε.] ΔΓ, Ἔπεμπε.

ΣΕΛΙΔ. 101, στ. 7, Ὅταν κἀκεῖνος Ἀρμενίαν.] Νεμήσηται. — στ. 8, Μηδίαν.] Ἐξ ΗΔ, ΑΤ, Μήδειαν. — στ. 18, Διακαραδοκεῖν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Καραδοκεῖν. — στ. 27, Συνοῦσα καὶ μανθάνουσα.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Συνοῦσαν καὶ μανθάνουσαν. — στ. 29, Ἐν εὐπαθείαις ἦσαν.] Ἐν ἡδοναῖς καὶ ἀπολαύσεσι. Ἐπιθι τὰ ἀλλαχοῦ (Ἡλιοδώρ. Β, σελ. 291) σημειωθέντα.

ΣΕΛΙΔ. 102, στ. 2, Ἰλλυριῶν.] Ἐξ ΕΔ (συνᾳδούσης τῷ Α) οἱ ΠΡ, ΑΤ, Λαυρίων. — στ. 7, Πληρουμένων.] ΔΓ, Συμπληρουμένων. — στ. 13, Τοῖς μὲν περὶ τὸν Διόνυσον τεχνίταις Πριηνηνέδωκεν οἰκητήριον.] Τοὺς μὲν ἐν τοῖς θεάτροις ὑποκρινομένους εἰς Πριήνην, μίαν τῶν Ἰωνικῶν πόλεων, κατῴκισε. Ὁ δὲ Στράβων (ιδ', σελ. 643)

φησὶν ὅτι οἱ περὶ τὸν Διόνυσον οὗτοι τεχνῖται, «Ἐν Τέῳ κατῴκουν » πρότερον. .ἐμπεσούσης δὲ στάσεως, εἰς Ἔφεσον κατέφυγον. Ἀττάλου » δ' εἰς Μυόννησον αὐτοὺς κατοικίσαντος μεταξὺ Τέω καὶ Λεβέδου, » πρεσβεύονται Τήϊοι δεόμενοι Ῥωμαίων μὴ περιιδεῖν ἐπιτειχιζομένην » σφίσι τὴν Μυόννησον· οἱ δὲ μετέστησαν εἰς Λέβεδον, δεξαμένων τῶν » Λεβεδίων ἀσμένως διὰ τὴν κατέχουσαν αὐτοὺς ὀλιγανδρίαν». Εἰκὸς οὖν τὸν Ἀντώνιον ἐκ τῆς Λεβέδου τὸ τελευταῖον εἰς τὴν Πριήνην μετοικίσαι τοὺς περὶ τὸν Διόνυσον τεχνίτας.—στ. 18, Αὐτῇ.] Ἐκ ΔΓ οἱ ΗΡ, ΑΤ, Αὐτοί.—στ. 20, Ἀθηναίων.] ΔΓ, Ἀθηναῖος.— Καταστὰς ἐπ' αὐτῆς.] Παραστὰς αὐτῇ, ἐνώπιον αὐτῆς στάς.

ΣΕΛΙΔ. 103, στ. 3, Τὰ τέταρτα.] Ἐλλειπτ. τοῦ Μέρη.— στ. 4, Τὰς ὀγδόας.] Ἐλλειπτ. τοῦ Μερίδας. —στ. 5, Ἐκ τούτων.] Διὰ ταῦτα. ΔΓ, Ἐκ τούτου.—στ. 6, Ἀναβολήν.] Ἐκ ΔΓ οἱ ΗΡ, ΑΤ, Μεταβολήν.— στ. 9, Τίτιος.] Ἐκ ΔΓ καὶ ΕΔ οἱ ΗΡ, ΑΤ, Τίτος.— στ. 24, Καλουίσιος.] Ἐξ ΕΔ οἱ ΗΡ, ΑΤ, Καλούϊος.— στ. 26, Εἴκοσι μυριάδες βιβλίων ἁπλῶν.] Ἁπλᾶ βιβλία λέγει τὰ μονομερῆ, τουτέστι τὰ ἐκ μιᾶς μόνης διφθέρας συνεστῶτα, ἃ καὶ Κυλίνδρους ὠνόμαζον, παραπλησίως τοῖς Γαλατιστὶ καλουμένοις rouleaux, διὰ τὸ εἰς κυλίνδρου σχῆμα τυλίσσεσθαι. Καὶ καταχωριζέσθω τοὔνομα, Κύλινδρος, ἐπὶ τῆς σημασίας ταύτης, ἐν τοῖς Λεξικοῖς, προσμαρτυρούμενον ὑπὸ Διογένους τοῦ Λαερτίου (ί, 26) ἐν οἷς φησι, «Γέγονε δὲ » πολυγραφώτατος ὁ Ἐπίκουρος, πάντας ὑπερβαλλόμενος (γρ. ὑπερ» βαλόμενος) πλήθει βιβλίων· κύλινδροι μὲν γὰρ πρὸς τριακοσίους » εἰσι (ἴσ. πρὸς τριακοσίοις εἰκοσίν εἰσι) κ. τ. λ. » Τοὺς κυλίνδρους τούτους Εἰλητάρια ἐκάλουν οἱ Βυζαντινοὶ συγγραφεῖς, ὥσπερανεὶ ἰδιωτικώτερον φαίης Τυλικτάρια, παρὰ τὸ Εἰλέω τὸ Τυλίσσω, ὅθεν καὶ τὸ τῶν Ῥωμαίων volvo (ὥσπερ καὶ παρὰ τὸ Ἐμέω τὸ Vomo), καὶ τὸ ἐξ αὐτοῦ volumen, τὸ σημαῖνον βίβλου μέρος.— στ. 28, Ὁρισμοῦ καὶ συνθήκης.] Ἐκ παραλλήλου, ἐπὶ τοῦ ἐν τῇ συνηθείᾳ Στοιχήματος, κατὰ τὰ ἀλλαχοῦ (Πλουτάρχ. Β, σελ. 360, καὶ Δ, σελ. 406) σημειωθέντα.

ΣΕΛΙΔ. 104, στ. 1, Τετράρχαις.] ΔΓ, Τετραρχίαις.— στ. 3, Φουρνίου δὲ λέγοντος.] Δημηγοροῦντος, ἢ ἐξαγωνιζομένου· τοῦτο γὰρ ἐνθάδε σημαίνει τὸ Λέγοντος, ὡς ὀρθῶς ἡρμήνευσεν ὁ Α, plaidoit une cause devant luy — στ. 28, Ὀξίνην.] Ἐλλειπτικῶς τοῦ Οἶνον· ὃν ἡ συνήθεια, Ὄξινον καλεῖ, παρὰ τὴν Ὄξινος εὐθεῖαν. Καὶ ἴσως οὕτως ἐλέγετο καὶ ὑπὸ τῶν παρὰ

τοῖς ἀρχαίοις μὴ ἀττικιζόντων· ἄπορον γάρ ἐςι τὸ παρὰ τῷ ἡμετέρῳ Φωτίῳ τοῦτο· « Ὀξίνην, τὸν οἶνον, οὐκ ΟΞΙΝΑΝ, καὶ Ἕρμιππος, καὶ Φιλωνίδης, καὶ οἱ ἄλλοι ». Εἰς τί γὰρ ἂν ἐσημειοῦτο τὸν Ἕρμιππον καὶ τὸν Φιλωνίδην, Ἀττικοὺς κωμῳδοποιοὺς Ὀξίνην εἰρηκέναι, καὶ μὴ δωρικῶς Ὀξίναν; Ἴσως οὖν γραπτέον, ... Οὐκ ΟΞΙΝΟΝ, ἵνα λέγῃ, ὅτι παρὰ μὲν τοῖς πολλοῖς Ὄξινος ἐκαλεῖτο ὁ ἐκτραπεὶς οἶνος, παρὰ δὲ τοῖς χαριεςέροις, ἢ γοῦν τοῖς ἀρχαιοτέροις (οἷος ἦν Ἕρμιππος, τῆς ἀρχαίας κωμῳδίας ποιητής), Ὀξίνης. Λέγει δὲ καὶ Ἡσύχιος, «Σίσανον, τὸν Ὄξυνον οἶνον»· ὅπου ἀπόχρη τὸ Ὄξυνον τρέπειν εἰς τὸ Ὄξινον (καίπερ οὐδὲ τῆς διὰ τοῦ υ γραφῆς ἀμαρτυρήτου οὔσης, χαίρειν ἐάσαντας τοὺς ἡγησαμένους τρεπτέον εἶναι εἰς τὸ Ὀξίνην. Τὸν δὲ παρ' Ἱπποκράτει Ὀξιναῖον ὑπὸ τῶν ἀντιγραφέων ἡμαρτῆσθαι, καὶ ἑτέροις σεσημείωται· τὸ γὰρ ἐν τῷ Περὶ Διαίτης δευτέρῳ (§ 23, σελ. 224), « ΟΙ ΟΞΙΝΑΙΟΙ οἶνοι » ψύχουσι κ. τ. λ. », τρεπτέον εἰς τό, ΟΙ ΟΞΙΝΑΙ οἶνοι ψύχουσι. —στ. 29, Φαλερῖνον.] Ἀπὸ χώρας καλουμένης Φαλέρνου (Falernus) ἐν Ἰταλίᾳ, ἐπίσημον οἶνον φερούσης, ὅν, διὰ τὸ αὐςηρόν, τῷ Χίῳ συγκεραννύντες ἔπινον ἔνιοι· ὅθεν καὶ ὁ Ὀράτιος (Σατυρ. Α, 10) καθαπτόμενος τῶν ἀκρίτως μιγνύντων τὴν Ἑλλάδα φωνὴν τῇ Λατίνῃ (οἷοι καὶ νῦν εἰσι παρ' ἡμῖν σχολαςικοὶ κακοδαίμονες, τὰ παλαιὰ τοῖς νέοις ἀσυγκλώςως συγκλώθοντες,) λέγοντας αὐτοὺς παράγει ἡδεῖαν εἶναι τὴν μίξιν ἀμφοτέρων τῶν γλωσσῶν οὐχ ἧττον, ἢ εἰ καὶ Φαλερῖνον τις τῷ Χίῳ συμμίξειε·

—At sermo lingua concinnus utràque
Suavior; ut Chio nota si commista Falerno.

—στ. 30, Διλίκια.] Γραπτέον, Δηλίκια, διὰ τοῦ η τὴν πρώτην, ὡς φέρεται καὶ παρὰ τῷ Δουκαγγίῳ (λέξ. Δηλίκια) αὐτὸ τοῦτο τοῦ Πλουτάρχου τὸ χωρίον παραθεμένῳ· ἔστι γὰρ παρὰ τὸ τῶν Ῥωμαίων, Delicium, ὃ καὶ θηλυκῶς Delicia, λέγεται. Καὶ σημαίνει μὲν τρυφὴν ἢ τέρψιν· ἐπελέγετο δὲ τοῖς μάλιστα ἀγαπωμένοις ὡς καὶ μάλιστα τέρπουσιν, οἷον καὶ οἱ Γάλλοι φασὶ περὶ τῶν τοιούτων, ce sont mes délices. Ἔτρεφον δὲ οἱ τῶν Ῥωμαίων εὐδαίμονες οἱ μὲν μετριώτεροι παιδάρια μικρὰ τῇ ἡλικίᾳ καὶ λάλα, εἰς τὸ συμπαίζειν αὐτοῖς, ὡς ἔστι μαθεῖν ἐκ τοῦ Συετωνίου ἐν τῷ βίῳ τοῦ Αὐγούστου (Sueton. August § 83), οἱ δὲ περιεργότεροι, καὶ τὰ μικρὰ τῇ φύσει, τουτέστι τοὺς πυγμαίους καὶ νάννους, ὥσπερ καὶ οἱ πάλαι Συ-

θερίτας τοὺς καλουμένους Σ κ ω π α ί ο υ ς καὶ Στίλπωνας (Ἀθην. ιϛ´, σελ. 518), οὓς ὠνόμαζον Δ η λ ί κ ι α,, ἀπεναντίως τοῖς εὖ φρονοῦσιν, οἳ μόνοις ἐκείνοις ἥδονται, ἀφ' ὧν ἐστι τὰς ἀληθεῖς ἡδονὰς καρποῦσθαι· οἷον καὶ ὁ Κικέρων ἐποίει delicias suas, ὅ ἐστι τ ρ υ φ ὴ ν ἰ δ ί α ν, καλῶν τὸν Θεόφραστον, ὡς ἱστόρηκε Πλούταρχος (Κικέρ. § 24, Μέρ. Ε, σελ. 250). Καὶ ἐνταῦθα σημείωσαι, ὅτι τὸ Ῥωμαϊκὸν Delicium ἢ Delicia, διὰ τοῦ τ ρ υ φ ὴ ν ἡρμήνευσεν ὁ Πλούταρχος. Ἔστι δ' οὗ καὶ διὰ τὸ Μ έ λ η μ α ἀκριβέστερον ἂν ἑρμηνεύσαις (ὃ γὰρ μάλιστα φιλοῦμεν, τούτου καὶ μάλιστα μέλει ἡμῖν, καὶ πλείστην ἔχομεν αὐτοῦ φροντίδα) οἷόν ἐστι τὸ παρὰ τῷ Κωμικῷ (Ἐκκλησ. 972),

Ὦ χρυσοδαίδαλον ἐ μ ὸ ν μ έ λ η μ α.

ΣΕΛΙΔ. 105, στ. 4, Πολεμοῦσι δ' αὐτοῖς.] Μεταβατικῶς οἱ μεταφρασταὶ ἐξεδέξαντο τὸ λεγόμενον, Π ο λ ε μ ο ῦ σ ι τ ο ῖ ς Ῥ ω μ α ί ο ι ς· ἴσως μέντοι ἄμεινον νοεῖν, Π ο λ ε μ ο ῦ σ ι ν ὑ π ὲ ρ α ὐ τ ῶ ν, τῆς Κλεοπάτρας δηλαδὴ καὶ τοῦ Ἀντωνίου. — στ. 5, Εἰράς.] Γυναικὸς ὄνομα, ὃ οἱ ΠΡ ἐνθάδε μὲν ἔγραψαν περισπωμένως, Ε ἰ ρ ᾶ ς, ἐν δὲ τοῖς ἑξῆς (§ 85, σελ. 125) βαρυτόνως, Εἴρ ας. Οὐδεμία τούτων τῶν γραφῶν ἀνεπίληπτος· γραπτέον γάρ, Νάειρα, ὡς φέρεται παρὰ τῷ Γαληνῷ (Περὶ Θηριακ. Τόμ. Β, σελ 460). — στ. 7, Πείσαυρα... κληρουχία ᾠκισμένη.] Ἐξ ΠΔ, ΑΤ, Κ λ η ρ ο υ χ ί α, κατ' ὀνομαστικήν. Ὁ νοῦς, ᾠκισμένη κατὰ κληρουχίαν, ἀποίκων δηλονότι ἀλλαχόθεν μετενεχθέντων, καὶ κλήρῳ τὴν γῆν νειμαμένων. Τῶν ΠΡ τις μετὰ διπλῆς προθέσεως γράφειν δεῖν ὑπετόπασεν, Ὑ π' Ἀ ν τ ω ν ί ο υ π ό λ ι ς ἐ π ὶ κ λ η ρ ο υ χ ί α ᾠ κ ι σ μ έ ν η. Πληθυντικῶς δὲ, Π ε ί σ α υ ρ α, τὴν πόλιν ὠνόμασεν, ἣν οἱ Ῥωμαῖοι συγγραφεῖς, Π ε ί σ α υ ρ ο ν, Pisaurum, ἑνικῶς καλοῦσι· ἔστιν ἡ νῦν ὑπὸ τῶν Ἰταλῶν Pesaro καλουμένη. — στ. 12, Κεραυνοῖς ἐνεπρήσθη τὸ Ἡράκλειον.] ΔΓ, Κ ε ρ α υ ν ὸ ς ἐ ν έ π ρ η σ ε ν ε ἰ ς τ ὸ Ἡ ρ ά κ λ ε ι ο ν. — στ. 17, Εὐμενοῦς.] Ἐξ ΗΔ, ΑΤ, Ε ὐ μ ε ν ο ῦ ς. — στ. 30, Αὐτοί.] Ἐξ ΕΔ, ΑΤ, Α ὐ τ ῷ. Ἔτι γὰρ τὸ, Α ὐ τ ο ὶ π α ρ ῆ σ α ν, παρόντες ἦσαν, ὥσπερ ἡρμήνευσε καὶ ὁ Α, Lesquelz y estoient tous en personne.

ΣΕΛΙΔ. 106, στ. 1, Μάλχος.] Ἐξ ΕΔ (συναδούσης τῆς ͵φ´) οἱ ΠΡ, ΑΤ, Μ ά γ χ ο ς. — στ. 2, Καὶ Γαλατῶν βασιλεύς.] Γραπτέον εἶναι φησί τις τῶν ΠΡ, Κ α ὶ Δ η ϊ ό τ α ρ ο ς, ὁ Γ α λ α τ ῶ ν β α σ ι λ ε ύ ς. Ἔστι δ' οὗτος, οὗ καὶ παρακατιὼν (§ 63, σελ. 107) μεμνήσεται Πλούταρχος. — στ. 7, Ἀρμενίας.] ΔΓ, Ἀ ρ μ ε ν ί ω ν. — Ἰώνιον.] Γραπτέον,

Ἰόνιον. — στ. 10, Τὴν μὲν Ἰταλίᾳ καὶ Γαλατίᾳ καὶ Ἰβηρίᾳ.] Ἐξ ΗΔ ἡ προσθήκη τοῦ πρώτου συνδέσμου, τὰ λοιπὰ δὲ οἱ ΠΡ ἐκ ΔΓ, ΑΤ, Τὴν Ἰταλίαν καὶ Γαλατίαν καὶ Ἰβηρίαν. — στ. 13, Οὕτω δ' ἄρα προσθήκη τῆς γυναικὸς ἦν.] Σημαίνει ἡ Προσθήκη τὴν συμμαχίαν ἢ ἐπικουρίαν, οἷον (Σοφοκλ. Οἰδ. Τυρ. 38),

Ἀλλὰ προσθήκῃ θεοῦ
Λέγῃ νομίζῃ θ' ἡμῖν ὀρθῶσαι βίον.

Ἀλλ' ἐπεὶ ὁ συμμαχῶν, ὡς ἐπὶ τὸ πολὺ ἧττον ἰσχύει τοῦ ᾧ συμμαχεῖ, καὶ ἔστιν οἷον ὀπαδὸς ἐκείνου καὶ τῶν βουλευμάτων πληρωτής, ἐκλαμβάνεται ὧδε ἡ προσθήκη ἐπὶ κακοῦ. Ὁ νοῦς, Οὕτως ἦν ἐξηρτημένος τῆς Κλεοπάτρας, καὶ δεδούλωτο τῇ γυναικί, ὥστε ἀντὶ τοῦ σύμμαχον ἔχειν αὐτὴν ἐν τῷ πρὸς Καίσαρα πολέμῳ, αὐτὸς εἶναι καὶ λέγεσθαι σύμμαχος ἐκείνης προῃρεῖτο, τὸ πᾶν ἐκείνῃ προστιθεὶς τοῦ πολέμου κράτος, ἑαυτῷ δὲ τὰ δευτερεῖα νέμων. — στ. 16, Ἐκ τῆς πολλὰ δὴ τλάσης Ἑλλάδος.] Κατ' Εὐριπίδου (Ἀλκ. 840) μίμησιν,

Ὦ πολλὰ τλᾶσα καρδία, ψυχή τ' ἐμή!

— στ. 24, Ἀκωλύτως.] ΔΓ, Ἀκωλύτου ς. — στ. 25, Παραλίας.] Ἐκ ΔΓ, ΑΤ, Ἰταλίας.

ΣΕΛΙΔ. 107, στ. 1, Διαβαλών.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Διαλαβών. — στ. 5, Ἐπὶ τῇ τορύνῃ καθῆσθαι.] Ἔπαιξεν ἡ Κλεοπάτρα, τῷ κυρίῳ τῆς πόλεως ὀνόματι, Τορύνη, τὴν προσηγορικῶς λεγομένην τορύνην αἰνιξαμένη. Ἔστι δὲ ἡ τορύνη, τὸ τῆς χύτρας κινητήριον, ὥς φησιν ὁ σχολιάσας τὸν Ἀριστοφάνην, τοῦτο τοῦ κωμικοῦ (Ὄρν. 78) τὸ χωρίον ἐξηγούμενος,

Ἔτνους δ' ἐπιθυμεῖ, δεῖ τε τορύνης καὶ χύτρας;

ἣν ἡ παρ' ἡμῖν συνήθεια, Κουτάλαν ὀνομάζει. Ἐλέγετο δὲ καὶ Λάκτις. «Λάκτιν τὴν λεγομένην Κώταλιν ἢ τορύνην, ὅ ἐστι ζωμήρυσιν» φησὶ Σουΐδας. Ἔστιν ἡ Κώταλις καὶ παρὰ τῷ Εὐσταθίῳ (εἰς τὴν Ὀδύσσ. σελ. 1675)· οὐ μέντοι παρὰ ταύτην εἶναι νομιστέον τὴν παρ' ἡμῖν Κουτάλαν, ἀλλ' ἀμφοτέρας παρὰ τὴν Κυτάλην, ὥσπερ καὶ τὸ ὑποκοριστικῶς ἐσχηματισμένον Κουτάλιον, τουτέστι τὸ κοχλιάριον (χυδ. χουλιάριον), ᾧ τὸν ζωμὸν ἀφυόμενοι ῥοφῶμεν. Ὅθεν καὶ Ζωμάρυσις ἐκαλεῖτο τοῖς ἀρχαίοις· ἀλλ' ἐκείνων τοῖς πολλοῖς

ἄρτου τόμος, κοιλαινόμενος τῇ τοῦ μαλακοῦ ἐξαιρέτει, ζωμηρύσεως χρείαν παρεῖχε. «Μυςίλη, ὁ κοῖλος ψωμὸς» φησὶν Ἡσύχιος, καὶ «Μυ-«ςιλᾶσθαι τὸ ἐκροφῆσαι τὸν ζωμὸν τοῖς ψωμίοις». Ὅτι δὲ ἐκαλεῖτο καὶ Κύταλον, μαρτυρεῖ μὲν καὶ αὐτὸς Ἡσύχιος, λέγων, «Κύταρον, «ζωμήρυσις», εἴτε γραφικῶς ἡμαρτημένου τοῦ ρ ἀντὶ τοῦ λ, εἴτε καὶ διττογραφουμένου τοῦ ὀνόματος κατὰ τὸ Σιγηρὸς καὶ Σιγηλός· μαρτυρεῖ δὲ καὶ ἡ παρ' ἡμῖν συνήθεια, Κύταλον μὲν ἀπαραλλάκτως καλοῦσα τὸ ξηρὸν τοῦ ἄρτου, τουτέςιν αὐτὸ ἐκεῖνο, ᾧ οἱ ἀρχαῖοι ἐχρῶντο ἀντὶ ζωμηρύσεως, Κουτάλιον δὲ (Λακώνων διαλέκτῳ ἀντὶ τοῦ Κυτάλιον), τὸ ἐκ ξύλου, ἢ μετάλλου σκεῦος, ᾧ τὸν ζωμὸν ἀρυόμεθα. Παρ' αὐτὴν δὲ ταύτην τὴν Κυτάλην, Κουτάλαν λέγομεν καὶ τὴν ὠμοπλάτην (τὴν Ἰταλοχυδαϊστὶ Σπάλλαν) διὰ τὸ κεκοιλαμένον τοῦ ὀστέου παραπλησίως τοῖς κοχλιαρίοις. Καὶ ἡ Σκουτέλα δὲ, καὶ τὸ Σκουτέλιον, ἐπιτραπέζια σκεύη, τῆς αὐτῆς γενεᾶς ὀνόματά εἰσι, πλεονάσαντα τῷ σ (κατὰ τὸ Κεδάω καὶ Σκεδάω). Ὅθεν ἐςὶ νοῆσαι καὶ τὸ τοῦ Ἐτυμολόγου (σελ. 555), «Λάκτιν' » σημαίνει ἡ λέξις, σκυτάλην, τορύνην». — στ. 8, Ὄψεως ἕνεκα.] Σημειοῦ παραπλησίαν φράσιν τῆς νῦν γλώσσης, Διὰ τὰ ὀμμάτια, σημαίνουσαν τὸ μὴ ἀληθῶς καὶ κατὰ προαίρεσιν, ἀλλὰ πρὸς τὸ δόξαι μόνον, γινόμενον. — στ. 19, Ὥσπερ ἐπὶ τῷ μὴ λαθεῖν τὴν ἀπιστίαν αὐτοῦ καὶ προδοσίαν μεταβαλλόμενος εὐθὺς ἐτελεύτησεν.] Ἀπέθανεν εὐθὺς, ὡσπερανεὶ μετανοῶν καὶ λυπούμενος, ὅτι οὐκ ἔλαθε τὸν Ἀντώνιον ἄπιςος καὶ προδότης αὐτοῦ γενόμενος. — στ. 26, Συνεβούλευε.] ΔΓ, Συνεβούλευον. — στ. 27, Δικόμης.] ΔΓ, Δικόμος.

ΣΕΛΙΔ. 108, στ. 7, Ἀπὸ τῆς ςρατοπεδείας.] Ἐξ ΕΔ προσέθηκαν οἱ ΠΡ τὴν πρόθεσιν. — στ. 13, Ἐνέπρησε.] ΔΓ, Ἐνέπρησαν.

ΣΕΛΙΔ. 109, στ. 4, Ἰνςήϊος.] Τὸ μὲν κείμενον οὕτως· οἱ δὲ μεταφραςαὶ, πλὴν τοῦ Α, Ἰουςήϊος. — στ. 14, Γνωρίσας αὐτόν.] Ὁ ὀνηλάτης γνωρίσας τὸν Καίσαρα, τουτέςι, γνοὺς ὅτι Καῖσαρ ἦν ὁ ἐρωτῶν· καθὰ καὶ ἐν τῇ συνηθείᾳ, ἐκλαμβανομένου τοῦ Γνωρίζω (ἴδ. Ἰσοκράτ. Β, σελ. 237). Ἐν δὲ τῇ τοῦ Ῥεϊσκίου ἐκδόσει καὶ τῇ κατὰ πόδας αὐτῇ ἑπομένῃ τοῦ Ὑττενίου, Γνωρίσας αὐτὸν, δατσέως φέρεται, ὅ ἐςι, Γνωςὸν ἑαυτὸν ποιήσας τῷ Καίσαρι, οὐκ ὀρθῶς.

ΣΕΛΙΔ. 110, στ. 2, Ἐμβόλων.] Ἐξ ΠΔ (παρὰ τὸ οὐδέτερον Ἔμβολον), ΑΤ, Ἐμβολῶν (παρὰ τὸ θηλυκὸν, Ἐμβολή). — στ. 6, Σκάφεσι τετραγώνων ξύλων μεγάλων σιδήρῳ συνηρμοσμένων πρὸς ἄλ-

λ.λα δεδεμένοις.] Οὐκ ἔῤῥωται τὸ χωρίον· οἱ τῶν ΠΡ οἱ μὲν τὰς τρεῖς μέσας λέξεις εἰς τὸ, μεγάλῳ σιδήρῳ συνηρμοσμένῳ, τρέπειν παρῄνουν, οἱ δὲ τὰς πρώτας δύο εἰς τὸ, σκάφεσιν ἐκ τετραγώνων, καὶ τὴν τελευταίαν εἰς τὸ, συνδεδεμένοις. Ἴσως γραπτέον σκάφεσιν [ἐκ] τετραγώνων ξύλων μεγάλων, σιδήρῳ συνηρμοσμένων [καὶ] πρὸς ἄλληλα δεδεμένων, ὥσπερ ἡρμήνευσε καὶ ὁ Ἰταλὸς μεταφραστής, formate di grossi legni quadrangolari insieme connessi e vicendecolmente legati con ferro.—στ. 10, Γέῤῥοις.] Γαίσοις, γραπτέον, ὥσπερ εἴκασέ τις τῶν ΠΡ, καὶ ἡρμήνευσαν οἱ μεταφρασταί· ἔστι δὲ τὸ Γαῖσον, ἢ ὁ Γαισὸς (ἀμφοτέρως γὰρ λέγεται), δόρατος εἶδος. «Γαισὸς (φησὶν » Ἡσύχιος), ἐμβόλιον ὁλοσίδηρον...ἢ ὅπλον ἀμυντήριον ».—στ. 20, Ἐπεχούσας πρὸς τὴν Πελοπόννησον.] Ναυτικὴ φράσις ἣν ἡ τῶν ἡμετέρων ναυτῶν συνήθεια διὰ τοῦ Κρατεῖ εἰς τὸν Μορέαν, ἢ Βάλλει τὴν πλώρην πρὸς τὸν Μορέαν, ἐκφράζει.—στ. 22, Ἰδίοις.] ΔΓ, Οἰκείοις.—στ. 23, Ὅπερ τις παίζων εἶπεν.] Κάτων ὁ πρεσβύτερος (ἴδε Πλουτάρχ. Β, Κάτ. § 9, σελ. 281).—στ, 28, Ἀλεξάνδρου.] ΔΓ, Ἀλέξα· ἢ μᾶλλον, Ἀλεξᾶ· ὁ αὐτὸς γὰρ ἔοικεν εἶναι, ὃν ἐν τοῖς ἑξῆς (§ 72, σελ. 116,) Ἀλεξᾶν ὑποκοριστικῶς ὀνομάζει. Ἡ συνήθεια τὸν Ἀλέξανδρον εἰς τὸν Ἀλέκον παραπλησίῳ ὑποκορισμῷ μετεποίησε.—Σκελλίου.] ΔΓ, Σικελίου.

ΣΕΛΙΔ. 111, στ. 12, Ἐπελεκίσθη.] Πελέκει τὴν κεφαλὴν ἀπετμήθη.—στ. 14, Χαλκώματι.] Τῷ χαλκῷ ἐμβόλῳ τῆς νεώς.—στ. 15, Περιεῤῥόμβησε.] Περιέτρεψε. Ἀπὸ τοῦ Ῥόμβου, παιδιᾶς εἴδους, τῆς κοινῶς λεγομένης Ἀσγαβάδας. Καὶ ἴσως ἡ ἄγνωστος ἔμοιγε, Ἀσγαβάδα, πλεονασμῷ τῆς πρώτης συλλαβῆς ἐγένετο παρὰ τὸ, Γαβάδα, ὥσπερ καὶ ὁ Ἀσκάθαρος παρὰ τὸν Κάνθαρον, ἢ μόνον τοῦ α, παρὰ τὸ Σγαβάδα· τί δέ ἐστιν ἡ Γαβάδα, ἢ Σγαβάδα, ἀλλαχοῦ ἴσως εἰρήσεται.

ΣΕΛΙΔ. 112, στ. 14, Ἤσθοντο δ' οὐ πολλοί.] Ἐκ διορθώσεως (συναδούσης τῷ τε Λατίνῳ καὶ τῷ Ἰταλῷ μεταφραστῇ), ΑΤ, Ἤσθοντο δ' οἱ πολλοί. Ὁ δ' Α δίχα τοῦ ἄρθρου, Ἤσθοντο δὲ πολλοί, ἡρμήνευσε.

ΣΕΛΙΔ. 113, στ. 2, Ἀντίκυραν.] Ἴσως γραπτέον Ἀντικιῤῥαν, καθὰ παρῄνει τις τῶν ΠΡ. Ἀστατεῖ μέντοι καὶ παρ' ἑτέροις συγγραφεῦσι τοῦ ὀνόματος ἡ γραφή.—στ. 3, Μίαν μὲν οὕτω φοράν.] Ἐνθάδε τὸ, Μίαν φοράν, ἴσον δύναται τῷ μίαν κομιδὴν, ἢ φόρτον

ένα, ὥσπερ ἡρμήνευσαν ὅ,τε Λατῖνος καὶ ὁ Ἰταλὸς μεταφραστής· ἡ δὲ
παρ' ἡμῖν συνήθεια, ἐντεῦθεν ὁρμηθεῖσα, τῷ φ ο ρ ά μετὰ τῶν ἀριθ-
μητικῶν ὀνομάτων, καὶ ἐφ' ὧν οὐ περὶ κομιδῆς ὁ λόγος χρῆται, οἷον,
μ ί α ν φ ο ρ ά ν, δ ύ ο φ ο ρ ά ς, τ ρ ε ῖ ς φ ο ρ ά ς κτλ., ἀντὶ τοῦ ἅπαξ,
δὶς, τρίς· ὥστε τὸν βουλόμενον τοῦτο μεταφράσαι Πλουτάρχου τὸ
χωρίον, καλῶς ἔχει τὸ, μ ί α ν φ ο ρ ά ν, κατὰ χώραν ἐᾷν ὡς ταὐτὸν
ὂν τῷ Ἅπαξ, καθὰ ἡρμήνευσε καὶ ὁ Α διὰ τοῦ une fois. Ἐκδηλό-
τερον δὲ τῆς παρ' ἡμῖν χρήσεως μαρτύριόν ἐστι τὸ παρ' Ἱπποκρά-
τει (Περὶ τῶν ἐντ. παθ. § 38, σελ. 243) τόδε. « Πινέτω δὲ μὴ
» ἀθρόον πουλὺ, ἀλλὰ κατὰ φοράν ἡμικοτύλιον, ὅκως μὴ διάῤῥοια
» αὐτῷ ἐπιγένηται »· ὅπου τὸ Κ α τ ά φ ο ρ ά ν ἐςὶ τὸ παρ' ἡμῖν σύ-
νηθες Κ ά θ ε φ ο ρ ά ν.—στ. 11, Δι ἑτέρων.] Ἐν τοῖς ἑξῆς (Βρουτ-
§ 50, σελ. 224).—στ. 22, Ἐνεχείρησεν. Ἐξ ΠΔ, ΑΤ, Ἐ ν ε χ ε ί-
ρ ι σ ε ν.—στ. 26, Οἱ περὶ τὴν Πέτραν Ἄραβες.] Ἔγραψα ἂν Πε-
τραίαν, εἰ μὴ καὶ ἀλλαχοῦ Πλούταρχος (Δ, Πομπ. § 41, σελ. 139)
τῇ αὐτῇ ἐχρήσατο φράσει.—Κατέκαυσαν.] ΔΓ, Κατεκώλυσαν.—στ.
30, Προβαλών.] ΔΓ, Π ρ ο σ β α λ ώ ν.

ΣΕΛΙΔ. 114, στ. 6, Ἐκ τῶν Ἀριςοφάνους καὶ Πλάτωνος δραμάτων.]
Τῶν μὲν τοῦ κωμικοῦ Πλάτωνος δραμάτων ἐφθόνησεν ἡμῖν ὁ χρόνος·
Ἀριςοφάνης δὲ μνημονεύει τοῦ Τίμωνος ἔν τε τῇ Λ υ σ ι σ ρ ά τ η (στίχ.
808-816) καὶ ἐν τοῖς Ὄρνισι (στίχ. 1549).—στ. 24, Ἁλῆσι.] Ἐκ
ΔΓ, ΑΤ, Ἅ λ η σ ι. Ἁ λ α ὶ δὲ, οὐ μόνον πόλις Βοιωτικὴ, ἧς ἀλλα-
χοῦ Πλούταρχος (Μέρ. Γ, σελ. 158, καὶ 384) ἐμνημόνευσεν, ἀλλὰ
καὶ τῆς Ἀττικῆς δῆμοι δύο, ὧν ὁ μὲν Ἁλαὶ Αἰξ ω ν ί δ ε ς ἐκαλεῖτο,
ὁ δὲ, Ἁ λ α ὶ Ἀ ρ α φ η ν ί δ ε ς, ἐν αἷς εἰκὸς καὶ τὸν Τίμωνα τεθάφθαι·
αὗται γὰρ ἔκειντο πρὸς τῇ θαλάττῃ, τῶν Αἰξωνίδων οὐσῶν ἐγγὺς τοῦ
Ἄστεος, ὥς φησιν ὁ Βυζάντιος Στέφανος (λέξ. Ἁ λ α ί).—στ. 29, Πεύ-
σεσθε.] Ἐκ ΔΓ, ΑΤ, Π ε ύ σ ο ι σ θ ε.

ΣΕΛΙΔ. 115, στ. 3, Ἐσοικέω.] Ἐ ν ο ι κ έ ω, γράφειν τινὲς παρ-
ήνεσαν. ΔΓ, Ἐς ὀ ς έ ο ν.—στ. 4, Οἰμώζειν εἴπας πολλά.] ΔΓ, Εἰ-
π ὼ ν ο ἰ μ ώ ζ ε ι ν μ α κ ρ ά.—στ. 11, Τὸ ἐλπίζειν ἀποτεθειμένος, ἵνα
καὶ τὸ φροντίζειν.] Τοῦτο οὕτως ἐξεδέξαντο οἱ ΠΡ, Ἀπαλλαγεὶς τῶν
ἐλπίδων, ἵνα καὶ τῶν φροντίδων ἀπαλλάξαιτο. Ἀλλ' ἴσως ἡμάρτηται ἡ
γραφὴ, ἀντὶ τοῦ, Τὸ ἐ λ π ί ζ ε ι ν ἀ π ο τ ε θ ε ι μ έ ν ο ς ἅ μ α κ α ὶ τ ὸ
φ ρ ο ν τ ί ζ ε ι ν.—στ. 17, Θαλεῖαι.] Ἄμεινον ἂν γράφοις, Θ α λ ί α ι,
καθὰ φέρεται ἐν τῷ Λυκούργου βίῳ (§ 24, Πλουτάρχ. Α, σελ. 98).
« Θαλία, εὐθηνία, εὐωχία, πανήγυρις, τέρψις, εὐφροσύνη » φησὶν

Ἡσύχιος· παρ' ὃ καὶ τὸ Θαλιάζω, ὡς αὐτός φησι Πλούταρχος ἀλλαχοῦ (Συμποσιακ. Θ, 14), «Τοὺς φιλοφρόνως καὶ ἱλαρῶς συνιόντας » ἀλλήλοις ἐν οἴνῳ θαλιάζειν λέγομεν». — στ. 21, Συναποθανουμένων.] Ἔστι Φιλήμονος τοῦ κωμικοῦ δρᾶμα, Συναποθνήσκοντες, ἐπιγραφόμενον, καὶ ἕτερον Ἀλέξιδος ὁμώνυμον (ἴδ. Ἀθήν. Δ, σελ. 165, Ζ, σελ. 307, καὶ Ι, σελ. 4?2). Τερέντιος δὲ ὁ Ῥωμαῖος κωμικὸς (Adelph. prolog. vers 6) καὶ τὸν Δίφιλον, Συναποθνήσκοντας ποιῆσαί φησιν, οὓς τὸν Πλαῦτον εἰς τὴν Ῥωμαίων φωνὴν μεταποιήσαντα Commorientes ἐπιγράψαι. Ἐκ τούτων εἰκός τινος καὶ τοὺς περὶ τὸν Ἀντώνιον παρῳδῆσαι τῶν Συναποθανουμένων τοὔνομα. — στ. 28, Ἐποίει δὲ καὶ τοῦτο.] Εἰς οὐδὲν χρήσιμος ὁ, Καί, σύνδεσμος.

ΣΕΛΙΔ. 116, στ. 2, Παραλυομένων.] Τῶν δηχθέντων. — στ. 3, Ἀνακλήσεις.] ΠΡΔ (παρὰ τὸ Ἀνακαλῶ) ΑΤ, Ἀνακλίσεις (παρὰ τὸ Ἀνακλίνω). — στ. 9, Ἀλεξᾶς, ὁ Λαοδικεύς.] Ὃν ἀνωτέρω (§ 66, σελ. 110) Ἀλέξανδρον Σύρον ὠνόμασε· πόλις γὰρ Συρίας ἡ Λαοδίκεια. — στ. 22, Θύρσον.] ΠΡΔ (συνᾴδουσα Δίωνι τῷ Κασσίῳ νά, 8, σελ. 639), ΑΤ, Θύρεον. — στ. 29, Ἔχεις ἐμὸν ἀπελεύθερον, Ἵππαρχον, τοῦτον κρεμάσας μαστίγωσον, ἵν' ἴσον ἔχωμεν.] Σημειούσθων, ὡς σημειώσεως ἄξιον μάλιστα, οἱ ὁμογενεῖς μοι τὸ περὶ τοὺς Ἕλληνας εὐχερὲς τοῦτο τῶν Ῥωμαίων· Ἕλλην γὰρ ἦν ὁ παραδιδόμενος εἰς μαστίγωσιν Ἵππαρχος, ὥσπερ καὶ ὁ μαστιγωθεὶς Θύρσος. Τοιαῦτα δὲ πάσχειν εἰκὸς τοὺς τὸ τῆς ἐλευθερίας καλὸν σῶσαι μὴ κατισχύσαντας.

ΣΕΛΙΔ. 117, στ. 16, Συνεφόρει.] ΔΓ, Ἐνεφόρει. — στ. 21, Προσπέμπειν.] ΔΓ, Προπέμπειν.

ΣΕΛΙΔ. 118, στ. 2, Θανάτου.] ΔΓ, Θανάτων. — στ. 5, Ἐκέλευεν.] ΔΓ, Ἐκέλευσεν. — Ἐπεγχεῖν.] Ἐξ ΗΔ, ΑΤ, Ὑπεγχεῖν. — στ. 7, Σκελετός.] Ἡ συνήθεια, καὶ Σκελετός, καὶ οὐδετέρως, Σκέλετρον, προσλήψει τοῦ ρ. — στ. 8, Μὴ προάξειν.] Τοὺς φίλους. — στ. 10, Μεσούσῃ.] Ἐξ ΕΔ, ΑΤ, Μεσούσης. — στ. 14, Ἀθορύβως.] Ἐκ ΔΓ, ΑΤ, Ἀθορύβου. — στ. 18, Ὁ θεός.] Ὁ Διόνυσος. — στ. 21, Ἐκείνων δ'.] ΠΡΔ (οὐκ ἀναγκαία) ΑΤ, Ἐκείνων τε. — Μετεβάλοντο.] Ἐκ ΔΓ, ΑΤ, Μετεβάλλοντο. — στ. 27, Μεταβαλομένων.] Ἐξ ΗΔ, ΑΤ, Μεταβαλλομένων.

ΣΕΛΙΔ. 119, στ. 11, Ἀνέσχε.] Ἐξ ΕΔ, ΑΤ, Ἀνέσχετο. — στ. 27, Μεθ' αὐτῆς.] Ἐκ ΔΓ, ΑΤ, Μετ' αὐτῆς. — στ. 30, Παρεωρούμενος.] Ἔτρεψαν οἱ ΠΡ τὸ τῆς Στεφανείου ἐκδόσεως, Παρεω-

ρούμενος, εἰς τὸ Παραιωρούμενος· καὶ αὐτὸς δ' ὁ Στέφανος, καίπερ διὰ μονοφθόγγου ἐκδοὺς, ἐν τῷ Θησαυρῷ ὅμως (Τόμ. I, σελ. 218) αὐτὸ τοῦτο τοῦ Πλουτάρχου τὸ χωρίον παρατιθέμενος, γράφει, Παραιωρούμενος.

ΣΕΛΙΔ. 120, στ. 11, Τὰ μὲν ἑαυτῆς, ἂν ᾗ μὴ μετ' αἰσχύνης, σωτήρια τίθεσθαι κ. τ. λ.] Τῇ κακῇ ςίξει ταύτῃ πλανηθέντες οἱ μεταφρασταί, οὐκ ἠκρίβωσαν τοῦ χωρίου τὴν ἑρμηνείαν. Γραπτέον, Τὰ μὲν ἑαυτῆς, ἂν ᾖ μὴ μετ' αἰσχύνης σωτήρια, τίθεσθαι κ. τ. λ. ἵνα τὸ Σωτήρια μὴ πρὸς τὸ Τίθεσθαι, ἀλλὰ πρὸς τὸ ὑπαρκτικὸν, Ἦ, ἀναφέρηται. Ο νοῦς, Τὰ μὲν ἑαυτῆς, ἐὰν δυνηθῇ σωθῆναι ἄνευ αἰσχύνης, διαθεῖναι πιςεύουσαν μάλιςα τῷ Προκληΐῳ. — στ. 17, Ὅσον οὔπω δ' ἀπολείποντος.] Ἐκ ΔΓ (τὴν θέσιν μόνον τοῦ συνδέσμου μεταβαλὼν) ΑΓ, Ὅσον δ' ἀπολείποντος. Ἡ ΔΓ ἐςὶν, Ὅσον δ' οὔπω ἀπολείποντος. — στ. 23, Ὑποςάς.] ΔΓ, Ἀποςάς.

ΣΕΛΙΔ. 121, στ. 7, Ἀπήγγειλε.] ΔΓ, Ἀπήγγελλε. — στ. 8, Παρὰ τάς.] ΔΓ, Πρὸς τάς. — στ. 11, Πρὸς τὰς θύρας αὐτάς.] ΠΡΔ, ΑΤ, Πρὸς ταῖς θύραις αὐταῖς. — Εὐθύς.] Περιττὸν ἔοικεν εἶναι τὸ Εὐθὺς, ὃ οὐδ' ὁ Α ἐξέφρασε. — στ. 17, Τῶν ληςρικῶν ξιφίδιον.] Ἐξ ΗΔ, ΑΤ, Τῶν ληςρικῶν ξιφιδίων. Ἔςι γὰρ τὸ πλῆρες, Ξιφίδιον ἐξ ἐκείνων τῶν ξιφιδίων οἷς οἱ λῃςαὶ χρῶνται. — στ. 18, Ἔφη.] ΔΓ, Εἶπεν. — στ. 19, Καὶ σεαυτήν.] Ἐκ ΔΓ προςέθηκα τὸν σύνδεσμον. — στ. 21, Τὸν πρακτικώτατον τῶν ἡγεμόνων.] Ἐξ ΗΔ ἡ προσθήκη τοῦ δευτέρου ἄρθρου. — στ. 25, Τἄλλα δέ.] Ἐξ ΕΔ προσέθηκαν οἱ ΠΡ τὸν σύνδεσμον. — στ. 29, Εἴη.] ΔΓ, Γένηται. — στ. 30, Διαπρεπῶς.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Θεοπρεπῶς.

ΣΕΛΙΔ. 122, στ. 5, Ταύτης δὴ τῆς.. καὶ τῶν ἄλλων.] Συνηθέςερον ἐν τοῖς τοιούτοις τὸ, Ταύτης τε δὴ τῆς... καὶ τῶν ἄλλων. — στ. 7, Ὧν εἷς ἦν.] ΔΓ, Ὧν ἦν. — Εἰπεῖν μὲν ἐξ ἐπιδρομῆς κ. τ. λ.] Τουτέςι, Παραχρῆμα καὶ μὴ προμελετήσαντα εἰπεῖν. — στ. 8, Τῶν τότε σοφιςῶν.] ΔΓ (γνησιωτέρα ἴσως), Τῶν πώποτε σοφιςῶν. — Ἱκανώτατος.] Οὐκ ἂν ἁμάρτοις προσθεὶς, Καὶ ἀθλιώτατος. Τοιοῦτοι γάρ οἱ, μηδὲν δέον, ἐξ ἐπιδρομῆς λέγοντες καὶ γράφοντες· βάπτοντας γὰρ οὐκ εἰς νοῦν, ἀλλ' εἰς τὴν ἀδελφὴν τῆς πονηρίας μωρίαν, τὴν γλῶσσαν καὶ τὸν κάλαμον, ἀνάγκη τοιαῦτα λέγειν τε καὶ γράφειν, οἷα θαυμάζεσθαι μὲν ὑπὸ τῶν αὐτοῖς ὁμοίων μωρῶν, οἰκτείρεσθαι δὲ ὑπὸ τῶν μόνα τὰ καλὰ θαυμάζειν εἰδότων. — στ. 11, Περιβαλλόμενος.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Περιβαλλόμενος. — στ. 13, Σοφοὶ

σοφοὺς σώζουσιν, ἂν ὦσι σοφοί.] Εὐριπίδου τὸν στίχον εἶναι τοῦτον φάστ' ἄν τις εἰκάσειεν, οὐ μόνον διά τὸ, Σοφὸς, ὄνομα, εἰς ὃ εὐεπίφορός ἐστιν ὁ τραγικὸς οὗτος, ὡς καὶ ἕτεροι πρὸ ἡμῶν ἐσημειώσαντο, ἀλλὰ καὶ διὰ τὸν ἀηδῆ τοῦ σ στοιχείου πλεονασμόν. Ἔστι γὰρ παραπλήσιον τῷ ἀλλαχοῦ (Ἰσοκράτ. Α, Αὐτ. στοχ. σελ. κ΄) σημειωθέντι,

Ἔσωσά σ', ὡς ἴσασιν Ἑλλήνων ὅσοι,

τὸ ἐπὶ τοῦ παρόντος,

Σοφοὶ σοφοὺς σώζουσιν, ἂν ὦσι σοφοί,

ὃ καὶ ὁ Ἰταλὸς μεταφραστὴς, ἀξίως μετήνεγκεν εἰς τὴν ἰδίαν φωνὴν, τηρήσας, ὡς ἐνεχώρει, τὸν σιγματισμὸν,

Il Saggio salva, se è pur saggio, i saggi.

— Στ. 18, Ἀποτεμνόντων.] ΔΓ, Ἀποτεμόντων. — στ 23, Γεγονέναι.] Ἐκ ΔΓ, ΑΤ, Εἶναι. — στ. 25, Ῥόδων.] Ὁ ἐν τῇ συνηθείᾳ κυριωνυμικῶς καλούμενος Τριαντάφυλλος, ὥσπερ καὶ γυναικὸς κύριον ἔχομεν ὄνομα, Τριανταφυλλία, κατὰ τὴν παρὰ τοῖς ἀρχαίοις κυριωνυμουμένην, Ῥόδην. — στ. 28, Οὐκ ἀγαθὸν πολυκαισαρίη.] Παρῳδία τοῦ Ὁμηρικοῦ (Ἰλιάδ. β, 204), « Οὐκ ἀγαθὸν πολυκοιρανίη »

ΣΕΛΙΔ. 123, στ. 3, Πᾶσιν ὡς ἐβούλετο χρῆσθαι λαβούσης.] Λαβούσης παρὰ τοῦ Καίσαρος τὸ χρῆσθαι πᾶσιν, ὡς ἐβούλετο. — στ. 5, Καὶ καθῄλκωτο.] Ἐξ ΗΔ, ΑΤ, Καὶ ἥλκωτο. ΔΓ, Καὶ καθείλκωτο. — στ. 8, Τῆς καθαιρέσεως.] Τῆς καταστροφῆς τοῦ βίου. — στ. 9, Αὐτὸς Ὄλυμπος.] Ἐκ ΔΓ οἱ ΗΡ, ΑΤ, Αὐτὸς ὁ Ὄλυμπος. — στ. 11, Προσέβαλεν.] ΔΓ, Προσέβαλλεν. — στ. 22, Διακειμένης.] Ἐξ ΕΔ, ΑΤ, Διακειμένη. — Συνυπεκφαίνετο.] Ἐξ ΕΔ, ΑΤ, Συνεπεκφαίνετο. ΔΓ, Συνεπεφαίνετο. — στ. 24, Πλησίον αὐτοῦ καθίσαντος.] Τὴν ἀντωνυμίαν εἰς τὸ θηλυκὸν, Αὐτῆς τρέπειν τις παρῄνει τῶν ΗΡ, ἵν' ᾖ ἀμεταβάτως, Τοῦ Καίσαρος καθίσαντος πλησίον τῆς Κλεοπάτρας. Ταὐτὸ μέντοι καὶ δίχα τῆς τροπῆς ἔχει νοεῖσθαι. Ἄμεινον δ' ἴσως μεταβατικῶς ἐκλαβεῖν τὸ λεγόμενον, δασύνοντας τὴν ἀντωνυμίαν, Πλησίον αὑτοῦ καθίσαντος, τουτέστι, Πλησίον ἑαυτοῦ καθίσαι τὴν Κλεοπάτραν ποιήσαντος· διπλῆ γὰρ ἡ ἐκδοχὴ τοῦ, Καθίζω, παρὰ τοῖς ἀρχαίοις, ὥσπερ καὶ παρ' ἡμῖν, ἐπί τε τοῦ Καθέζομαι, καὶ ἐπὶ τοῦ, Ποιῶ ἕτερον καθέζεσθαι. —

στ. 26, Τρέπουσα.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τρεπούσης.— στ. 28, Ὡς δή τις·] ΔΓ (ἀμείνω), Ὡς δή τις ἄν· Τὸ δὲ Ὡς δὴ τῆς, Στεφανείου ἐκδόσεως, τυπογράφων ἐςὶν ἁμάρτημα.

ΣΕΛΙΔ. 124, στ. 22, Ἐλευθέραις.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἐλευθέροις.— στ. 23, Φρουρουμένη κ. τ. λ.] Πρὸς τὸ ἐχόμενον ἀπαρέμφατον συναπτέον, Φρουρουμένη αἰκίσασθαι κ. τ. λ. τουτέςι φυλαττομένη μὴ φθείρω τὸ σῶμα κοπετοῖς καὶ θρήνοις.— στ. 24, Καὶ τηρούμενον.] Διαγραπτέος ἴσως ὁ σύνδεσμος, ὃν μόνος ὁ Ἰταλὸς μεταφραςὴς ἐφύλαξε.

ΣΕΛΙΔ. 125, στ. 11, Περίπλεω.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἐπίπλεω. — στ. 18, Αὐτήν.] Ἐξ ΕΔ, ΑΤ, Αὐτῆς.— στ. 20, Ἔπεμψεν.] ΔΓ, Ἔπεμπεν.— στ. 24, Εἰράς.] Ἴδε τὰ ἀνωτέρω (σελ. 375) σημειωθέντα. ΔΓ, Ναήρας· παρὰ δὲ τῷ Γαληνῷ, Νάειρα.- στ. 25, Χάρμιον.] ΔΓ, Χαρμόνη: Χαρμόνιον: Χαρμίων· παρὰ δὲ τῷ Γαληνῷ, Καρμιόνη.— στ. 26, τὸ περί.] Ἐκ ΔΓ προσέθηκαν τὸ ἄρθρον οἱ ΠΡ.

ΣΕΛΙΔ. 126, στ. 1, Τὴν ἀσπίδα.] Περιττὸν τὸ ἄρθρον, ὃ καὶ ὁ Ἰταλὸς μεταφραςὴς παρέλιπε· πλὴν εἰ μή τις διὰ τὸ προεγνωσμένον ἐκ τῶν ἀνωτέρω (§ 71, σελ. 115), Ἀσπίδος, τηρητέον εἶναι βούλοιτο. — στ. 3, Μηδέν.] Μηδέ. Ὁ νοῦς τοῦ χωρίου, οὐ πάνυ τι ἀκριβῶς ἐκπεφρασμένου, ἐςὶν οὗτος, Ἐκέλευσεν ἡ Κλεοπάτρα κεκαλυμμένην κομισθῆναι τὴν ἀσπίδα, ἵνα προσπέσῃ τῷ σώματι αὐτῆς μηδὲν ἐπιςαμένης· ἐπειδὴ μέντοι ἀραιροῦσα τῶν σύκων εἶδε (καὶ μὴ βουλομένη ἰδεῖν) τὴν ἀσπίδα, παρέσχε ἑκοῦσα τῷ δήγματι τὸν βραχίονα.— στ. 6, Δείγματι.] Διόρθου τὸ τυπογραφικὸν ἁμάρτημα τρέπων εἰς τὸ Δήγματι.— στ. 7, Ἠλακάτη.] «Ἠλακάτη (φησὶν Ἡσύ» χιος), τὸ δεκτικὸν τῶν ἐρίων ἐργαλεῖον... καὶ Ἄτρακτος κ. τ. λ.» Ἐπὶ τοῦ δευτέρου σημαινομένου ἐνθάδε, τοῦ ἐν τῇ συνηθείᾳ καλουμένου ἀδρακτίου. Ἐπὶ δὲ τοῦ πρώτου οἱ μὲν χωριέςεροι ἐφύλαξαν τοὔνομα τῆς Ἠλακάτης· οἱ δὲ πολλοί, Ῥόκκαν, ἐκ τοῦ Ἰταλικοῦ Rocca, καλοῦσι.— στ. 10, Κνηςίδι.] ΔΓ (ψευδῆς), Κιςίδι «Βε» λόνην, ἢ τὰς τρίχας ἀνεῖρεν» λέγει ταύτην Δίων ὁ Κάσσιος (να, 14, σελ. 644). Καλῶς οὖν ἔχει τὸ Κνηςίδι (ἢ ἴσως προπαροξυτόνως Κνήςιδι)· εἰκὸς γὰρ οὕτως καλεῖσθαι τὴν βελόνην, ᾗ οὐ μόνον τὰς τρίχας ἀνείρουσιν αἱ γυναῖκες, ἀλλὰ καὶ τὴν κεφαλὴν κνῶσι. Ταύτην ἡ συνήθεια Καρφοβελόνην καλεῖ (Γαλλ. aiguille de tête). — στ. 12, Ἄλλο.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἄλλου.— στ. 14, Αἱ θυ-

ρίδες.] ΠΡΔ ἡ προσθήκη τοῦ ἄρθρου.—στ. 16, Πιςεῦσαι.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Πιςεύσας. — στ. 24, Ἀντωνίῳ.] Ἐκ ΔΓ προσέθηκα τὴν λέξιν. — στ. 25, Ὑπερβαλεῖν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ὑπερβάλλειν. — στ. 28, Χίλια.] ΔΓ, Δισχίλια. — Τὸ αὐτὸ ταῖς.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τὸ αὐτὸ τοῖς.

ΣΕΛΙΔ. 127, στ. 1, Ἑπτὰ παῖδας.] Ἐκ μὲν τῆς Φουλβίας, Ἄντυλλον καὶ Ἀντώνιον, ἐκ δὲ τῆς Ὀκταβίας, Ἀντωνίους δύο, ἐκ δὲ τῆς Κλεοπάτρας, Κλεοπάτραν, Πτολεμαῖον καὶ Ἀλέξανδρον, ὥσπερ ἐσημειώσαντο οἱ ΠΡ. —Πρεσβύτατος.] ΔΓ, Πρεσβύτερος. — στ. 3, Κλεοπάτραν.] Τὴν ἐκ τῆς Κλεοπάτρας ταύτην Κλεοπάτραν, Σελήνην ὁ Συετώνιος (Sueton. Galig. § 26) ὀνομάζει· καὶ εἰκός φασι διώνυμον γεγονέναι. — στ. 4, Συνῴκισεν·] Δοκεῖ μὲν πρὸς τὴν Ὀκταβίαν ἀναφέρεσθαι, πρὸς ἣν καὶ τὸ, Ἔθρεψε· τὸ δ' ἀληθὲς (ἤ φασιν οἱ ΠΡ), Αὔγουστος Καῖσάρ ἐστιν ὁ συνοικίσας Ἰόβᾳ τὴν τῆς Κλεοπάτρας Κλεοπάτραν. — στ. 15, Ἀγρίππου.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἀγρίππα. — στ 18, Αἰνόβαρβος.] ΔΓ, (ὧδέ τε κἀν τοῖς ἑξῆς) Ἀηνόβαρβος, πεντασυλλάβως· καθὰ φέρεται καὶ παρὰ Δίωνι τῷ Κασσίῳ, παρὰ Στράβωνι, καὶ παρ' ἑτέροις. Ἡ δὲ διαφορὰ ἐκ τῆς παρὰ Ρωμαίοις, διαφόρου γραφῆς ἐστι· Ænobarbus (Αἰνόβαρβος) γάρ, καὶ Æneobarbus (Αἰνεόβαρβος), καὶ Ahenobarbus (Ἀηνόβαρβος) παρ' ἐκείνοις φέρεται.—στ. 19, Πρόγονος.] Ὁ ἐν τῇ συνηθείᾳ ὀξυτόνως Προγονός. Ἐλέγετο δὲ καὶ Ἀμφίγονος τοῖς ἀρχαίοις· «Ἀμφίγονος, υἱὸς ὁ ἐκ προτέρας γυναικὸς» φησὶν Ἡσύχιος. —στ. 22, Ἐπιφανῶς.] Γραπτέον ἴσως, Ἐπιμανῶς, ὡς εἴκασέ τις οὐκ ἀλόγως τῶν ΠΡ· ἐπιμανέςερον γὰρ τούτου τύραννον οὐκ ἂν εὐχερῶς ἕτερον ζητῶν εὕροι τις. Διὸ καὶ ὁ Συετώνιος (Sueton. Caligul. § 51) τὰς πολλὰς καὶ ἐναντίας ἐν αὐτῷ κακίας τῇ τῶν φρενῶν ἀναγράφει νόσῳ, non immerito mentis valetudini adtribuerim diversissima in eodem vitia. Τῶν πλείστων τῆς μανίας αὐτοῦ ἓν ἐγένετο δεῖγμα καὶ τὸ βουληθῆναι τὰ Ὁμήρου ποιήματα ἀφανίσαι· ἔλεγε γὰρ ὁ μαινόμενος οὗτος Αὐτοκράτωρ, cur sibi non licere quod Platoni licuisset, qui eum e civitate, quam constituebat, ejecerit? Διὰ τί οὐκ ἔξεςιν αὐτῷ ποιῆσαι ὃ καὶ Πλάτων ἐποίησεν, ἐκβαλὼν τῆς ὑπ' αὐτοῦ συνταττομένης πολιτείας τὸν Ὅμηρον; (Sueton. ibid. § 34). — στ. 22, Μετὰ τέκνου καὶ γυναικός.] Μετὰ τοῦ θυγατρίου, τῆς Ἰουλίας, ἣν τῷ τοίχῳ προσέῤῥαξαν οἱ συνωμόται, καὶ Καισονίας τῆς γαμετῆς (Sueton.

(Sueton. ibid. § 25 et 59). — στ. 24, Συνῴκησε.] Ἐξ ΕΔ οἱ ΠΡ ΑΤ, Συνῴκισε.

ΣΕΛΙΔ. 128, στ. 1, Ἐγένοντο. ] ΔΓ, Γεγόνασι.—στ. 17, Φίλαν. ] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Φίλλαν. —στ. 19, Ὑπερβαλομένης.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ὑπερβαλλομένης.—στ. 24, Ἄμεμπτος ἐπὶ τοῦ.], Οὐκ ἀπιθάνως τις τῶν ΠΡ γραπτέον εἴκαζε, Ἄμεμπτός ἐστι τοῦ.

ΣΕΛΙΔ. 129, στ. 1, Ζητοῦντος. ] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ζητούντων. — στ. 2, Καταδουλουμένου. ] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Καταδουλουμένη. —στ. 3, Διαφυγόντα. ] Ἐκ ΔΓ, ΑΤ, Διαφεύγοντα.—στ. 7, Εἰς τύχας ἐλθεῖν ἀναγκαίας.] Τοῦθ' εἰς τὸν Δημήτριον ἀνήνεγκαν οἱ μεταφρασταί, Ἀναγκαίας τύχας, ἐκδεξάμενοι τὰς ἐπὶ τέλει δυστυχίας τοῦ Δημητρίου, ὁ καὶ αὐτὴ τοῦ λόγου ἡ συνάρτησις ἔοικε πιστοῦσθαι. Ἔχει μέντοι ἡ τοιαύτη ἐκδοχὴ οὐ τὴν τυχοῦσαν διαπόρησιν· σκοπὸς γάρ ἐστιν ἐνθάδε τῷ Πλουτάρχῳ ἀντιβαλεῖν τὸν ἀρελόμενον τοὺς Ῥωμαίους τὴν ἐλευθερίαν, καὶ σεμνυνόμενον ἐπὶ τῷ ἀποκτεῖναι τοὺς ἐλευθερώσαντας τὴν Ῥώμην, Ἀντώνιον, τῷ ἐλευθεροῦντι τὴν Ἑλλάδα Δημητρίῳ, καὶ ἐξελαύνοντι τῶν Ἑλληνικῶν πόλεων τὰς φρουράς. Καὶ τοῦτο μὲν ἐπαινετὸν τοῦ Δημητρίου· εἰ δὲ, Καὶ πρὶν εἰς τύχας ἐλθεῖν ἀναγκαίας, τοιοῦτος ἐγένετο περὶ τὴν Ἑλλάδα, οὐ διὰ τοῦτο καὶ μείζονός ἐστιν ἄξιος ἐπαίνου. Μετὰ γὰρ τὸ ἐμπεσεῖν εἰς τὰς τύχας ταύτας, καθειργμένος ὢν παρὰ τῷ Σελεύκῳ, οὔτ' αὐτὸς εἶχεν ἔτι καταδουλοῦσθαι, οὔτε καταδουλουμένων ἑτέρων ἐλευθεροῦν τὴν Ἑλλάδα. Μήποτε οὖν περιαιρετέον ἐστὶ τὴν μετὰ τὸ Ἀναγκαίας στίξιν, ἵνα τὸ, Καὶ πρὶν εἰς τύχας ἐλθεῖν ἀναγκαίας ἐλευθερῶντα τὴν Ἑλλάδα, καθ' ὑπερβατὸν νοῆται, Ἐλευθερῶν τὴν Ἑλλάδα καὶ πρὶν εἰς τύχας ἐλθεῖν αὐτὴν ἀναγκαίας, τουτέστι, πρὶν τοῦ καταδουλωθῆναι· ἐπὶ γὰρ Δημητρίου οὔπω κατεδεδούλωντο οἱ διαδεξάμενοι τὸν Ἀλέξανδρον βασιλεῖς τὴν Ἑλλάδα, ἀλλ' ἐπειρῶντο καταδουλοῦσθαι· καὶ ἦσαν οἱ Ἕλληνες, εἰ μὴ παντάπασιν ἐλεύθεροι, ἔτι αὐτόνομοι, ὥστε καὶ συστήσασθαι μετὰ μικρὸν τὴν καλουμένην Ἀχαϊκὴν συμμαχίαν, καὶ τοῖς Μακεδόσιν, οὐχ ὡς δεσπόταις, ἀλλ' ὡς συμμάχοις χρῆσθαι ἐν τοῖς πρὸς ἀλλήλους πολέμοις, ἕως ἅπαντες ὑπὸ Ῥωμαίοις ἐγένοντο. Εἴη ἂν τοίνυν ὁ Δημήτριος διὰ τοῦτο μᾶλλον ἀγαστὸς, ὅτι τὴν Ἑλλάδα καὶ πρὶν ἐμπεσεῖν αὐτὴν εἰς δουλείαν, ἠλευθέρου, τουτέστιν ἐκώλυε τοὺς πειρωμένους αὐτὴν καταδουλοῦσθαι, ὅπου Ἀντώνιος Ῥωμαίους τοὺς ἄρτι διαφυγόντας τὴν ἀναγκαίαν τύχην, τουτέστι τὴν Καίσαρος μοναρχίαν, ἀφῃρεῖτο τὴν ἐλευθερίαν, πρὸς δὲ,

καὶ ἐσεμνύνετο ἐπὶ τῷ κτεῖναι τοὺς ἐλευθερώσαντας. Τοιοῦτον δ' εἶναι τῶν λεγομένων τὸν νοῦν μαρτυρήσειεν ἂν καὶ τὸ, ἀναγκαία τύχη, ἐπὶ τῆς δουλείας τεταγμένον κατὰ Σοφοκλέους πρόδηλον μίμησιν· κἀκεῖνος γὰρ ἐπὶ τῆς αὐτῆς ἔταξε σημασίας τὴν Ἀναγκαίαν τύχην, ὅτε παράγει τὴν αἰχμάλωτον Τέκμησσαν λέγουσαν (Αἴαντ. 485),

Ὦ δέσποτ' Αἴας, τῆς ἀναγκαίας τύχης
Οὐκ ἔςιν οὐδὲν μεῖζον ἀνθρώποις κακόν·
Ἐγὼ δ' ἐλευθέρου μὲν ἐξέφυν πατρὸς,
Εἴπερ τινὸς, σθένοντος ἐν πλούτῳ, Φρυγῶν·
Νῦν δ' εἰμὶ δούλη. ————

Παρῴδησε δὲ Σοφοκλῆς ἐνθάδε προδήλως τὸ Ὁμηρικὸν, Ἀναγκαῖον ἦμαρ, καθὰ ἐσημειώσατο ὁ Εὐστάθιος (εἰς τὸν Ἰλιάδ. π', 836, σελ. 1089)· «Ἦμαρ δὲ ἀναγκαῖον, τὸ τῆς ἁλώσεως καὶ δουλώσεως, » ἐν ᾧ τις ἀνάγκην πάσχει. Ὅθεν καὶ παρὰ Σοφοκλεῖ, Ἀναγκαία » τύχη ἡ δουλικὴ, καθ' ἣν οὐ ζῇ τις ὡς βούλεται, ἀλλὰ δουλικῶς. » Διὸ καὶ ἀντετέθη τὸ, Ἐλεύθερον ἦμαρ, καὶ τὸ, Ἦμαρ ἀναγ- » καῖον». — στ. 21, Λάμιαν.] Ἐκ ΔΓ, ΑΤ, Λάμειαν. — στ. 26, Ἀμφίπολος Ἄρεος ἀνιαροῦ.] ΑΤ, Ἀνιέρου οἱ ΠΡ διορθώσαντες ἔγραψαν Ἀνιαροῦ· καὶ εἴασα τὴν διόρθωσιν, οὐκ ἐπαινῶν, ἀλλ' ἑτέρας ἀμείνονος ἐπί γε τοῦ παρόντος ἀπορῶν. Τὸν Ἀνίερον ἢ Ἀνιαρὸν Ἄρην τοῦτον, ὁ μὲν Α ἡρμήνευσεν, Mars cruel et inhumain, ὁ δὲ Ἰταλὸς μεταφραστὴς, Micidial Marte. Ἴσως γραπτέον Ἀνιγροῦ. Κἂν γὰρ εἰ ἀληθὲς εἴη, ὅτι τὸ Ἀνιγρὸς αὐτὸ τοῦτ' ἐςὶ τὸ Ἀνιαρὸς συγκοπῇ καὶ προσλήψει τοῦ γ γενόμενον, ὥς φησιν ὁ Ἐτυμολόγος (σελ. 110), οὗ τὸ μαρτύριον ὁ Στέφανος (Θησαυρ. Ἑλλ. γλ. Τόμ. Α, σελ. 457) καλῶς ποιῶν μετ' ἐνδοιασμοῦ παρέθετο, προέχει ὅμως ἐπὶ τῆς Εὐριπιδείου ῥήσεως τὸ, Ἀνιγροῦ, τοῦ Ἀνιαροῦ, εἰ μὴ δι' ἓν ἕτερον, διά γε τὸ ποιητικώτερον εἶναι. Ταύτοις προστίθει, ὅτι ὁ μὲν Ἐτυμολόγος, συνώνυμον εἶναι τὸ Ἀνιγρὸν τοῦ Βλαβερὸν, Ἡσύχιος δὲ τοῦ, Φαῦλον, Κακὸν, Χαλεπὸν, φασὶν, ἃ πάντα δηλοῦ ὅτι οἰκεῖα τῷ βροτολοιγῷ καὶ μιαιφόνῳ Ἄρει (Ἰλιάδ. έ, 31). Ὅτι δὲ ἐπὶ τῶν ὀλέθρου καὶ φθορᾶς αἰτίων τάσσεται τοὔνομα προηγουμένως, ἐδήλωσε καὶ ὁ Ἀππιανὸς, τοῦτο μὲν τὴν Ἄρκτον καλῶν Ἀνιγρὴν (Κυνηγετ. Δ, 403), τοῦτο δὲ περὶ τῆς οὐδὲν ἧττον θηριώδους Μυραίνης λέγων (Ἁλιευτικ. Γ. 188),

——————— Αὐτὰρ ἀνιγραὶ
Μύραιναι μετὰ σάρκας ἐπειγόμεναι φορέονται
Πουλυπόδων. ———————

Ἔνθα διώρθου καὶ τὸν σχολιαστὴν, ἑρμηνεύοντα τὸ Ἀνιγραὶ διὰ τοῦ; ΛΕΠΤΑΙ, μεταγράφων ΧΑΛΕΠΑΙ. «Ἀνιγροῦ, χαλεποῦ, λυπηροῦ» φησὶν Ἡσύχιος. Καὶ ἐπὶ μὲν τοῦ προκειμένου Πλουταρχείου χωρίου τὸ Ἀνιγρὸς οὐ θαυμαστὸν εἰ συνεχύθη μετὰ τοῦ Ἀνίερος, ᾧ οἱ ΠΡ ἀνθυποβαλεῖν ἐτόλμησαν τὸ Ἀνιαρός· ἀλλαχοῦ δ᾽ ἴσως καὶ μετ᾽ αὐτοῦ τούτου τοῦ Ἀνιαρός. Ἐν γὰρ τῷδε Ἡροδότου (γ΄, 108) τῷ χωρίῳ, « Ὅσα μὲν [ζῶα] ψυχήν τε δειλὰ καὶ ἐδώδιμα, ταῦτα μὲν » πάντα πολύγονα πεποίηκεν [ἡ προνοίη τοῦ θείου], ἵνα μὴ ἐπιλίπη- » ται (ἴσ. γρ. ἐπιλίπῃ) κατεσθιόμενα· ὅσα δὲ σχέτλια καὶ ἈΝΙΗΡΑ, » ὀλιγόγονα», εἴτις βούλοιτο γράφειν ἈΝΙΓΡΑ, τούτῳ μᾶλλον ἂν συν- » αινέσαιμι, ἢ τῷ παραινέσαντι γράφειν, Ἄμικτα».—στ. 30, Καθέλξασα.] ΔΓ, Καθέλξασαι.

ΣΕΛΙΔ. 130, στ. 1, Ἀφέντα μεγάλας πράξεις ἐκ τῶν χειρῶν.] Ἔσωσεν ἡ συνήθεια τὴν φράσιν, οἷον, εἴ τις καταμελήσας τοῦ δέοντος καιροῦ τινος πράξεως, οὐκ ἔτι ἐπανελθεῖν ἐπ᾽ αὐτὴν ἔχει, τοῦτον φαμὲν, ὅτι Ἀφῆκεν ἀπὸ τὰ χέρια του τὸ πρᾶγμα, καὶ, Ἀφῆκε νὰ τοῦ φύγῃ ἀπὸ τὰ χέρια τὸ πρᾶγμα.—στ. 3, Ὡς ὁ Πάρις κ. τ. λ.] Αἰνίττεται ἅ φησιν Ὅμηρος περὶ τοῦ γυναικομανοῦς Πάριδος ἐν τῇ τρίτῃ ῥαψῳδίᾳ τῆς Ἰλιάδος (στίχ. 380-448).— στ. 7, Οὐ κεκωλυμένον... γεγονός.] Ἐκ ΔΓ (συνᾳδούσης τῷ Α) οἱ ΠΡ, ΑΤ, Οὐ κεκωλυμένος... γεγονώς. Ὁ νοῦς, Ἐποίει οὐ κεκωλυμένον, ἀλλὰ σύνηθες τοῖς Μακεδονικοῖς βασιλεῦσιν ὂν πρᾶγμα, τὸ πολυγαμεῖν.—στ. 11, Μηδενὶ Ῥωμαίων τετολμημένον.] Ἐξ ΗΔ, τὸ Ῥωμαίων, ΑΤ, Ῥωμαίῳ. — στ. 13, Ὅθεν ἐκ.] Ἐκ ΔΓ, ΑΤ, Ὅθεν καὶ ἐκ. — στ. 18, Τοῦτο ποιεῖσθαι τὸ ζῶον.] Ἐκ ΔΓ (διὰ τὸ εὐφωνότερον), ΑΤ, Ποιεῖσθαι τοῦτο τὸ ζῶον.—στ. 21, Ἔνεστι.] Ἐκ ΔΓ, οἱ ΠΡ, ΑΤ, Ἔστι.

ΣΕΛΙΔ. 131, στ. 4, Ψευδεῖς αἰτίας . . . ἀμύνασθαι.] Ὁ νοῦς; Πολλοὶ λέγουσιν, ὅτι ὁ Δημήτριος, πλασάμενος, ἐφ᾽ οἷς ἔπραξεν, αἰτίας ψευδεῖς κατ᾽ Ἀλεξάνδρου ἐσυκοφάντει τὸν ὑπ᾽ αὐτοῦ ἀδικηθέντα, οὐκ ἀδικήσαντα ἠμύνατο. — στ. 17, Ἠγάπησεν. ] Ἐκ ΔΓ, ΑΤ (κακῶς ἐπαναλαμβανομένου), Ὑπέμεινεν. Δύναται δ᾽ ἐνθάδε τὸ, Ἠγάπησεν, τὸ ἐν τῇ συνηθείᾳ, Εὐχαριστήθη, ὥσπερ καὶ

τὸ πρὸς δοτικὴν συναπτόμενον Ἠ γ ά π η σ ε ν  α ὐ τ ο ῖ ς, τὸ Ε ὐ χ α ρ ι σ τ ή θ η  ε ἰ ς  α ὐ τ ό.

## ΔΙΩΝ.

ΣΕΛΙΔ. 133, στ. 1, Ἆρα γ'... ἐπὶ τοὺς μεγίστους ἀγῶνας;] Ἠρωτημάτισα τὴν μακρὰν ταύτην περίοδον, τῶν ΠΡ ἀπάντων καταφατικῶς ἐξενεγκόντων. — στ. 1, Τοῖς Κορινθίοις οὐ μηνίειν τὸ Ἴλιον κ.τ.λ.] Μνημονεύει Ἀ ρ ι σ τ ο τ έ λ η ς (Ῥητορικ. Α, ϛ', § 24) τῆς Σιμωνιδείου ταύτης ῥήσεως οὑτωσί,

Κορινθίοις οὐ μέμφεται τὸ Ἴλιον·

καὶ εἰκὸς ἢ τὸν Πλούταρχον τῷ, μ έ μ φ ε τ α ι ἀνθυποβαλεῖν τὸ Μ η ν ί ε ι, ἤ, ὃ δοκεῖ πιθανώτερον, τὸν Ἀριστοτέλην ἐναλλάξαι τὸν στίχον, οὕτως ἔχοντα πάλαι,

Κορινθίοις οὐ μηνίει τὸ Ἴλιον·

Ὅτι δὲ Κορίνθιος ἦν τὸ ἐξαρχῆς ὁ συμμαχήσας τοῖς Τρωσὶ Γλαῦκος, ἴσασιν οἱ τὰ Ὁμήρου (Ἰλιάδ. ζ, 144-211) μὴ ἐν παρέργῳ ἀναγνόντες. — στ. 10, Τῷ καθηγεμόνι τῆς ἀρετῆς.] Τῷ Πλάτωνι. — στ. 14, παρ' αὐτῷ.] Ἐξ ΠΔ, ΑΤ, Π α ρ' α ὐ τ ο ῦ. — Ἰδὼν ἂν φέροντας ἐπιγνῶναι.] Ἀναγκαία μοι ἔδοξεν ἡ προσθήκη τοῦ δυνητικοῦ, ἵν' ᾖ ὁ νοῦς ἐπιγνῶναι δύνασθαι.

ΣΕΛΙΔ. 134, στ. 3, Δαίμονα πονηρὸν ἐν αὐτοῖς εἶναι δεισιδαιμονίαν ἔχοντας.] Ἐμποδὼν εἶναι τῇ τοῦ λόγου συναρτήσει τὸ ἀπαρέμφατον καὶ οἱ ΠΡ συνῆκαν· διὸ οἱ μὲν παρῄνουν γράφειν, Δ α ί μ ο ν α  π ο ν η ρ ὸ ν  ἐν ΑΥΤΗΣ ΕΝΑ (ἢ ΑΕΙ) δ ε ι σ ι δ α ι μ ο ν ί α ν  ἔ χ ο ν τ α ς, οἱ δὲ πιθανώτερον, Καὶ δαίμονα πονηρὸν ἙΑΥΤΟΙΣ εἶναι, δ ε ι σ ι δ α ι μ ο ν ί α ν  ἔ χ ο ν τ α ς, καὶ ἄλλοι ἄλλως. Ἴσως ἀπόχρη γράφειν... ἐν ΑΥΤΟΙΣ (ἢ ἐν ΑΥΤΟΙΣ ΤΗΝ) δ ε ι σ ι δ α ι μ ο ν ί α ν  ἔ χ ο ν τ α ς, περιαιροῦντας τὸ ἀπαρέμφατον, ἢ τρέποντας εἰς τὸ ἄρθρον. — στ. 14, Βίων.] Ἐξ ΕΔ, ΑΤ. Βίῳ. ΔΓ, Β ι β λ ί ῳ. — στ. 17, Ταύτην... οἱ Συρακούσιοι δεινὰς καὶ παρανόμους ὕβρεις τὸ σῶμα καθύβρισαν.] Ὡς ἂν εἰ καὶ ἔλεγε, Ταύτην καθύβρισαν οἱ Συρακούσιοι δεινὰς καὶ παρανόμους ὕβρεις, γ ε ν ο μ έ ν α ς εἰς αὐτὸ αὐτῆς τὸ σῶμα· καὶ ἔστιν ἡ σύνταξις παραπλησία τῇ ἀνωτέρῳ (Δημητρ. § 24, σελ. 21), « Τοσαύτην ὕβρειν εἰς παῖδας ἐλευθέρους καὶ γυναῖκας ἀστὰς κατεσκέ-

BENIAMIN

» ὅχσε τῆς ἀκροπόλεως » τουτέστιν, Ὕβρισε τὴν ἀκρόπολιν τοσαύτην ὕβριν, γενομένην εἰς παῖδας ἐλευθέρους καὶ γυναῖκας ἀστάς.

ΣΕΛΙΔ. 135, στ. 1, Ἀλλ' ἐκείνη προτέρα...βοηθεῖν πρὸς τὸ γένος.] Ὁ νοῦς καὶ ἡ συνάρτησις, ἀλλὰ τῇ ἐκ Λοκρῶν Δωρίδι, προτέρα τεκούσῃ, ὑπῆρχε τὸ τὸν ἐξ αὐτῆς τεχθέντα, πρεσβύτατον υἱὸν, βοηθεῖν, ὥστε, καὶ ἀλλογενῆ οὖσαν, ἴσον ὅμως τιμᾶσθαι τῇ ἐγγενεῖ. —στ. 4, (Ὥςε καὶ τήν.] Ἐξ ΗΔ, (συναδούσης τοῖς μεταφρασταῖς), ΑΤ, Ὅς γε καὶ τήν. Ὁ νοῦς, Οὕτως σπουδάζοντι περὶ τὸ τέκνα ἐκ τῆς Ἀριστομάχης ποιήσασθαι, ὥστε καὶ τὴν κ. τ. λ. — στ. 8, Ἤδη καὶ καθ' ἑαυτόν.] Ἐξ ΗΔ ἡ προσθήκη τοῦ συνδέσμου.—στ. 10, Διδόναι.] ΔΓ, Ἀποδιδόναι (ἴσως ἦν Ἐπιδιδόναι). —Δόντας.] ΠΡΔ, ΑΤ, Διδόντας.—στ. 13, Πρὸς ταῦτα θείᾳ τινὶ τύχῃ, Πλάτωνος κ. τ. λ.] Διόρθου τὴν τυπογραφικῶς ἡμαρτημένην στίξιν, διαιρῶν, Πρὸς ταῦτα θείᾳ τινὶ τύχῃ Πλάτωνος κ. τ. λ. —στ. 15, Ἀρχὴν ἐλευθερίας παραβαλλόμενος.] Τρέπε τὴν μετοχὴν εἰς τὸ Καταβαλλόμενος, ἢ εἰς τὸ ἁπλοῦν, Βαλλόμενος, καθὰ φέρεται παρ' αὐτῷ Πλάτωνι (Ἐπιςολ. ζ΄) οὑτωσὶ περὶ ἑαυτοῦ λέγοντι, « Εἰς » Συρακούσας διεπορεύθην, ἴσως μὲν ΚΑΤΑ ΤΥΧΗΝ· ἔοικε μὴν τότε » ΜΗΧΑΝΩΜΕΝΩ τινὶ (ἴσ. γραπτέον, ἔοικα μὴν τότε μηχα» νωμένου τινὸς) τῶν ΚΡΕΙΤΤΟΝΩΝ, ἈΡΧΗΝ ΒΑΛΕΣΘΑΙ τῶν » νῦν γεγονότων πραγμάτων περὶ Δίωνα κ. τ. λ. » — στ. 20, Γέγραφε.] ΔΓ, Ἔγραψε. Ἃ δὲ γέγραφε Πλάτων τὰ ἑξῆς ἐστιν, ἐξ ἧς ἀνωτέρω ἐμνημόνευσα ἐπιστολῆς. « Δίων μὲν γὰρ δὴ, μάλ' εὐμαθὴς » ὢν, πρός τε τἄλλα, καὶ πρὸς τοὺς τότε ὑπ' ἐμοῦ λόγους λεγομέ» νους, οὕτως ὀξέως ὑπήκουσε καὶ σφόδρα, ὡς οὐδεὶς πώποτε ὧν ἐγὼ » προσέτυχον νέων κ. τ. λ. » —στ. 27, Προσδοκήσας ὑπὸ τῶν αὐτῶν λόγων κ. τ. λ.] Ἐκ τῆς αὐτῆς Πλάτωνος ἐπιστολῆς καὶ ταῦτα. « Διενοήθη μὴ μόνον ἐν αὐτῷ ποτ' ἂν γενέσθαι ταύτην τὴν διάνοιαν, » ἣν αὐτὸς ὑπὸ τῶν ὀρθῶν λόγων ἔσχεν· ἐγγιγνομένην δ' αὐτὴν καὶ » ἐν ἄλλοις ὁρῶν κατενόει, πολλοῖς μὲν οὔ, γιγνομένην δ' οὖν ἔν τισιν· » ὧν καὶ Διονύσιον ἡγήσατο ἕνα γενέσθαι τάχ' ἂν ξυλλαμβανόντων » θεῶν. Γενομένου δ' αὐτοῦ (γρ. δ' αὐτοῦ) τοιούτου, τόν τε αὐτοῦ » βίον καὶ τὸν τῶν ἄλλων Συρακουσίων ἀμήχανον ἂν μακαριότητι » ξυμβῆναι γενόμενον ». — στ. 28, Ἐπούδασε καὶ ἐπράξατο ποιησάμενος σχολὴν αὐτὸν ἐντυχεῖν Πλάτωνι. ] Ἴσως οὐκ ἔῤῥωται τὸ χωρίον, ὥσπερ ὑπετόπασεν ὁ παραινῶν τρέπειν τὸ, Ποιησάμενος, εἰς τὸ, Ποιησαμένῳ. Ἴσως ἐκ διαφόρων γραφῶν ὀρθῶν δύο, τρίτη

ταύτην ἔπλασέ τις ἡμαρτημένην, τῆς μὲν οὕτωπως ἐχούσης, Ἐσπούδασε καὶ ἐπράξατο κατὰ σχολὴν αὐτὸν ἐντυχεῖν Πλάτωνι, τῆς ἑτέρας δὲ, Ἐπράξατο ποιησάμενος σπουδὴν αὐτὸν ἐντυχεῖν Πλάτωνι. Οἱ μεταφρασταὶ τὸ Σχολὴν ἡρμήνευσαν, ὥσπερ ἂν εἰ γεγραμμένον ἦν Σχολῇ, ἢ κατὰ Σχολήν· κατὰ διάφορον ὅμως νοῦν. Οἱ μὲν γὰρ εἰς αὐτὸν τὸν Διονύσιον ἀνήνεγκαν τὸ, Κατὰ σχολὴν, ὥστ' εἶναι, ὁπότε σχολάζοι Διονύσιος· ὁ δ' Ἰταλὸς μεταφραστὴς, περιελὼν ὅλως τὸ Ποιησάμενος, ἐξεδέξατο τὸ, Σχολῇ, ἐπὶ τοῦ βραδέως καὶ μετὰ πόνου, Studiossi et ottenne à lungo andare, che costui si trovasse insieme con Platone.

ΣΕΛΙΔ. 136, στ. 2, Πάντας.] ΠΡΔ, ΑΤ, Πάντα.— στ. 11, Οὐ τοῦτο τέλος ᾤοντο τῆς ὀργῆς γεγονέναι.] Ἐξ ΕΔ, προσέθηκα τὴν ἄρνησιν, ἣν ἐξέφρασε καὶ ὁ Ἰταλὸς μεταφραστὴς, pensando Dione che NON fosse per aver qui fine la di lui collera. —στ. 13, Πόλλιν.] διαφέρει οὐδὲν, εἴτε Πόλλιν, διὰ δύο, εἴτε Πόλιν, δι' ἑνὸς λ, ὡς φέρεται παρὰ Διογένει τῷ Λαερτίῳ γράφοις τοὔνομα τοῦ ληστρικῶς τοὺς φιλοσόφους πωλοῦντος Πόλλιδος τούτου· ἔστι γάρ τινα τῶν ὀνομάτων, ὧν καὶ τὸ μεμνῆσθαι ὅλως, ἴσον λογίζεται τῷ βλασφημεῖν.— στ. 23, Ἔφερεν.] Ὁ Διονύσιος.

ΣΕΛΙΔ. 137, στ. 5, Σωφροσύνῃ μὲν Διονυσίῳ τῷ υἱῷ, συνῴκισεν, Ἀρετὴν δὲ κ.τ. λ. Ἐκ ΔΓ, ΑΤ, Σωφροσύνη μὲν Διονυσίῳ, τῷ υἱῷ συνῴκισεν, Ἀρετὴ δέ.—στ. 22, Ἰδίοις τέλεσι.] Ἰδίοις ἀναλώμασι.—στ. 28, Ἐξαγριαίνειν.] Ἐξαγριαίνω, καὶ Ἐξαγριόνω (παρὰ τὸ Ἐξαγριόω), ἡ συνήθεια.

ΣΕΛΙΔ. 138, στ. 5, Ἐμηχανῶντο.] Ἐκ ΔΡ, ΑΤ, Ἐμνῶντο.— στ. 12, Ἀπολείπειν.] Ἐξ ΗΔ, (συνᾳδούσης τοῖς μεταφρασταῖς) ΑΤ, Ἀπολιπεῖν.—στ. 29, Συναλλάσσοντα.] Ὁμιλοῦντα, κοινωνοῦντα, συναναστρεφόμενον, κατὰ τὸ παρὰ τῷ Σοφοκλεῖ (Οἰδ. τύρ., 33),

——————— Ἔν τε συμφοραῖς βίου
Κρίνοντες, ἔν τε δαιμόνων ξυναλλαγαῖς.

ὅπερ ὁ σχολιαστὴς, « Καὶ ἐν ταῖς πρὸς τὸ θεῖον κοινωνίας καὶ φιλί» αις » ἡρμήνευσε.

ΣΕΛΙΔ. 139, στ. 1, Ἐξευλαβεῖσθαι τὴν αὐθάδειαν ὡς ἐρημίᾳ συνοικοῦσαν.] Ἴσ. Συνοικονοῦσαν. Λέγει δὲ Πλάτων (Ἐπιστολ. 4) « Μὴ οὖν λανθανέτω σε, ὅτι διὰ τοῦ ἀρέσκειν τοῖς ἀνθρώποις, καὶ » τὸ πράττειν ἐστίν· ἡ δ' αὐθάδεια ἐρημίᾳ ξύνοικος ». —στ. 6, Αἰ-

τίαν δὲ τούτου τὴν ἀπαιδευσίαν κ. τ. λ.] Περὶ ἧς καὶ Πλάτων ἐν τῇ ἑβδόμῃ ἐπιςολῇ φησι, «Διονυσίῳ ξυνεβουλεύομεν ἐγὼ καὶ Δίων, ἐπει-» δὴ παρὰ πατρὸς αὐτῷ ξυνεβεβήκει, οὕτως ἀνομιλήτῳ μὲν παιδείας, » ἀνομιλήτῳ δὲ συνουσιῶν τῶν προσηκουσῶν γεγονέναι, πρῶτον ἐπὶ » ταῦτα ὁρμήσαντα, φίλους ἄλλους αὐτῷ τῶν οἰκείων ἅμα καὶ ἡλι-» κιωτῶν καὶ συμφώνους πρὸς ἀρετὴν κτήσασθαι... πορευθεὶς (γρ. » παιδευθεὶς) δὲ, ὡς ἐλέγομεν, καὶ ἑαυτὸν ἔμφρονά τε καὶ σώφρονα » ἀπεργασάμενος... οὐ διπλασίαν τὴν πατρῴαν ἀρχὴν μόνον ποιήσει, » πολλαπλασίαν δὲ ὄντως». — στ. 9, Οὐκ ἐγεγόνει.] ΔΓ, Οὐ γεγόνει. — στ. 14, Λυχνίας.] Ἴσως γραπτέον, Λύχνια. Λυχνίδια, εἴρηκεν ἀνωτέρω (Δημητρ. § 20, σελ. 18) ἐπιπαραπλησίου περὶ τῶν εἰς τὰ τοιαῦτα τὴν σχολὴν διατιθεμένων σημειώσεως. Οἱ δ' Ἀττικισταὶ καὶ διαφέρειν τῷ σημαινομένῳ φασὶ τὴν Λυχνίαν τοῦ Λυχνίου. — στ. 18, Ἀφαιρεῖν.] Ἐξ ΗΔ, (συνᾳδούσης τοῖς μεταφρασταῖς) ΑΤ, Ἀφελεῖν. — στ. 19, Πλαςῶν.] Οὕτως ἅπαντες οἱ μεταφρασταί· ἀλλ', ἐπὶ ἄλογον ὅλως εἶναι δοκεῖ, τὸ Πλάστην, ὅ ἐστι δημιουργὸν ἀνδριάντων, μεταπέμπεσθαι τὸν Διονύσιον ἐπὶ τῷ τὰς τρίχας τῆς κεφαλῆς ἀφαιρεῖν, παρήνει τις τῶν ΠΡ τρέπειν τὴν λέξιν εἰς τὸ Πελατῶν. Κικέρων δὲ οὐδὲ τοῦτο· ἀλλ' ὑπὸ τῶν θυγατέρων κείρεσθαί φησι τὸν Διονύσιον, ne tonsori collum committeret, tondere filias suas docuit (Tuscul. quæst. V, 19). Ἀποδεκτέα μέντοι ἔοικεν εἶναι ἡ διόρθωσις, Πελατῶν· ἐπὶ καὶ ὁ Κικέρων λέγει, ὅτι τὴν φυλακὴν τοῦ σώματος ὁ Διονύσιος μηδενὶ τῶν οἰκείων πιστεύων, πλουσίων τινῶν Συρακουσίων παῖδας οἰκέτας ἑαυτῷ καὶ φύλακας ἐξελέξατο, credebat eorum nemini: sed iis, quos ex familiis locupletum servos delegerat... corporis custodiam committebat (ibid.) Οἱ δὲ οἰκέται οὗτοι, ὅτι καὶ Πελάται ἐκαλοῦντο σεσημείωται ἤδη ἀλλαχοῦ (Πλουτάρχ. Μερ. Β, σελ. 456). Εἰκὸς οὖν διά τινος τούτων ἀφαιρεῖσθαι τὰς τρίχας τὸν τύραννον, οὐ ξυρῷ κείροντα, ἀλλ' ἄνθρακι περικαίοντα, ὡς καὶ αὐτὸς ὁ Κικέρων ἀλλαχοῦ ἱστόρηκε. Dionysium ... qui cultros metuens tonsorios, candenti carbone sibi adurebat capillum (De offic. II, 7). — στ. 25, Ἐχαλέπηνε.] Ἐξ ΗΔ (συνᾳδούσης τοῖς μεταφρασταῖς), ΑΤ, Ἐχαλέπαινε. — στ. 29, Δόξαντα κατὰ τοὺς ὕπνους σφάττειν αὐτόν.] Ἐπειδὴ ἔδοξε Διονυσίῳ καθ' ὕπνους ὁ Μαρσύας σφάττειν αὐτόν; ἢ Ἐπειδὴ ἔδοξε τουτέστιν ἡγήσατο, καθ' ὕπνους ὁ Μαρσύας σφάττειν τὸν Διονύσιον; Τὸ πρῶτον ἐξεδέξατο ὁ Ἰταλὸς μεταφρα-

ςής· τὸ δεύτερον, ὁ καὶ πιθανώτερον, ὅ τε Α καὶ ὁ Λατῖνος μεταφραςής.

ΣΕΛΙΔ. 140, στ. 6, Συντετριμμένον τὸ ἦθος.] Καλλίςη μεταφορά· οὐχ ἧττον δὲ καλὴ καὶ ἡ τοῦ, Π α ρ α λ υ μ έ ν ο ς, τῆς συνηθείας. Π α ρ α λ υ μ έ ν ο υ ς γὰρ καλοῦμεν τοὺς συντετριμμένους τὸ ἦθος καὶ μεςοὺς ἐπιθυμιῶν ἀτόπων (οὓς οἱ Γάλλοι dissolus, ὅ ἐςι διαλελυμένους καλοῦσι), καὶ π α ρ α λ υ σ ί α ν (Γαλλ. dissolution), τὴν διαγωγὴν αὐτῶν. — στ. 9, Λόγῳ.] Ἐξ ΕΔ, ΑΤ, Λ ό γ ω ν. — στ. 10, Θειότατον.] Ἐκ ΔΓ, ΑΤ, Θ ε ι ό τ ε ρ ο ν. — στ. 18, Ἐγγινομένην.] Ἐξ ΗΔ, ΑΤ, Ἐ γ γ ε ν ο μ έ ν η ν. — στ. 25, τῆς ψυχῆς τὸ βασιλειον]· Τὸ παρὰ τοῖς Στωϊκοῖς καλούμενον Ἡ γ ε μ ο ν ι κ ό ν· ἔςι δὲ τοῦτο λόγος ὁ κυβερνῶν τὰ πάθη.

ΣΕΛΙΔ. 141, στ. 4, Παραφερομένης.] Ἐκ ΔΓ, ΑΤ, Π ε ρ ι φ ε ρ ο μ έ ν η ς. στ. 5, Ὥς φησιν αὐτὸς ἑαυτόν... εἶναι τις μόνον, ἔργου δ' ἑκὼν κ. τ. λ.] Ἐξ ΕΔ, ἥ τε ςίξις καὶ ἡ τοῦ, Τις, προσθήκη. Οὕτω γὰρ μᾶλλον συνᾴδει τοῖς εἰρημένοις τῷ Πλάτωνι (Ἐπιςολ. ζ') «Αἰσχυ-» νόμενος μὲν ἐμαυτὸν τὸ μέγιστον, μὴ δόξαιμί ποτε ἐμαυτῷ παν-» τάπασι λόγῳ μόνον ἀτεχνῶς εἶναί τις, ἔργου δὲ οὐδενὸς ἄν ποτε » ἑκὼν ἀνθάψασθαι». — στ. 7, Προσδοκήσας δι' ἑνὸς ἀνδρὸς κ. τ. λ.] Πλάτων ἐν τῇ αὐτῇ ἐπιστολῇ, «Πείσας γὰρ ἕνα μόνον, ἱκανῶς πάντα » ἐξειργασμένος ἐσοίμην ἀγαθά». — στ. 8, Ἰατρεύειν.] Ἴσ. γραπτέον, Ἰ α τ ρ ε ύ σ ε ι ν. — στ. 14, Ἐξ ἀρχῆς τε τῇ.] Ἴσ. γρ. Ἐ ξ ἀ ρ χ ῆ ς τ ῇ τ ε. — στ. 20, Μηδέν.] Ἐξ ΕΔ, ΑΤ, Μ η δ έ. — στ. 28, Διεπεφύκει τῆς τυραννίδος.] Δι' ὅλης τῆς τυραννίδος ἐῤῥίζωτο. Ἔπιθι τὰ ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Ε, σελ. 413,) σημειωθέντα.

ΣΕΛΙΔ. 142, στ. 16, Ἐλπίδας ἐνέδωκεν.] Ἐχρήσατο καὶ ἀλλαχοῦ (Νικ. § 9. Μέρ. Γ, σελ. 271) τῷ μετὰ προθέσεως, Ἐ ν δ ι δ ό ν α ι ἐ λ π ί δ α ς, καθὰ ἐσημειώσαντο οἱ ΠΡ. — στ. 23, Καταρώμενος ἡμῖν.] ΔΓ, Κ α τ α ρ ώ μ ε ν ο ς ἡ μ ῶ ν. Προέχει ἡ μετὰ δοτικῆς σύνταξις, οἷόν ἐςι τὸ (Ἀριστοφ. Νεφ. 871),

Οὐκ ἐς κόρακας; καταρᾷ σὺ τῷ διδασκάλῳ;

— στ. 27, Τοῦ μειρακίου.] Ἐξ ΕΔ, ΑΤ, Τ ὸ μ ε ι ρ ά κ ι ο ν.

ΣΕΛΙΔ. 143, στ. 8, Τὰς τετρακοσίας τριήρεις.] Τοσαύτας λέγει καὶ Διόδωρος ὁ Σικελιώτης (ις', 9) καὶ Αἰλιανὸς (Ποικ. ἱςορ. (ς', 12, σελ. 89). Ὁ δὲ Κορνήλιος Νέπως (Dion. 5), πεντακοσίας. — στ. 22, Κατηγόρησεν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Κ α τ η γ ό ρ η σ ι ν. —

στ. 24, Εἰς ἀκάτιον.] Συνῳδὰ τῷ Πλάτωνι (ἐπιστολ. ζ) φάσκοντι, « Σμικρὸν εἰς πλοῖον ἐμβιβάσας ἐξέβαλεν ἀτίμως ». Ὁ δὲ Κορνήλιος Νέπως, τριήρη, φησί, δοὺς Δίωνι ὁ Διονύσιος, εἰς Κόρινθον πλεῖν ἐκέλευσε navem ei triremem dedit, qua Corithum deveheretur (Corn. Nep, Dion. § 4). — στ. 25, Ἐκθεῖναι πρὸς τὴν Ἰταλίαν.] Χρηστότερον ἂν ἔφρασεν, Ἐκθεῖναι εἰς τὴν Ἰταλίαν, ἢ γοῦν, ἐπὶ τὴν Ἰταλίαν.

ΣΕΛΙΔ. 144, στ. 9, Κατασκευή.] Σημαίνει ἣν οἱ Γάλλοι διὰ τοῦ Meubles, ἢ Mobilier, ἐκφράζειν φιλοῦσιν· ἡ δὲ παρ' ἡμῖν συνήθεια διὰ τοῦ, Κινητὰ ἀγαθά· ἐφ' ἧς σημασίας κεῖται ἡ λέξις καὶ παρὰ τῷ Θουκυδίδῃ (ς', 46), « Φιάλας τε καὶ οἰνοχόας καὶ θυμιατήρια, καὶ » ἄλλην κατασκευὴν οὐκ ὀλίγην». Πιστοῦται πρὸς τούτοις τὴν ἐξήγησιν καὶ ὁ Κορνήλιος Νέπως, περὶ ταύτης τῆς Δίωνος κατασκευῆς φήσας, Omnia quæ moveri poternat Dionis in naves imposuit. — στ. 17, Καθάπερ ψαῦσιν ἀνθρώπου θηρίον.] ΠΡΔ τὸ ψαῦσιν, ΑΤ, ψαύειν. Ὁ νοῦς, Ὥσπερ ὑπομένει τὴν ψαῦσιν τοῦ ἀνθρώπου τὸ θηρίον ἐθισθὲν τῇ πολυχρονίῳ συνδιαιτήσει. Διὸ καί, Ἀκατάψαυστα θηρία ἐκάλεσεν Ἡρόδοτος (Δ, 191) τὰ ἄγρια καὶ ἀτιθάσσευτα· οὕτω γὰρ δεῖν γράφειν παρ' Ἡροδότῳ, καὶ οὐκ, Ἀκατάψευστα, ἐδείξαμεν ἐν τῇ σημειώσει, ἣν κατεχώρισεν ὁ Γάλλος μεταφραστὴς ἐν τοῖς εἰς Ἡρόδοτον ὑπομνήμασιν αὐτοῦ (Larcher, Hérodot. vol. III, pag. 576).—στ. 22, Αὐτοῦ τοῦτο. ΔΓ, Αὐτὸ τοῦτο.

ΣΕΛΙΔ. 145, στ. 1, Ἀπέπεμψεν.] Ἐξ ΗΔ (συναδούσης τοῖς μεταφρασταῖς) ΑΤ, Ἀπέπεμπεν. — στ. 2, Μεταπέμψεσθαι.] Ἐκ ΔΓ, ΑΤ, Μεταπέμψασθαι.—στ. 8, Σπευσίππῳ.] Ὃς ἦν ἀδελφιδοῦς Πλάτωνος καὶ διάδοχος τῆς σχολῆς. — στ. 13, Ἐν τοῖς Σίλλοις ὁ Τίμων.] Ὁ Φλιάσιος Τίμων, οὗ ποίημα ἦν οἱ καλούμενοι Σίλλοι, ἐν οἷς ἔσκωπτε τοὺς φιλοσόφους, ἔστι μὲν οὓς δικαίως, τοὺς δὲ πλείστους, οἷα ποιεῖν φιλοῦσιν οἱ τὸ χλευάζειν ἔργον πεποιημένοι, ψευδῶς· « Σίλ» λος, ἔμμετρον σκῶμμα » φησὶν Ἡσύχιος. Ἔστι δὲ παραπλήσιον τῇ παρὰ Ῥωμαίοις τε καὶ τοῖς νῦν ἐλλογίμοις ἔθνεσι καλουμένῃ Σατύρᾳ Satyra), ἢ Σατυρικῷ ποιήματι. — στ. 21, Ἐπιτεθυμμένον.] Ἐξ ΕΔ (ἴδ. Ῥυγγένιον ἐν τοῖς εἰς τὸ Τιμαίου Λεξικ. σημειώσ. σελ. 250), ΑΤ, Ἐπιτεθρυμμένον. Δύναται ἡ λέξις, ὑπὸ τύφου ἐπηρμένον καὶ οἷον πεφυσημένον. « Ἐπιτεθυμμένον, Ἀττικῶς, ἐπιτετυφωμένον, » ἢ ἐπικεκαυμένον, Ἑλληνικῶς » φησὶν ὁ Ἀττικιστὴς Μοῖρις. Μάλιστα δ' ἂν γένοιτο κατάδηλος ἐκ τῶν ἐναντίων, οἷς συνῆψεν αὐτὴν ὁ Πλάτων

(Φαίδρ. σελ. 230), «Σκοπῶ... ἐμαυτὸν εἴτε τι θηρίον ὢν τυγχάνω, » Τυφῶνος πολυπλοκώτερον καὶ μᾶλλον ΕΠΙΤΕΘΥΜΕΝΟΝ, εἴτε » ΗΜΕΡΩΤΕΡΟΝ καὶ ἁπλούστερον ζῶον, θείας τινὸς καὶ ΑΤΥΦΟΥ » μοίρας φύσει μετέχον».

ΣΕΛΙΔ. 146, στ. 3, Αὐτοὶ πάντως.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Αὐτοὶ πάντας. Ἴσ. γραπτέον, Αὐτοὶ πάντες. — στ. 4, Ἐποιοῦμεν.] ΔΓ, Ποιοῦμεν. — στ. 9, Ἀναμάχεσθαι.] Ἴσ. γρ. Ἀναμαχέσασθαι. Ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐν πολέμῳ γινομένων· ἐκεῖ γὰρ ὁ ἡττηθεὶς ἀποτρίψασθαι σπουδάζων τὴν ἐκ τῆς ἥττης αἰσχύνην, ἀναμάχεται, τουτέστιν, ἐκ δευτέρου μάχεται. Ἔστιν οὖν τὸ, Ἀναμαχέσασθαι τὴν κακοδοξίαν, ἴσον τῷ διαλύσασθαι τὴν ἀδοξίαν.— στ. 11, Παρακούσμασι.] Οἷς ἐν παρόδῳ καὶ κακῶς ἤκουσεν ὑπὸ τοῦ Πλάτωνος λεγομένοις. Ἔχει καὶ ἡ συνήθεια τὸ παρακούω, ἐπὶ τοῦ κακῶς ἀκούω, τουτέστιν, ἀντ' ἄλλων ἄλλα ἀκούω, ὥσπερ καὶ παρὰ τοῖς ἀρχαίοις, οἷον, «Τὰ μὲν ἄλλα ὀρθῶς ἤκουσας· ὅτε δὲ καὶ ἐμὲ » φῇς εἰπεῖν τοῦτο, παρήκουσας» (Πλάτ. Πρωταγόρ. σελ. 330)· πρὸς δὲ καὶ ἐπὶ τοῦ μήπω κατακχωρισθέντος ἐν τοῖς Λεξικοῖς, λάθρα ἀκούω, τουτέστι τῶν μὴ βουλομένων ἀκούεσθαι ἀκούω, ὃ ποιεῖν φιλοῦσιν οἱ πολυπράγμονες. Σημαίνομεν δὲ πάντων κοινότατα, διὰ τοῦ Παρακούω τὸ ἀπειθῶ, ἐφ' ἧς σημασίας ἔταξεν αὐτὸ ὁ παρακμάζων Ἑλληνισμός. Καὶ ταῦτα μὲν περὶ τῆς διαφορᾶς τῆς τῶν ἀρχαίων καὶ τῆς καθ' ἡμᾶς γλώσσης, χρήσιμα τοῖς ὀρθῶς τῇ γλώσσῃ χρῆσθαι σπουδάζουσι, καὶ μὴ τὸ παριστάμενον ἀτόπῳ λέξει τε καὶ συνθέσει ἀναιδῶς ἅμα καὶ γελοίως ἐκφέρειν, οἷα ποιεῖν ἔφιλει, ὥς φησιν Εὐριπίδης,

> Ἀνήρ τις ἀθυρόγλωσσος, ἰσχύων θράσει,
> Ἀργεῖος, οὐκ Ἀργεῖος, ἠναγκασμένος,
> Θορύβῳ τε πίσυνος, κἀμαθεῖ παῤῥησίᾳ.

Μακρῷ δὲ τούτων χρησιμώτερον τοῖς αἰδήμοσι νέοις τὸ ἐξ αὐτοῦ Πλάτωνος (Ἐπιστολ. ζ') μαθεῖν, ὅσον διαφέρει τὸ διακοῦσαι τοῦ παρακοῦσαι φιλοσοφίας. Τὸ μὲν γὰρ τὸν ἀληθῆ φιλόσοφον ἀπεργάζεται· τὸ δὲ οἴησιν μὲν ἂν φιλοσοφίας καὶ ἀλαζονείαν ἐμποιήσειεν, φιλοσοφίαν δ' οὐκ ἂν, οὐδ' εἰ πάντων παρακούσειε τῶν φιλοσόφων· «Ἔστι » δή τις τρόπος τοῦ περὶ τὰ τοιαῦτα πεῖραν λαμβάνειν οὐκ ἀγεννής, » ἀλλ' ὄντως τυράννοις πρέπων, ἄλλως τε καὶ τῆς τῶν ΠΑΡΑΚΟΥ- » ΣΜΑΤΩΝ μεστοῖς· ὃ δὴ κἀγὼ Διονύσιον εὐθὺς ἐλθὼν ἠσθόμην καὶ

» μάλα πεπονθόντα. Δεικνύναι δὴ δεῖ τοῖς τοιούτοις ὅ, τί ἐστι πᾶν τὸ
» πρᾶγμα, οἷόν τε, καὶ δι' ὅσων πραγμάτων, καὶ ὅσων (γρ. ὅσον)
» πόνον ἔχει. Ὁ γὰρ ἀκούσας, ἐὰν μὲν ὄντως ᾖ φιλόσοφος, οἰκεῖός τε
» καὶ ἄξιος τοῦ πράγματος, θεῖος ὤν... οὐκ ἀνίησι πρὶν ἂν ἢ τέλος
» ἐπιθῇ πᾶσιν, ἢ λάβῃ δύναμιν, ὥστε αὐτὸς αὐτὸν χωρὶς τοῦ δεί-
» ξαντος μὴ ἀδύνατος εἶναι ποδηγεῖν... Οἱ δὲ ὄντως μὲν μὴ φιλόσο-
» φοι, δόξαις δ' ἐπικεχρωσμένοι, καθάπερ οἱ τὰ σώματα ὑπὸ τοῦ ἡλίου
» ἐπικεκαυμένοι, ἰδόντες τε ὅσα μαθήματά ἐστι, καὶ ὁ πόνος ἡλίκος,
» καὶ δίαιτα ἡ καθ' ἡμέραν ὡς πρέπουσα ἡ κοσμία τῷ πράγματι, χα-
» λεπὸν (ἴσ. γρ. ὡς πρέπουσα καὶ κοσμία, τὸ πρᾶγμα χαλεπὸν) ἡγη-
» σάμενοι καὶ ἀδύνατον αὑτοῖς, οὔτε δὴ ἐπιτηδεύειν δυνατοὶ γίγνονται·
» ἔνιοι δὲ (ἴσ. γρ. ἔνιοί τε) αὐτῶν πείθουσιν αὑτοὺς ὡς ἱκανῶς ἀκηκοότες
» εἰσὶ τὸ ὅλον, καὶ οὐδὲν ἔτι δέονται τινῶν πραγμάτων. Ἡ μὲν δὴ πεῖρα
» αὕτη γίγνεται ἡ σαφής τε καὶ ἀσφαλεστάτη πρὸς τοὺς τρυφῶντάς τε
» καὶ ἀδυνάτους διαπονεῖν... οὕτω δὴ καὶ Διονυσίῳ τότε ἐῤῥήθη τὰ
» ῥηθέντα. Πολλὰ γὰρ αὐτὸς καὶ τὰ μέγιστα εἰδέναι τε καὶ ἱκανῶς
» ἔχειν προσεποιεῖτο, διὰ τὰς ὑπὸ τῶν ἄλλων ΠΑΡΑΚΟΑΣ ». —
στ. 17, Ἀναδόχους.] Ἐγγυητάς. Ἡ δὲ συνήθεια οὐχ ἁπλῶς πάντα
τὸν ἐγγυώμενον, ἢ ὑπισχνούμενόν τι ποιήσειν, οὕτως ὀνομάζει, ἀλλ'
εἰς τοὺς ἀναδεχομένους τὸν διὰ τοῦ βαπτίσματος τελούμενον χρι-
στιανὸν συνέστειλε τὴν σημασίαν τοῦ Ἀναδόχου, ὃν οἱ χυδαιέστεροι
Νοννόν, ἢ Παῖρῆν, καλεῖν φιλοῦσι, τὸ μὲν ἐκ τοῦ Ἰταλικοῦ
Nonno, τοῦ σημαίνοντος τὸν πάππον παραπλησίως τῷ τῶν ἀρχαίων
Νέννος, τῷ δηλοῦντι τὸν τοῦ πατρὸς ἢ τῆς μητρὸς ἀδελφὸν (Εὐ-
σταθ. Ἰλιάδ. ξ́, σελ. 971)· τὸ δὲ ἐκ Γαλλικῆς ἴσως διαλέκτου τῆς
κατὰ τοὺς Ὀκκιτανοὺς (Languedociens), παρ' οἷς Pâiri (Παῖρι)
καλεῖται ὁ χριστιανικὸς ἀνάδοχος. — στ. 19, Ἀρχέδημον.] Τὸν Ἀρ-
χύτου μαθητὴν ὥς φησι Πλάτων (Ἐπιστολ. ζ́), « Ἔπεμψε μὲν γὰρ
» δὴ Διονύσιος τρίτον ἐπ' ἐμὲ τριήρη ῥαστώνης ἕνεκα τῆς πορείας·
» ἔπεμψε δὲ Ἀρχέδημον, ὃν ἡγεῖτό με τῶν ἐν Σικελίᾳ περὶ πλείστου
» ποιεῖσθαι, τῶν Ἀρχύτῃ ξυγγεγονότων ἕνα, καὶ ἄλλους γνωρίμους
» τῶν ἐν Σικελίᾳ ». — στ. 21, Σαφῶς καὶ διαῤῥήδην ἔγραψεν,
ὡς κ. τ. λ.] Τοιάδε εἰσὶν ἐπὶ λέξεως τὰ γεγραμμένα ὑπὸ Διονυσίου,
ὡς αὐτὸς μνημονεύει Πλάτων (Ἐπιστολ. ζ́), « Ἂν εἰς Σικελίαν πεισθεὶς
» ὑφ' ἡμῶν ἔλθῃς τανῦν, πρῶτον μέν σοι τὰ περὶ Δίωνα ὑπάρξει
» ταύτῃ γιγνόμενα, ὅπῃπερ ἂν αὐτὸς ἐθέλῃς· θελήσεις δὲ οἶδ' ὅτι τὰ
» μέτρια, καὶ ἐγὼ συγχωρήσομαι. Εἰ δὲ μή, οὐδέν σοι τῶν περὶ

» Δίωνα ἔξει πραγμάτων, οὔτε περὶ τἆλλα, οὔτε περὶ αὐτὸν κατὰ » νοῦν γιγνόμενα». — στ. 26, Ἐλθεῖν τὸ τρίτον εἰς τὸν πορθμὸν τὸν περὶ ΣΙΚΕΛΙΑΝ.] Ὁ περὶ Σικελίαν πορθμός, καὶ Ὁ Σικελικὸς πορθμός, κατὰ πλείονα χρῆσιν καλεῖται ἡ διείργουσα τῆς Ἰταλίας τὴν Σικελίαν θάλασσα. Πλάτων δὲ, ὡς αὐτίκα γενήσεται δῆλον, Τὸν περὶ τὴν ΣΚΥΛΛΑΝ πορθμὸν, εἴρηκε. — στ. 28, Ὄφρ' ἔτι τὴν ὀλοὴν ἀναμετρήσειε κ. τ. λ.] Ἐξ ΕΔ καὶ ΔΓ οἱ ΠΡ τὸ, Ἀναμετρήσειε, ΑΤ, Ἐξολοθρεύσειε. Ἐκ τῆς Ὁμήρου Ὀδυσσείας (μ, 428) ὁ ςίχος, ὃν Πλάτων εἰς ἑαυτὸν μετήνεγκε (Ἐπιςολ. ζ΄) « Ἐδόκει δὴ χαλεπαίνειν μὲν οὐ δεῖν ἐμὲ Διονυσίῳ μᾶλλον, ἢ ἐμαυτῷ » τε καὶ τοῖς βιασαμένοις ἐλθεῖν ἐμὲ τὸ τρίτον εἰς τὸν πορθμὸν τὸν » περὶ τὴν ΣΚΥΛΛΑΝ, Ὄφρ' ἔτι τὴν ὀλοὴν ἀναμετρήσαιμι » Χάρυβδιν»

ΣΕΛΙΔ. 147, στ. 2, Ἐξαίρετος.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἐξαιρέτως. — στ. 16, Πάντας.] ΔΓ, Πάντως. — στ. 16, Ἑλίκων ὁ Κυζικηνός.] Ὃν Πλάτων ἔπεμψεν Ἀθήνηθεν Διονυσίῳ, ὡς αὐτός φησιν ἐν ταῖς ἐπιςολαῖς (Ἐπιςολ. ιγ΄), « Ἔςι δὲ ὄνομα μὲν Ἑλίκων, τὸ δὲ γέ» νος ἐκ Κυζίκου, μαθητὴς δὲ Εὐδόξου, καὶ περὶ πάντα τὰ ἐκείνου » πάνυ χαριέντως ἔχων· ἔτι δὲ καὶ τῶν Ἰσοκράτους μαθητῶν τῳ » ξυγγέγονε, καὶ Πολυξένῳ τῶν Βρύσωνός τινι ἑταίρων. Ὃ δὲ σπάνιον » ἐπὶ τούτοις, οὔτε ἄχαρίς ἐςιν ἐντυχεῖν, οὔτε κακοήθει ἔοικεν, ἀλλὰ » μᾶλλον ἐλαφρὸς καὶ εὐήθης δόξειεν ἂν εἶναι.. Ἂν καὶ ὁπωςιοῦν » σχολάζῃς, μάνθανε παρ' αὐτοῦ, καὶ τἆλλα φιλοσόφει· εἰ δὲ μὴ, » ἐκδίδαξαί τινα, ἵνα κατὰ σχολὴν μανθάνων βελτίων γίγνῃ, καὶ εὐ» δοξῇς». — στ. 25, Εἰς τοὺς μισθοφόρους μετέςησε.] Οὕτως περὶ τούτου ὁ Πλάτων (Ἐπιςολ. ζ΄), « Πρῶτον μὲν ἐκ τῆς ἀκροπόλεως » ἐκπέμπει με, εὑρὼν πρόφασιν, ὡς τὰς γυναῖκας ἐν τῷ κήπῳ, ἐν ᾧ » κατῴκουν ἐγὼ, δέοι θῦσαι θυσίαν τινὰ δεχήμερον... Ὤκουν δὴ τὸ » μετὰ τοῦτο ἔξω τῆς ἀκροπόλεως ἐν τοῖς μισθοφόροις. Προσιόντες » δέ μοι ἄλλοι τε καὶ οἱ τῶν ὑπηρεσιῶν ὄντες Ἀθήνηθεν ἐμοὶ πολῖται » ἀπήγγελλον, ὅτι διαβεβλημένος εἴην ἐν τοῖς πελταςαῖς· καί μοί τινες » ἀπειλοῖεν, εἴ που λήψοιντό με, διαφθερεῖν. Μηχανῶμαι δή τινα » τοιάνδε σωτηρίαν· πέμπω παρ' Ἀρχύτην καὶ τοὺς ἄλλους φίλους εἰς » Τάραντα, φράζων ἐν οἷς ὢν τυγχάνω. Οἱ δὲ πρόφασίν τινα πρεσ» βείας πορισάμενοι παρὰ τῆς πόλεως, πέμπουσι τριακόντορόν τε καὶ » Λαμίσκον αὐτῶν ἕνα, ὃς ἐλθὼν ἐδεῖτο Διονυσίου περὶ ἐμοῦ κ. τ. λ.».

ΣΕΛΙΔ. 148, στ. 3, Ἀπολεγομένου.] Ἐκ ΔΓ, ΑΤ, Ἀπολογου-

μένου.—στ. 4, Προαχθέντος αὐτῷ... εἰπεῖν.] Ἐξ ΗΔ, ΑΤ, Προαχθέντος ὡς αὐτὸν... εἰπεῖν.—στ. 13, Περὶ οὗ καὶ Πλάτων ἠνίξατο.] Ἐν τῇ πρὸς Διονύσιον ἐπιςολῇ, ἥ ἐςι τρισκαιδεκάτη καὶ τελευταία τῶν Πλάτωνος ἐπιςολῶν, λέγων. « Περὶ μέντοι ἐκείνων ὧν » οὐκ εἴας μεμνῆσθαι πρὸς αὐτὸν [Δίωνα], οὔτε ἐμνήσθην, οὔτε » διελέχθην· ἐξεπειρώμην δὲ εἴτε χαλεπῶς, εἴτε ῥᾳδίως, οἴσει γιγνο- » μένων, καί μοι ἐδόκει οὐκ ἠρέμα ἂν ἄχθεσθαι, εἰ γίγνοιτο ». — στ. 22, Μόνῳ.] Ἐκ ΔΓ, οἱ ΠΡ, ΑΤ, Μόνον.

ΣΕΛΙΔ. 149, στ. 15, Ταῦτα μὲν οὖν οὐκ ἄχρηςον ἔχει τὴν παρέκβασιν.] Οὐ μὰ Δί' ἄχρηςον, χρηςὲ Πλούταρχε, ἀλλὰ σφόδρα χρηςαὶ αἱ παρεκβάσεις σου· ἀνδρῶν γὰρ καὶ γυναικῶν Ἑλλήνων γενναῖα φρονήματα γνωρίζουσα τοῖς ἀπογόνοις ἡμῖν, ὁμοίους ἐκείνοις οὐκ εἰς μακρὰν ἀπεργάσεται ἡ τῶν σῶν βίων ἀνάγνωσις. — στ. 16, Αὐτοῦ μέν.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Αὐτοῦ δέ.—στ. 17, Ἐκποδών.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἐμποδών. Ἔπιθι τὰ τελευταῖα τῆς ἑβδόμης Πλάτωνος ἐπιςολῆς.

ΣΕΛΙΔ· 150, στ. 6, Πέντε καὶ εἴκοσι.] Τριάκοντα, λέγει Διόδωρος ὁ Σικελιώτης (ις', 10,).—στ. 10, Αἴρεσθαι.] Ἐξ ΗΔ, ΑΤ, Αἱρεῖσθαι.—στ. 29, Πολέμιον.] ΠΡΔ, ΑΤ, Πόλεμον.

ΣΕΛΙΔ. 151, στ. 14, Ἐκλειψίν τινος.] Ἐξ ΗΔ, (συνᾴδουσα τοῖς μεταφραςαῖς), ΑΤ, Ἔλειψίν τινα. —στ. 26, Καὶ πότιμον.] Ἐκ ΔΓ, προσέθηκαν τὸν σύνδεσμον οἱ ΠΡ.

ΣΕΛΙΔ. 152, στ. 6, Στρογγύλαι δύο ναῦς.] Σημείωσαι τὴν μήπω σημειωθεῖσαν ἐν ταῖς γραμματικαῖς βίβλοις πληθυντικὴν ὀνομαςικὴν, Ναῦς, ὁμόλογον τῇ πληθυντικῇ αἰτιατικῇ καὶ τῇ ἑνικῇ ὀνομαςικῇ. Ἡ ναῦς, γάρ, καί, Τὰς ναῦς, καὶ, Αἱ νῆες, ἐν χρήσει· τῷ δὲ, Αἱ ναῦς, παρὰ τὸν Πλούταρχον καὶ τὸν Σικελιώτην Διόδωρον (β', 17, καὶ ιθ', 62) οὐκ οἶδ' εἴ τις ἕτερος ἐχρήσατο. —στ. 12, Ποιουμένους.] Ἐξ ΗΔ, ΑΤ, Πεποιημένοις· ὁ οἱ ΠΡ, ἐκ ΔΓ, ἔτρεψαν εἰς τὸ Πεποιημένους. Ἀλλ' ὁ παρακείμενος ἐνταῦθα, εἴτε κατὰ δοτικὴν, εἴτε κατ' αἰτιατικὴν γράφοις, ἐπιεικῶς ἄτοπος· ὃ συνεωρακὼς καὶ ὁ Στέφανος εἰς τὸ, Πεποιησομένους, τρέπειν παρῄνει. — στ. 28, Προσφερομένοις.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Προφερομένοις.

ΣΕΛΙΔ. 153, στ. 6, Ἰςίων.] ΠΡΔ, ΑΤ, Ἰςίον. — στ. 8, Ὡρμίσαντο.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ὡρμήσαντο. —στ. 10, Σύναλος.] Πάραλον ὀνομάζει τοῦτον ὁ Σικελιώτης Διόδωρος (ις', 9). —στ. 29, Τὸ Ἔκνομον.] Γράφε Τὸν Ἔκνομον, ἀρσενικῶς, καθὰ φέρεται παρὰ

τῷ Σικελιώτῃ Διοδώρῳ (ιθ´ 104 καὶ 108), ὅς φησι λόφον εἶναι οὕτω κληθέντα, διὰ τὸ « Φρούριον γεγενῆσθαι Φαλάριδος. Ἐν τούτῳ δὲ » λέγεται κατεσκευακέναι τὸν τύραννον ταῦρον χαλκοῦν, τὸν διαβε» βοημένον πρὸς τὰς τῶν βεβασανισμένων (ἴσ. γρ. βασανιζομένων) » τιμωρίας, ὑποκαομένου τοῦ κατασκευάσματος. Διὸ καὶ τὸν τόπον » Ἔκνομον ἀπὸ τῆς εἰς τοὺς ἀτυχοῦντας ἀσεβείας προσηγορεῦσθαι ».

ΣΕΛΙΔ. 154, στ. 12, Ἀποδαρθεῖν.] Ἀποκοιμηθῆναι. « Ἐδάρθη; » ἐκοιμήθη » φησὶν Ἡσύχιος, καὶ ὑποβὰς, καθ' ὑπέρθεσιν στοιχείου, » Ἐδράθη, κατεκοιμήθη ». Περὶ τοῦ θέματος τούτου οὑτωσὶ τεχνολογεῖ ὁ Ἐτυμολόγος (σελ. 285), « Δραθεῖν (ἴσ. Δάρθειν), τὸ » κοιμᾶσθαι καὶ Καταδαρθεῖν, τὸ κοιμηθῆναι. Καὶ Δραθεῖν, » καθ' ὑπέρθεσιν, ὡς καρδία, κραδία. Εἴρηται παρὰ τὸ Δέρμα. » Δραθεῖν γὰρ κυρίως λέγεται τὸ ἐπὶ δερμάτων καθευδῆσαι, κ. τ. λ. ». Καὶ τοῦτο μὲν ὀρθῶς, ἡ παρὰ τὸ Δέρμα φημὶ ἐτυμολογία· ἡ δὲ παραγωγὴ οὐ πάνυ τι ἀκριβής. Ἔστι γὰρ, Δέρω, τὸ σημαῖνον τὸ ἐκδέρω, καὶ τὸ τύπτω. Τούτου ἀόριστος παθητικὸς, Ἐδάρθην, τὸ ἐτύφθην, ὅπερ ἔσωσε καὶ ἡ συνήθεια ἐπὶ τῆς αὐτῆς σημασίας· καὶ τὸ ἀφηρέθην τὸ δέρμα, ὅπερ οὐκέτι ἁπλῶς, ἀλλὰ μετὰ προθέσεως, Ἐξεδάρθην, ἡ συνήθεια προφέρει. Σημαίνει δὲ καὶ τρίτον, κατὰ μέσην διάθεσιν, τὸ παρ' Ἡσυχίῳ ἐκοιμήθην, ὃ ἐστι κυρίως ἐπὶ δερμάτων ἐκαθεύδησα· παρὰ γὰρ τὸν τούτου γνήσιον παθητικὸν παρακείμενον, Δέδερμαι, ἐστὶ καὶ τὸ παρ' Ἕλλησι, Δέρμα, καὶ τὸ παρὰ Ῥωμαίοις Dormio τὸ σημαῖνον τὸ κοιμῶμαι. Αὐτὸ δὲ τοῦτο τὸ Δέρω, προσλαβὸν τὸ Θ, ἀπέτεκε τὸ Δέρθω καὶ Δάρθω ἄχρηστα, καὶ τὸ χρηστὸν Δαρθάνω συνεσταλμένον εἰς τὴν τρίτην μόνην οὐδετέραν σημασίαν τοῦ καθεύδω, ὥσπερ καὶ ὁ ἀόριστος, Ἔδαρθον καὶ Ἔδραθον, σχηματισθεὶς κατὰ τὸν παρὰ τὸ Πέρθω Ἔπαρθον καὶ Ἔπραθον. — στ. 27, Ἀπηγγέλθη.] ΔΓ, Ἀπηγγέλη. — στ. 28, Περὶ τὰς Μακράς.] Ἐπεὶ οὐδεμία ἐστὶ περὶ τούσδε τοὺς τόπους πόλις, Μακραὶ, καλουμένη, παρῄνεσάν τινες γράφειν Περὶ τὰς Ἄκρας, πόλιν ὑπὸ Συρακουσίων οἰκισθεῖσαν, ἧς καὶ Θουκυδίδης (ϛ´, 5) ἐμνημόνευσε.

ΣΕΛΙΔ. 155, στ. 4, Ἀπὸ μιᾶς ὁρμῆς... πάντες.] Ἴσον τῷ Ἀπὸ μιᾶς γνώμης, ἢ ὁμογνωμόνως, ἢ συμφώνως, ὥσπερ ἡρμήνευσεν ὁ Α, tous d'un mesme vouloir· ὅθεν καὶ τὸ κατ' ἔλλειψιν παρὰ τῷ Εὐαγγελιστῇ (Λουκ, ιδ´, 18), « Ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι πάν» τες ». Τοῦθ' Ὅμηρος, Εἰς μίαν, εἶπεν, οἷον (Ἰλιάδ. β´, 379),

Εἰ δέ ποτ' ἔς γε μίαν βουλεύσομεν —,

ὅπερ ὁ Εὐστάθιος ἐλείπειν φησὶ τῷ, Βουλήν. Ἐλέγετο δὲ τοῦτο καὶ, Ἐ ξ ἑ ν ὸ ς λ ό γ ο υ, οἷόν ἐστι τὸ παρὰ τῷ Κωμικῷ (Λυσιστρ. 1005),

——Πρίν γ' ἅπαντες ἐξ ἑνὸς λόγω
Σπονδὰς ποιησώμεθα ποττὰν Ἑλλάδα.

Καὶ αὖθις (Πλοῦτ. 760),

Ἀλλ' Εἶ' ἁπαξάπαντες ἐξ ἑνὸς λόγου
Ὀρχεῖσθε, καὶ σκιρτᾶτε, καὶ χορεύετε.

Ἐπεὶ δὲ τὸ συμφώνως τι ποιεῖν πάντας, διόλου καὶ παντάπασι ποιεῖν ἐστιν, ἔταξε καὶ ἐπὶ ταύτης τῆς σημασίας ἡ συνήθεια τὸ, Ἀ π ὸ μ ι ᾶ ς, ἢ κατ' ἐπιῤῥηματικὸν τύπον, Ἀ π ο μ ι ᾶ ς· ὡς ἐν τῷ, Ἀ π ο μ ι ᾶ ς τ ρ ε λ ὸ ς, τουτέστι, παντάπασιν ἄφρων. Ἕτερον δὲ τούτου ἐστὶ τὸ Ε ἰ ς μ ί α ν· οὔτε γὰρ τὸ, ἀπὸ μιᾶς γνώμης, οὔτε τὸ καθ' Ὅμηρον, Εἰς μίαν βουλὴν, ἀλλὰ τὸ, Εὐθὺς καὶ παραχρῆμα, ἐπεὶ καὶ τὰ εἰς μίαν βουλὴν γινόμενα εἰκὸς ἐκ τοῦ παραχρῆμα γίνεσθαι. Τοιοῦτόν ἐστι τὸ ὑπὸ βαρβάρου ποιητοῦ βαρβάρως προενεχθὲν,

Καὶ, ὡς ψεύστης, νὰ χωρίζεται εἰς μίον τὴν κεφαλήν του·

ὅπου τὸ, Ε ἰ ς μ ί ο ν οὐδὲν ἐστιν ἕτερον ἢ τὸ Ε ἰ ς μ ί α ν, Δ ι ά μ ι α ν, ἢ, Δ ι ά μ ι ᾶ ς (λέγεται γὰρ καὶ οὕτως), καὶ χυδαιέστερον Γ ι α μ ι ά, οἷον τὸ ὑφ' ἑτέρου λεχθὲν,

Ὁρίζει κ' ἤρθασι γιαμιὰ ὀμπρός του οἱ καβαλλάροι.

— στ. 5, **Πεντακισχιλίων.** ] πλείους τῶν δισμυρίων λέγει ὁ Σικελιώτης Διόδωρος (ις', 9) τοὺς προσγενομένους Δίωνι κατὰ τὴν ὁδὸν, μικρὸν δ' ὑποβὰς (ις', 10), τὸν σύμπαντα στρατὸν, κατελθόντος ἤδη τοῦ Δίωνος εἰς τὴν πόλιν, οὐκ ἐλάττους τῶν πεντακισμυρίων γεγονέναι φησί. Ἴσως καὶ ἐν τῷ προκειμένῳ Πλουτάρχου χωρίῳ ἀντιγραφέων ἁμαρτίᾳ τὸ Π ε ν τ α κ ι σ χ ι λ ί ω ν ἐνοσφίσατο τὴν χώραν τοῦ Π ε ν τ α κ ι σ μ υ ρ ί ω ν. — στ. 7, **Κινήσαντος.** ] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ν ι κ ή σ α ν τ ο ς. Σημειοῦ καὶ τὸ τοῦ παρακμάζοντος ἑλληνισμοῦ ἐλλειπτικὸν, Κ ι ν ῶ, ἐφ' ἧς καὶ νῦν τάσσομεν αὐτὸ σημασίας τοῦ Ἀ π α ί ρ ω ἢ, Ἀ π έ ρ χ ο μ α ι, Ἔ στι καὶ παρὰ τοῖς Ἑβδομήκοντα, οἷον (Γενεσ. κ, 1), « Καὶ ἐκίνησεν ἐκεῖθεν Ἀβραὰμ εἰς γῆν πρὸς Λίβα ». Πρὸ δὲ τούτων ἐχρήσατο Πολύβιος (β', 54, § 2) τῷ ῥήματι, « Ἐκίνει, ποιούμενος » τὴν πορείαν ὡς ἐπ' Ἀρκαδίας ». — στ, 13, **Προσαγωγέας.** ] ΠΡΔ,

ΑΤ, Προσαγωγίδας. Ἐμνημόνευσε τῶν καταράτων τούτων προσαγωγέων καὶ ἀλλαχοῦ (Περὶ πολυπραγμ. § 16) «Τοὺς δὲ προσαγωγέας » οἱ Διονύσιοι τοῖς Συρακουσίοις κατέμιξαν· ὅθεν ἐν τῇ μεταβολῇ τῶν » πραγμάτων τούτους πρώτους οἱ Συρακούσιοι συλλαμβάνοντες ἀπ- » ετυμπάνιζον». Εἰσὶ δὲ προσαγωγεῖς οἱ ἐν τῇ συνηθείᾳ Καταβάλται, ἢ Καταδόται, παρὰ τὸ Καταβάλλω καὶ Καταδίδωμι, ῥήματα σημαίνοντα συγγενεῖς κακίας αἷς οἱ ἀρχαῖοι ἐδήλουν διὰ τοῦ Διαβάλλω καὶ διὰ τοῦ Προδίδωμι.—στ. 17, Ἀποτυμπανιζόμενοι.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τυμπανιζόμενοι. Τυμπανίζεσθαι καὶ Ἀποτυμπανίζεσθαι ἐλέγοντο οἱ τῷ τυμπάνῳ προσδούμενοι καὶ τυπτόμενοι. Τὸ γὰρ Τύμπανον ἐδήλου παρὰ τοῖς ἀρχαίοις οὐ μόνον τὸ μουσικὸν ὄργανον, ἀλλὰ καὶ τὸ ᾧ προσέδουν τοὺς κολαζομένους ἀνάλογον τῷ ἀρσενικῶς παρ' ἡμῖν καλουμένῳ (κατ' εὐθεῖαν πτῶσιν) Φάλαγγας, πρὸς δὲ καὶ τὸ ξύλον αὐτὸ ᾧπερ ἔτυπτον αὐτούς. «Τύμπανον, ὃ αἱ Βάκχαι κρούουσιν, ἢ εἶδος τιμωρίας» φησὶν Ἡσύχιος· καὶ πάλιν ὁ αὐτὸς, «Τυμπανίζεται, πλήσσεται, ἐκ- » δέρεται, ἰσχυρῶς τύπτεται» ὅπου τὸ Ἐκδέρεται, οὐδὲ μεταβαλεῖν ἐςὶ εἰς τὸ πιθανώτατον, Δέρεται, διότι καὶ ἐπὶ τοῦ τὸ δέρμα ἀφαιρεθῆναι εἰσὶν οἱ τετάχθαι τὸ, Τυμπανισθῆναι, ὑπειλήφασιν, ὥσπερ ἕτεροι καὶ ἐπὶ τοῦ κρεμασθῆναι, καὶ ἄλλοι ἐπὶ τοῦ ἀποκεφαλισθῆναι· «Τυμπανίζεται (φησὶ Φώτιος), ξύλῳ πλήσσεται, ἐκδέρεται » καὶ κρεμᾶται»· ὁ δὲ Χρυσόστομος τὸ παρὰ τῷ Ἀποστόλῳ (Πρὸς Ἑβρ. ιά, 34) Ἐτυμπανίσθησαν, ἐξηγεῖται διὰ τοῦ Ἀπεκεφαλίσθησαν. Περὶ ὧν ὁ βουλόμενος ἐπίτω τὸν διὰ μακρῶν περὶ τῆς διαφωνίας ταύτης φιλολογήσαντα Γατακῆρον (Gataker. Miscell. posth. cap. 49, pag. 907-914) Τούτων οὕτως ἐχόντων, εἰκὸς καὶ τὸ ἐπὶ τοῦ προκειμένου Πλουταρχείου χωρίου, Ἀποτυμπανιζόμενοι, ἄλλους ἄλλως ἐκδέξασθαι· προέχειν μέντοι μοι δοκεῖ, ἡ ἐπὶ τοῦ, ξύλοις ἀναιρεθέντες ἐκδοχὴ, ὥσπερ ἡρμήνευσεν ὁ Α, on les assoma à coups de baston. Σημαίνει γὰρ τὸ τυμπανίζω, οὐ μόνον τὸ ξύλῳ τύπτω, ὃ καὶ ἡ συνήθεια ἐφύλαξε Τυμπανίζω, καὶ Τουμπανίζω, πρὸς δὲ καὶ Στουμπανίζω (Ἡλιοδώρ. Β, σελ. 87), λέγουσα, ἀλλὰ καὶ τὸ ξύλῳ κτείνω, ὃ Πολύβιος (ζ', 37) διὰ τοῦ ξυλοκοπεῖν ἐξέφρασεν (τοῦ παρ' ἡμῖν ξυλοκοπεῖν, οὐδὲν πλέον σημαίνοντος τοῦ ξύλῳ δέρειν), ὥσπερ καὶ τὸν τυμπανισμὸν διὰ τοῦ ξυλοκοπία. Διὸ καὶ ὁ Ἐτυμολόγος (σελ. 124), «Ἀποτυμπανίσαι, οὐχ ἁπλῶς τὸ » ἀποκτεῖναι, ἀλλὰ τυμπάνῳ· ἀπὸ τυμπάνου, ὅ ἐςι ξύλον, ὅπερ

σκυτάλην

» σκυτάλην καλοῦσι. Τὸ γάρ παλαιὸν ξύλοις ἀνήρουν τοὺς πολεμίους, » ὕςερον δὲ τῷ ξίφει.» — στ. 26, Διακεκοσμημένους.] Οὐχ ἁπλῶς ἐπὶ τοῦ κεκοσμημένους, ἀλλ' ἐπὶ τοῦ διατεταγμένους, τουτέστι πορευομένους ἐν τῇ αὐτῇ τάξει, καθ' ἣν καὶ μαχομένους ἄλλους ἐπ' ἄλλοις ἔδει τετάχθαι. Καὶ ἔςιν ἡ λέξις τῶν Τακτικῶν, ὥσπερ καὶ ὁ σημαίνων τῶν ςρατευομένων τὴν διάταξιν Διάκοσμος. Διὸ κἀκεῖνο τῆς Ὁμηρικῆς Βοιωτίας τὸ μέρος, ἔνθα τοῦ Ἑλληνικοῦ ςρατοῦ ἐςιν ὁ κατάλογος, Ἑλληνικὸς διάκοσμος ὀνομάζεται, καθὰ καὶ τὸ τὴν καταρίθμησιν ἀφηγούμενον τῶν Τρώων, Τρωϊκὸς διάκοσμος, ὃν καὶ ἐξηγήσατο Δημήτριος ὁ Σκήψιος διὰ πολυβίβλου συγγράμματος, ἐπιγραφομένου, Περὶ τοῦ Τρωϊκοῦ διακόσμου.

ΣΕΛΙΔ. 156, στ. 4, Προσαγορεῦσαι.] Ἴδε ἀνωτέρω σελ. 370.— στ. 7, Προχύταις. Κυρίως μὲν Προχύται οἱ αὐτοὶ ἂν εἶεν τοῖς ἐπὶ τῶν θυσιῶν βαλλομένοις Οὐλοχύταις, τουτέστι κριθαῖς ἁλσὶ μεμιγμέναις· «Προχύτας, οὐλάς, ἀπαρχάς» φησὶν Ἡσύχιος. Ἐνθάδε δὲ ἐπὶ τῆς φυλλοβολίας καὶ καρποβολίας ἐκληπτέον, ὡς ἡρμήνευσεν ὁ Στέφανος ἐν τῷ Θησαυρῷ (Τόμ. Δ, σελ 503). — στ. 7, Προστρεπομένων.] Ἐξ ΗΔ (ὑπονοησάντων τοῦτο καὶ τῶν ΠΡ, καὶ ἐκφράσαντος τοῦ Α), ΑΤ, Προτρεπομένων. Ἔπιθι τὰ διὰ μακρῶν ἀλλαχοῦ (Πλουτάρχ. Ε, σελ. 370) σημειωθέντα μοι...—στ. 9, Ἡλιοτρόπιον.] Ἡλιακὸν ὡρολόγιον· οὗ μνημονεύει καὶ ὁ Ἀθήναιος (έ, σελ. 207). — στ. 10, Προβάς.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Προσβάς. — στ. 23, Τὰς πανοπλίας. ] ΠΡΔ ἡ προσθήκη τοῦ ἄρθρου. — στ. 30, Ῥαστώνην.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ῥαστώνης.—Ὧν ἂν αὐτοὶ μὴ σύμψηφοι γένωνται.] Ἐξ ΗΔ ἡ προσθήκη τοῦ, Ἄν, καὶ τοῦ, Μή. Ὁ νοῦς, Ῥαστώνην στρατειῶν, τουτέστιν, ἄδειαν τοῦ μὴ στρατεύεσθαι ἐν ἐκείνοις τοῖς πολέμοις, οἷς ἂν Διονύσιος πολεμῇ δίχα ψήφου καὶ συναινέσεως τῶν Συρακουσίων. Οὕτως ἐδέξατο καὶ ὁ Α τὸ χωρίον, ne seroient plus travaillez de guerres, si non de celles qui seroient entreprises du vouloir et consentement d' eulx mesmes, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Ῥαστώνην στρατειῶν, πλὴν ὧν αὐτοὶ σύμψηφοι γένωνται· ὅπερ ταὐτὸ σημαίνει τῇ ἡμετέρᾳ διορθώσει.

ΣΕΛΙΔ. 157, στ. 8, Ἐδοκίμασε.] Ἐξ ΗΔ (συναδούσης τοῖς μεταφρασταῖς) ΑΤ, Ἐδοκίμαζε.—στ. 18, Πλὴν τῶν ξένων.] Ἐκ ΔΓ, ΑΤ, Πλὴν καὶ ξένων.—στ. 19, Οὐδ' οὗτοι δὲ τῆς βοηθείας τὸν ΤΡΟΠΟΝ συνεφρόνουν. Ἴσ. γρ. ΤΟΠΟΝ, ἵν' ᾖ, Οὐκ ᾔδεισαν ὅποι χρὴ βοηθεῖν, κωλυόμενοι ἀκοῦσαι ὑπὸ τῆς κραυγῆς καὶ πλάνης κ. τ. λ.

ΣΕΛΙΔ. 158, στ. 2, Ὧν κατακλασθέντων, κατέπεσεν ὁ Δίων.] Ὧν λογχῶν καὶ δοράτων κατακαμφθέντων, ὑπὸ τοῦ βάρους κατέπεσεν ὁ Δίων· « Κλᾶν, κάμπτειν» φησὶν Ἡσύχιος.—στ. 9, Πλήκταις.] Πλήκτης, « μάχιμος, ὑβριστής » παρ' Ἡσυχίῳ· καὶ τὴν Πληγὴν δὲ ἐπὶ τῆς μάχης ἔταξεν Ἡρόδοτος (β΄, 64).—στ. 10, Ἀνεστέλλοντο,] « Ἀνεστέλλοντο, ὑπεχώρουν » Ἡσύχιος.—στ. 15, Ἑκατὸν μναῖς ἐστεφάνωσαν.] Οὐκ ἐπὶ τοῦ κυρίως, τὴν κεφαλὴν ἔστεψαν, ἀλλ' Ἑκατὸν μνῶν δωρεᾷ ἐτίμησαν· ὡς ἐξεδέξαντο καὶ οἱ μεταφρασταί, καὶ διδάσκει ὁ Ἁρποκρατίων. « Στεφανῶν τοὺς νενικηκότας, Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου, » ἀντὶ τοῦ τιμῶν· καὶ Λυκοῦργος ἐν τῷ Περὶ τῆς διοικήσεώς φησιν· » Ἀλλὰ μὴν καὶ Καλλισθένην ἑκατὸν μναῖς ἐστεφα-» νώσατε. Καὶ παρ' ἄλλοις ἐπὶ ταύτης τῆς ἐννοίας τὸ στεφανοῦν », κ. τ. λ.—στ. 19, Τῷ Δίωνος.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τοῦ Δίωνος. Ἑτέρα ΔΓ, Τῷ τοῦ Δίωνος.

ΣΕΛΙΔ. 159, στ. 2, Καὶ τὸ μάλιστα κινῆσαν αὐτόν.] Τὸ μάλιστα παροξῦναν καὶ παροργίσαν τὸν Δίωνα.—στ. 7, Εἰσήει τοὺς Συρακουσίους.] Ἐξ ΕΔ, ΑΤ, Εἰσήει τοῖς Συρακουσίοις. Ἐπιθὲ τὰ ἀλλαχοῦ (Ἰσοκράτ. Β, σελ. 140) περὶ τῆς τοιαύτης τοῦ Εἴσειμι καὶ τοῦ συνωνύμου, Εἰσέρχομαι, συντάξεως.—στ. 9, Πρὸς τοιαύτας οἰκειότητας.] Οἷαι ἦσαν αἱ οἰκειότητες τέκνου ἀδελφῆς καὶ γυναικός, ἃς ἠπείλει κτενεῖν Διονύσιος.—στ. 12, Ἀνεπτοήθησαν.] Ἢ ἡμάρτηται ἀντὶ τοῦ, Ἀνεπτερώθησαν (ἰδ. Πλουτάρχ. Μέρ. Δ, σελ. 336), ἤ, ὡς ὁ Βουδαῖος οἴεται οὐκ ἀπιθάνως, ταὐτὸ σημαίνει τῷ Ἀνεπτερώθησαν.—στ. 29, Δεδομένην.] Ἴσ. γρ, Διδομένην.

ΣΕΛΙΔ. 160, στ. 5, Ῥοπῆς ὀλίγης δεομένῳ.] « Ῥοπή, κλίσις, » νεῦμα, κ. τ. λ. » φησὶν Ἡσύχιος. Ἡ μεταφορὰ ἀπὸ τοῦ ζυγοῦ.—στ. 14, Λυπεῖν.] Τοὺς Συρακουσίους.

ΣΕΛΙΔ. 161, στ. 7, Πρὸς αὑτούς.] Τουτέστι, πρὸς ἀλλήλους. Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Πρὸς αὐτούς.—στ. 10, Τὸ μέσον ὑπὸ ΒΑΡΟΥΣ πιέζουσι.] Ἐξ ΗΔ, ΑΓ, ΒΑΘΟΥΣ. Ὁ νοῦς, αἱ τῷ ξίφει γινόμεναι, τουτέστιν αἱ ἄνωθεν πρὸς τὰ κάτω φερόμεναι πληγαὶ μάλιστα τὸ μέσον πιέζουσι καὶ διαιροῦσιν ὑπὸ τοῦ βάρους, καὶ οὐχ ὁμοίως ταῖς ἐπιπολῆς τομαῖς, ἢ νύξεσι, τὰ ἐκ πλαγίων, καὶ κατ' ἐπιφάνειαν μέρη σπαράττουσι. Συνέχεαν δὲ καὶ ἀλλαχοῦ (Πλουτάρχ. Δ, σελ. 499) οἱ ἀντιγραφεῖς τὰ ἐκ τῶν δύο τούτων λέξεων παράγωγα Βαρεῖα καὶ Βαθεῖα· ἔνθα καὶ τὴν γένεσιν τοῦ ἐν τῇ συνηθείᾳ Βαρῶ, ἐπὶ τοῦ πλήττω, ἀνεπτύξαμεν.—στ. 18, Προερχόμενος.] Ἐξ ΕΔ, ΑΤ, Προσ-

ερχόμενος.—στ. 24, Ἐν ὑποψίαις εἶχον.] Ἡ συνήθεια, Εἶχαν εἰς ὑποψίαν. στ. 25, Κατὰ θάλατταν, ἐπειδὴ Φίλιςος.] Ἐκ ΔΓ (συναδούσης τῷ Α) καὶ ἡ ςίξις καὶ ἡ γραφὴ, ΑΤ, Κατὰ θάλατταν. Ἐπεὶ δὲ Φίλιςος.—στ. 29, Ὑφ' ἑαυτοῖς.] Ἐξ ΗΔ, (συναδούσης τῷ Ἰταλῷ μεταφραςῇ) ΑΤ, Ἐφ' ἑαυτοῖς.—Ναυβάταις.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ναυάταις.

ΣΕΛΙΔ. 162, στ. 12, Ἐκ τοῦ σκέλους... τὸν νεκρὸν ἐφαψάμενα.] Γραπτέον Ἀφαψάμενα.—στ. 14, Συρακουσίων.] ΔΓ, Συρακο.σίων πάντων.—στ. 17, Ὑφ' αὐτοῦ. Ἐκ ΔΓ, ΑΤ, Ὑπ' αὐτοῦ.—στ. 22, Εἰς ἀναίσθητον.] Εἰς τὸν νεκρὸν τοῦ Φιλίςου.—στ. 24, Τῷ δὲ λόγῳ χρωμένους.] Τῷ δὲ λόγῳ Φιλίστου, τῇ ἱςορίᾳ τῇ ὑπὸ Φιλίςου συγγραφείσῃ· ὡς ἐξεδέξατο ὁ Λατῖνος μεταφραςὴς, τῶν λοιπῶν κακῶς ἐκλαβόντων τὴν λέξιν ἐπὶ τοῦ λόγου ᾧ λογικοὶ καλούμεθα.—Ἡ δόξα.] Τοῦτο οἱ μεταφραςαὶ, ἐπὶ τῆς τῶν συγγραφόντων ὕςερον τὰ πεπραγμένα δόξης ἐξέλαβον, ὥσπερ ἂν εἰ παραφράζων τις εἴποι, Ἡ φροντὶς τῆς οἰκείας δόξης παραιτεῖται τοὺς ἱςοροῦντας μὴ ὀνειδίζειν μετὰ βωμολοχίας τὰς συμφορὰς ὧν ἱςοροῦσιν ἀνδρῶν. Ἄμεινον μέντοι πρὸς τὸν Φίλιςον ἀναφέρειν τὴν λέξιν, ἵν' ᾖ, Ἡ δόξα τοῦ Φιλίςου παραιτεῖται κ. τ. λ. Ἦν γὰρ τῶν ἐνδόξων ἱςορικῶν ὁ Φίλιςος.—στ. 28, Ὅς.] Ὅς Φίλιστος, ὥσπερ ἐξεδέξατο ὁ Α, καὶ οὐχ, Ὅς Ἔφορος, καθάπερ ἡρμήνευσεν ὁ Ἰταλὸς μεταφραστής.

ΣΕΛΙΔ. 163, στ. 10, Γύατα.] ΔΓ, Γύαρτα.—στ. 30 Καταςχεῖν.] Ἴσ. γρ. Κατέχειν.

ΣΕΛΙΔ. 164, στ. 3, Ὑπὸ δεισιδαιμονίας.] Ἐξ ΗΔ, ΑΤ, Ἀπὸ δεισιδαιμονίας.—στ. 17, Ὑπῆγον.] Ἀνεχώρουν, ἀπήρχοντο· παρὰ τὸ Ὑπάγω, ὃ καὶ ἡ συνήθεια ἐτήρησεν ἐπὶ τῆς αὐτῆς σημασίας. Λέγομεν δὲ κατὰ παραγωγὴν καὶ, Ὑπαγένω (χυδ. Παγένω), ἴσως παρὰ τὸ Ὑπαγινέω τροπῇ τοῦ ι εἰς ε· Ἀγινέω γὰρ ἔλεγον οἱ Ἴωνες τὸ Ἄγω.—στ. 26, Ὑπερφαινομένων τὰ τείχη.] Καινῶς, ἢ μᾶλλον κακῶς; πεφρασμένον ἀντὶ τοῦ Ὑπερφαινομένων τῶν τειχῶν (τουτέστι φαινομένων ἐπάνω τῶν τειχῶν, ἢ ὑπὲρ τὰ τείχη), κατὰ τὸ ὀρθότερον ἀλλαχοῦ (Πλουτάρχ. Μέρ Γ, σελ. 20) εἰρημένον, Θυρεοὺς ὑπερφαινομένους τοῦ ποταμοῦ.

ΣΕΛΙΔ. 165, στ. 3, Ἀπέςρεψεν.] ΠΡΔ, ΑΤ, Ἐπέτρεψεν. Γραπτέον ἴσως, Ἀπέτρεψεν καθ' ἑτέραν ΔΓ.—στ. 14, Ἀνελάμβανον.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἀπελάμβανον.—στ. 15, Τὰ δίκαια τοῖς ξένοις ποιεῖν.] Παραπλησίᾳ χρώμεθα φράσει νῦν, οἷον, Παρακαλῶ σε νὰ

μοῦ κάμης δικαιοσύνην.—στ. 16, Ἔπεμψαν.] ΔΓ, Ἔπεμπον. —στ. 19, Ἐνέμειναν.] Ἐκ ΔΓ, ΑΤ, Ἐνέμενον.

ΣΕΛΙΔ. 166, στ. 4, Διαθρύψας.] Παρὰ τὸ ἁπλοῦν Θρύπτω· ὃ κυρίως σημαίνει τὸ εἰς μικρὰ κόπτω καὶ συντρίβω· ὅθεν καί, « Θρύ- » ματα, κλάσματα ἄρτου » παρ' Ἡσυχίῳ, ἅπερ ἡ συνήθεια, Θρούβαλα, λέγει (ἴδ. Ἡλιοδώρ. Β, σελ. 63), παρὰ τὸ Θρύβαλα δηλονότι, παράγωγον τοῦ συνήθους καὶ θεματικωτέρου Θρύβω, ὥσπερ λέγομεν καὶ Κρύβω, τὸ Κρύπτω, καὶ Σκύβω τὸ Κύπτω καὶ ἄλλα τοιαῦτα οὐκ ὀλίγα. — στ. 5, Ἐφῆκε.] Ἐξ ΕΔ, ΑΤ, Ἀφῆκε· οὕτως γὰρ καὶ ἐν τοῖς ἑξῆς (§ 44, σελ. 168), « Ἐφεὶς τοὺς μισθο- » φόρους » ἐρεῖ, καὶ οὐκ Ἀφιείς. —στ. 18, Ἀβουλίαν.] « Ἀβουλία, » μωρία », φησὶν Ἡσύχιος.—στ. 29, Πέντε τοὺς περὶ Ἑλλάνικον. ] ΔΓ, Πέντε, ἐν οἷς τοὺς περὶ Ἑλλάνικον. Ὀρθώτερον δ' ἂν γράφοις, Πέντε, ἐν οἷς καὶ τοὺς περὶ Ἑλλάνικον, μετὰ τοῦ συνδέσμου, τουτέστι πέντε, ἐν οἷς ἦν καὶ ὁ Ἑλλάνικος, ἢ ὧν εἷς ἦν καὶ ὁ Ἑλλάνικος.—στ. 30, Ἀπὸ ῥυτῆρος.[ Ὅπερ οἱ Γάλλοι ἐκφράζουσι διὰ τοῦ à bride abattue· ἔστι δὲ τοῦτο τὸ χαλάσαντα τὰς ἡνίας ἐφεῖναι τῷ ἵππῳ τρέχειν ᾗ τάχους ἔχει. « Ῥυτῆρες (φησὶν Ἡσύχιος), ἡνίαι, ἱμάντες τῶν ἵππων, οἷον ἑλκυστῆρες ».

ΣΕΛΙΔ. 167, στ. 2, Προσπεσόντες.] Ἔσωσεν ἡ συνήθεια τὸ Προσπίπτω (χυδ. Προσπέφτω) ἐφ' ὁμοίας ἐννοίας· Ἐπρόσπεσε γὰρ λέγομεν περὶ τοῦ γνωσιμαχήσαντος, καὶ τῶν ἡμαρτημένων συγγνώμην αἰτοῦντος, καί, Πρόσπεσμα (κατὰ συγκοπὴν ἐκ τοῦ Προσπέσημα), τὴν τοιαύτην αἴτησιν.—στ. 18, Βουλεύεσθαι.] ΔΓ, Βουλεύσασθαι.—στ. 22, Ὑμέτερον ἔργον οὖσαν ὀρθοῦτε τὴν Συρακουσίων πόλιν.] Οὕτως ἐστιγμένον ὑπὸ τῶν ΠΡ τὸ χωρίον Ὑμέτερον ἔργον. Οὖσαν ὀρθοῦτε κ. τ. λ., ὥστε καὶ ἀδιανόητον εἶναι, διώρθωκα συνάψας, ὥσπερ καὶ οἱ μεταφρασταί, τὰς δύο πρώτας λέξεις ταῖς ἐχομέναις. Ὁ νοῦς, Ἀνορθοῦτε τὴν πόλιν τῶν Συρακουσίων, οὖσαν ὑμέτερον ἔργον, τουτέστι κτίσμα· Πελοποννησίων γὰρ ἄποικος ἦν ἡ πόλις, Ἀρχίου τοῦ Κορινθίου κτίσαντος αὐτήν, ὥς φησι Θουκυδίδης (ϛ, 3).

ΣΕΛΙΔ. 168, στ. 30, Πυροβόλους.] Πολεμικὸν ὄργανον ὁ Πυροβόλος, κατ' ἔλλειψιν οὐσιαστικοῦ, τοῦ Οἰστὸς, λεγόμενος, ἢ δῆλον ἐκ Θουκυδίδου (β 75), Πυρφόρους οἰστοὺς, ἐντελῶς εἰρηκότος. Ἦν δὲ βέλος, οὗ τὸ ἄκρον, περιειλημμένον στυππείοις, θείῳ καὶ πίσσῃ ἀληλιμμένοις, ἀνήπτετο πρὸ τοῦ ἐκτοξευθῆναι. Καὶ ἀπὸ χειρὸς δὲ

ἐβάλλοντο λόγχαι τὸν αὐτὸν τρόπον πεπυρωμέναι, ἃς ὁ παρακμάζων Ἑλληνισμὸς Χειροβαλίςρας ἐκάλει, ὁ δὲ παρηκμακὼς, Φαλαρίκας, ἀπὸ τοῦ Ῥωμαϊκοῦ, Falarica. « Φαλάρικα, εἶδος λόγχης » φησὶν Ἡσύχιος. Καὶ τοῦτο μὲν δηλοῦσιν οἱ παρὰ τοῖς ἀρχαίοις Πυροβόλοι· παρ' ἡμῖν δὲ τὰ οὐδετέρως Πυρόβολα, ἢ Πυροβολικὰ, καλούμενα, τὰ παρ' ἐκείνοις Πυρεῖα σημαίνει, τουτέςι τὰ εἰς πυρὸς ἔναυσιν ἐπιτήδεια ἐργαλεῖα (ἴδ. Σχολ. Σοφοκλ. Φιλοκτ. 35).

ΣΕΛΙΔ. 169, στ. 3, Πολλῶν.] Οἰκιῶν.— στ. 13, Αὐτοῦ τε τετρωμένου, τῆς τε πόλεως.] Ἐξ ΕΔ, ΑΤ, Αὐτοῦ δὲ τετρωμένου, τῆς δὲ πόλεως.— στ. 24, Ὀρθίους λόχους ποιῶν.] Πλεῖον ἔχοντας τὸ βάθος τοῦ μήκους. « Ὀρθία λέγεται φάλαγξ (φησὶ Σουΐδας), » ὅταν ἐπὶ κέρας πορεύηται, πολλαπλάσιον ἔχουσα τὸ βάθος τοῦ » μήκους. Καθόλου μὲν Παράμηκες λέγεται πᾶν τάγμα, ὃ ἂν τὸ » μῆκος ἔχῃ πλέον τοῦ βάθους. Ὄρθιον δὲ, ὃ ἂν τὸ βάθος τοῦ » μήκους ».

ΣΕΛΙΔ. 170, στ. 2, Φίλαυτος οὕτως ἦν.] Ἐξ ΠΔ (συναδούσης τοῖς μεταφρασαῖς) ΑΤ, Φίλαυτος ἦν. Προσθετέον εἶναι τὸ ἐπίῤῥημα ὑπενόησαν καὶ οἱ ΠΡ· προσετίθεσαν δ' οὐκ εἰς ὃν ἐχρῆν τόπον, παραινοῦντες γράφειν, Οὕτω φίλαυτος ἦν.— στ. 11, Διαπύροις. Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Διὰ πυρός.— στ. 13, Ὑποτρέχοντες.] Ἐξ ΕΔ, ΑΤ, Ἐπιτρέχοντες.— στ. 20, Ἀνῄρουν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἥρουν.— στ. 24, Κατασβεσάντων.] Ἐξ ΕΔ (συναδούσης τοῖς μεταφρασαῖς) οἱ ΠΡ, ΑΤ, Κατασκευασάντων. Οὕτως δὲ διόρθου πάλαι καὶ ὁ ἡμέτερος Πόρτος.

ΣΕΛΙΔ. 171, στ. 18, Οὗτοι κ. τ. λ.] Ἐξ ΗΔ, ΑΤ, Οὔ τι. Μετέβαλον δὲ καὶ τὴν ςίξιν ἐκ τῆς ἐρωτηματικῆς (ἣν ἡρμήνευσαν ὅ τε Α καὶ ὁ Λατῖνος μεταφραςής), εἰς τὴν ἀποφατικὴν, Οὗτοι καὶ Δίωνα δεῖ συμφθιαφθεῖραι τὴν ἀρετήν· ὥσπερ ἐξέφρασεν ὁ Ἰταλὸς μεταφραστής.— Τὴν ἀρετήν.] ΔΓ (οὐκ ἀπίθανος), Τὴν πόλιν.— στ. 26, Σταυρόν.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Τάφρον.

ΣΕΛΙΔ. 172, στ. 7, Εἰ καὶ τἄλλα.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Εἰ κατ' ἄλλα.

ΣΕΛΙΔ. 173, στ. 10, Πλεῖν ἐφ' ἡγεμονίᾳ.] ΔΓ, Πλεῖν ἡγεμόνα.— στ. 21, Κακοπραγμονοῦντος.] Πανουργοῦντος· ὅτι καὶ « Κακοπράγμων, πανοῦργος », καθ' Ἡσύχιον.— στ. 24, Οὐδὲν γὰρ ἦν ἔργον αὐτοῦ.] Οὐδεμία γὰρ ἦν χρεία ἢ ὠφέλεια αὐτοῦ. Τοῦτο κατὰ λέξιν ἐκφράσειεν ἂν ἡ τῶν Γάλλων φωνὴ διὰ τοῦ, on n' avoit

que faire de la marine. — στ. 27, 'Επιλείποντος.] 'Εξ ΗΔ (συναδούσης τῷ Α), ΑΤ, 'Επιλιπόντος.

ΣΕΛΙΔ. 174, στ. 18, Πρῶτον.] 'Εκ ΔΓ, ΑΤ, Πρώτην. — στ. 30, Προκεχωρηκότων.] 'Εξ ΕΔ, ΑΤ, Προσκεχωρηκότων.

ΣΕΛΙΔ. 175, στ. 1, Πρότερον.] 'Εξ ΗΔ (ἣν ὑπενόησε καί τις τῶν ΠΡ), ΑΤ, Πρῶτον. — Ἢ καὶ τὸ φίλοις.] Περιττὸς ὁ δεύτερος τῶν συνδέσμων, πλὴν εἰ μὴ καθ' ὑπερβιβασμὸν οὕτως ἐτέθη ἀντὶ τοῦ, Ἢ τὸ καὶ φίλοις. — στ. 14, Ἀλλ' ἐκείνῳ μὲν Πλάτων ἔγραφεν.] Ἔγραφε δὲ οὕτως ('Επιστολ. δ'), « Τὸ δὲ νῦν ὑπάρχον περὶ σὲ τοιοῦ» τόν ἐστιν, ὥστε τοὺς ἐξ ἁπάσης τῆς οἰκουμένης (εἰ καὶ νεανικώ» τερόν ἐστιν εἰπεῖν) ε ς ἕνα τόπον ἀποβλέπειν· καὶ ἐν τούτῳ μάλιστα » πρὸς σέ. Ὡς οὖν ὑπὸ πάντων ὁρώμενος, παρασκευάζου τόν τε Λυ» κοῦργον ἐκεῖνον ἀρχαῖον ἀποδείξειν καὶ τὸν Κῦρον, καὶ εἴτις ἄλλος » πώποτε ἔδοξεν ἤθει καὶ πολιτείᾳ διενεγκεῖν ». 'Επισυναπτέον δὲ τούτοις καὶ ἃ προελθὼν ὁ Πλάτων ἐν τῇ αὐτῇ ἐπιστολῇ γράφει πρὸς Δίωνα, ἵνα καὶ τὸ ἐν αὐτοῖς ἡμῖν γε δοκοῦν γραφικὸν ἁμάρτημα διορθώσωμεν· « Ταῦτα δὲ ἴσως γελοῖόν σοι φαίνεται εἶναι τὸ ἐμὲ λέγειν, » διότι καὶ αὐτὸς οὐκ ἀγνοεῖς. 'Εγὼ δὲ καὶ ἐν τοῖς θεάτροις ὁρῶ τοὺς » ἀγωνιστὰς ὑπὸ τῶν ΠΑΙΔΩΝ παροξυνομένους, μήτι δὴ ὑπό γε τῶν » φίλων ». ΠΟΛΛΩ̃Ν γὰρ δοκεῖ μοι γραπτέον εἶναι. — στ. 30, 'Εκκλησιάσειν.] 'Εξ ΗΔ, (συναδούσης τοῖς μεταφρασταῖς), ΑΤ, 'Εκκλησιάζειν.

ΣΕΛΙΔ. 176, στ. 7, Παντοπώλιον.] Ἴδε Πλάτωνα (Πολιτ. ή, σελ. 557) περὶ τούτου. — στ. 8, Κολούειν.] 'Εξ ΗΔ (συναδούσης τῷ Α), ΑΤ, Κωλύειν. — στ. 10, Ἔχον.] 'Εκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἔχων. — στ. 14, Εὐμετάθετος.] ΔΓ, Εὐμετάβολος. — στ. 23, Κάλλιππος.] οὕτως ὀνομάζει καὶ ἀλλαχοῦ (Περὶ δυσωπ. § 4, καὶ Περὶ τῶν ὑπὸ τοῦ Θ. βραδ. τιμωρουμ. § 8) Πλούταρχος τὸν παμμίαρον τοῦτον ἄνδρα· Κορνήλιος δὲ Νέπως (Dion. § 8), Καλλικράτην. — στ. 24, Οὐκ ἀπὸ ΠΑΙΔΕΪΑΣ, ἀλλ' ἐκ μυσταγωγιῶν, καὶ τῆς περιτρεχούσης ἑταιρείας.] ΔΓ (ἢ μᾶλλον ἐξήγησις), Παρατυχούσης. Νοητὰ μᾶλλον ἂν γένοιτο τὰ λεγόμενα, αὐτὰς Πλάτωνος ('Επιστολ. ζ') παραθεμένοις τὰς λέξεις· « Ὕστερον δὲ δὴ κατιὼν οἴκαδε » Δίων, ἀδελφὼ δύω προσλαμβάνει Ἀθήνηθεν, οὐκ ἐκ ΦΙΛΟΣΟΦΪΑΣ » γεγονότε φίλω, ἀλλ' ἐκ τῆς περιτρεχούσης ἑταιρείας ταύτης τῆς τῶν « πλείστων φίλων, ἣν ἐκ τοῦ ξενίζειν τε καὶ μυεῖν καὶ ἐποπτεύειν » πραγματεύονται ». Ἔνθα σημειοῦ πρῶτον, ὅτι διὰ τοῦ Δύω

ἀδελφώ, τὸν Κάλλιππον λέγει καὶ τὸν ἀδελφὸν αὐτοῦ, ὃν καὶ συμμετασχεῖν τοῦ φόνου, ἐν τοῖς ἑξῆς φησὶ Πλάτων. Οἱ δύο τοίνυν οὗτοι ἀδελφοὶ Δίωνα παραγενόμενον Ἀθήναζε οὐ μόνον ἐξένισαν, ἀλλὰ καὶ ἐμυσταγώγησαν, τουτέστι τὰ ἐν Ἐλευσῖνι μυστήρια μυηθῆναι παρεσκεύασαν. Σημειοῦ δεύτερον, ὅτι τὸ Περιτρεχούσης ἑταιρείας, σημαίνει τῆς κοινῆς καὶ ἐκ τοῦ προστυχόντος γινομένης φιλίας, παραπλησίᾳ μεταφορᾷ, ὥσπερ ἂν εἰ καὶ τῆς, Ἐκ τριόδου, ἢ τριοδίτιδος ἑταιρείας, ἔλεγε. Τρίτον, ἢ μᾶλλον πρώτιστον πάντων, ὅ ἐστί σοι σημειωτέον· ἣν γὰρ ὁ Πλάτων ὀνομάζει Φιλοσοφίαν, ταύτην ὁ Πλούταρχος Παιδείαν εἴρηκε συνωνύμως, ὡς οὐ μᾶλλον δυνατὸν ὂν παιδείας τυχεῖν δίχα φιλοσοφίας, ἢ ἐν ἡμέρᾳ εἶναι, μὴ φωτίζοντος τοῦ ἡλίου. Καὶ ἀναθεώρει ἐντεῦθεν τί βούλονται λέγειν ἐν ἡμῖν, οἱ παιδείαν μὲν ἐπαινοῦντες, τὴν φιλοσοφίαν δὲ ἐξωθεῖν τῆς Ἑλλάδος πειρώμενοι· ἢ γὰρ ἐπὶ τοσοῦτον ἥκασι μωρίας, ὡς μηδ' ἀντιφασκόντων ἑαυτῶν αἰσθάνεσθαι, ἢ κακῶς παιδευθεῖσιν ἑαυτοῖς συνειδότες, τὴν ἐξελέγξουσαν αὐτοὺς φιλοσοφίαν δεδίασι. — στ. 28, Ἦν καὶ λαμπρὸς κ. τ. λ. ] Ἐκ ΔΓ προσέθηκα τὸ ὑπαρκτικὸν ῥῆμα· ἀλλ' οὐδ' οὕτως ἔῤῥωται τὸ χωρίον, εἰ μὴ καὶ δεύτερον σύνδεσμον προσλάβοις, γράφων, Ἦν δὲ καὶ λαμπρὸς, ἢ χαίρειν ἐάσας ἐνθάδε τὸ ὑπαρκτικὸν, ἐπὶ τέλους αὐτὸ ἀπαρεμφατικῶς προσθείης, Καὶ λαμπρὸς ἐν τοῖς ἀγῶσι καὶ διάσημος εἶναι.

ΣΕΛΙΔ. 177, στ. 6, Παρεσκεύασε. ] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Παρεσκεύαζε. — στ. 9, Ὑπ' αὐτοῦ. ] ΔΓ, Ὑφ' αὐτοῦ — στ. 20, Παστάδι. ] Ἐπὶ τῆς στοᾶς ἐνθάδε τοὔνομα, οὐκ ἐπὶ τοῦ νυμφικοῦ θαλάμου, ὃν καὶ Παστὸν ἀρσενικῶς (ὡς καὶ ἡ παρ' ἡμῖν συνήθεια) ἔλεγον. Δῆλον δὲ ἐκ τῶν ἐχομένων. Πρὸς θατέρῳ πέρατι τῆς στοᾶς. « Παστάδες (φησὶν Ἡσύχιος) παστοὶ, στοαὶ... καὶ τόποι ἔνθα ἐδείπνουν κ. τ. λ. » — Τῆς οἰκίας μόνος. ΕΧΩΝ πρὸς ἑαυτὸν τὴν διάνοιαν. ] Ἐξ ΗΔ καὶ ἡ στίξις καὶ ἡ τροπὴ τῆς μετοχῆς, ΑΤ, Τῆς οἰκίας, μόνος Ὢν πρὸς ἑαυτὸν τὴν διάνοιαν. Μόνος γὰρ καθέζεσθαι, ὁ μὴ μεθ' ἑτέρων καθεζόμενος, εἰκότως ἂν λέγοιτο, Μόνον δ' εἶναι πρὸς ἑαυτὸν τὴν διάνοιαν, οὐκ οἶδα εἴ τις εἴρηκεν. Ἔστι δὲ τὸ, Ἔχων πρὸς ἑαυτὸν τὴν διάνοιαν, παραπλήσιον οἷς ἑξῆς (§36, σελ. 212) ἐρεῖ Πλούταρχος περὶ Βρούτου, ἡνίκα κἀκείνῳ, ὥσπερ τῷ Δίωνι, ἐγένετο φάσμα, Συλλογιζόμενός τι καὶ σκοπῶν » πρὸς ἑαυτόν ». Καὶ ὅρα μή σε παρατρέψῃ ἡ τῶν δύο μεγάλων τούτων ἀνδρῶν, Δίωνός τε φημὶ καὶ Βρούτου, πρὸς δὲ καὶ τοῦ χρηστοῦ

Πλουτάρχου περὶ τὰ τοιαῦτα πίστις· οὐδέτερος γὰρ ἐκείνων εἶδεν ἀληθῶς τι, ἀλλ' ἰδεῖν ἑκάτερος ἔδοξε. Οἱ γὰρ πρὸς τὸ μελαγχολικὸν ἀπονενευκυῖαν σώματος κρᾶσιν ἔχοντες, εὐκίνητον ἔχουσι τὸ φανταστικὸν τῆς ψυχῆς μέρος, ἄλλως τε καὶ ἐν τύχαις δειναῖς καὶ πολυμερίμνοις ἐξεταζόμενοι. Τοιούτους οὖν ὄντας τὴν φύσιν Δίωνά τε καὶ Βροῦτον, ὡς ἐκ τῶν βίων αὐτῶν ἐστιν ἀναλέξασθαι καὶ τὴν ψυχὴν ὑφ' ὁμοίας μερίμνης σαλευομένους, πρὸς δὲ καὶ ἐν καιροῖς βιοῦντας, ἡνίκα φιλοσοφία οὔπω τὴν τῶν αἰσθήσεων πίστιν ἐξηκριβώκει, οὐ θαυμαστὸν καὶ φάσμασιν ἐνοχλεῖσθαι παραπλησίοις. Τεκμήριον δέ· οἷα γὰρ ἐκείνους ἰδεῖν ὁ χρηστὸς Πλούταρχος μετὰ σπουδῆς ἱστορεῖ, οὐδεὶς ἔτι περὶ τῶν τοιούτων λόγος παρά γε τοῖς ὑπὸ τῆς ἀεὶ τελειουμένης φιλοσοφίας καταλαμπομένοις ἔθνεσι. — στ. 24, Σαίρουσαν.] Λέγεται, Σαίρω, καὶ Σαρόω ῶ, ἐξ οὗ ἡ συνήθεια ἔπλασε τὸ Σαρόνω, συνώνυμον τοῦ Φλοκαλῶ κατὰ συγκοπὴν ἀπὸ τοῦ Φιλοκαλῶ (τὸ γὰρ Σκουπίζω παρὰ τὸ τῶν Ἰταλῶν ἐστι Scopare, ὥσπερ καὶ ἡ Σκοῦπα, (Scopa) καὶ τὰ Σκουπίδια). «Σαίρει, κοσμεῖ, φιλοκαλεῖ, καλ» λύνει» φησὶν Ἡσύχιος· καὶ αὖθις, «Σαρῶ, κοσμίζω». Καὶ τοῦ μὲν Σαίρω, παράγωγον τὸ Σάρμα, ὁ σαιρόμενος δηλονότι φορυτός· » Σάρματα, καλλύσματα, καὶ κόπρια» παρὰ τῷ αὐτῷ Λεξικογράφῳ. Τοῦ δὲ Σαρόω, τὸ Σάρωμα. — Καλλύντρῳ.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Καλύντρῳ. Ἐλέγετο καὶ Σάρον, καὶ Κόρηθρον, καὶ Κόρημα (παρὰ τὸ Κορέω τὸ δηλοῦν τὸ Σαίρω) «Σάρον, κάλλυντρον· Βυζάν» τιοι», φησὶν Ἡσύχιος. Ἡμεῖς δὲ νῦν Φιλοκαλίαν, καὶ Φλοκαλίαν, καὶ Σάρωμα· τούτῳ γὰρ οὐ μόνον τὸν σαιρόμενον φορυτὸν, ἀλλὰ καὶ τὸ σαῖρον ὄργανον σημαίνομεν, παραπλήσιόν τι παθόντος καὶ τοῦ Κόρημα παρὰ τοῖς ἀρχαίοις· κἀκεῖνο γὰρ, δέον τὸ κορούμενον σημαίνειν διά γε τὴν ἐκ τῆς παραγωγῆς ἀναλογίαν, ἐπὶ τοῦ κορήθρου τέτακται (Ἀριστοφάν. Εἰρ. 58),

——— Ὦ Ζεῦ, τί ποτε δουλεύει ποιεῖν;
Κατάθου τὸ κόρημα· μὴ κόρει τὴν Ἑλλάδα.

— στ. 29, Μεθ' ἡμέρας δ' ὀλίγας.] Ἐξ ΕΔ προσέθηκαν τὸν σύνδεσμον οἱ ΠΡ. — στ. 30, Μικρὰν ἐκ παιδιᾶς ἀρχήν.] ΠΡΔ, ΑΤ, Μικρὰν καὶ παιδιὰν ἀπαρχὴν, ΔΓ. Μικρὰν παιδικὴν ἀρχήν. Τὸ δὲ διὰ μικρὰν οὕτως αἰτίαν ἀφειδῆσαι τῆς ψυχῆς ἐν οὐδενὶ λόγῳ θέμενον τὸ λυπῆσαι τοὺς φύσαντας, ἱκανὸν καὶ καθ' ἑαυτὸ φιλοψύχου καὶ ἐκτεθηλυμμένου μειρακίου ἦθος ἐλέγξαι, εἰ καὶ μὴ

τοιοῦτον ὄντως γεγονέναι τοῦ Δίωνος τὸν υἱὸν ἐμαρτυρεῖτο ὑπὸ τοῦ Κορνηλίου Νέπωτος. Ὁ γὰρ Διονύσιος ἐπίτηδες ἐξεδιῄτησεν αὐτὸν, τοῦ πατρὸς ἀποδημοῦντος, πόρνας αὐτῷ καὶ πρὸ τῆς ἥβης εἰσάγων, καὶ πότους ὀικνεκεῖς παρασκευάζων, ὥστε μηδένα καιρὸν εἶναι τοῦ νήφειν αὐτὸν, nam puero, priusquam pubes esset, scorta adducebantur; vino epulisque obruebatur, neque ullum tempus sobrio relinquebatur (Cornel. Nep. Dion. § 4). Μὴ φέρων οὖν ὁ Νεανίσκος, εἰς ὃν ὁ πατὴρ ἐπανελθὼν ἐσπούδαζε μεταγαγεῖν αὐτὸν βίον, τοῦ καλῶς ζῆν τὸ αἰσχρῶς ἀποθανεῖν προείλετο, Is usque eò vitæ statum commutatum ferre non potuit, postquam in patriam rediit pater (namque appositi erant custodes, qui eum a pristino victu deducerent), ut sese superiore parte ædium dejecerit, atque ita interierit (Cornel. ibid.). Διὸ καὶ Δίων, καλῶς ποιῶν, οὐκ ἐπένθησε τοιούτου παιδὸς ἀπώλειαν· καὶ γὰρ, « Οὐδὲν ἐκπλαγέντα, τὸ μὲν σωμάτιον κελεῦσαι τοῦ μεταλλάξαντος ταῖς γυναιξὶ παραδοῦναι πρὸς τὴν νόμιμον ταφὴν, αὐτὸν » δὲ περὶ ὧν διεσκέπτετο μὴ παραλιπεῖν » φησὶ Πλούταρχος ἀλλαχοῦ (Παραμυθ. πρὸς Ἀπολλών. § 33).

ΣΕΛΙΔ. 178, στ. 22, Ἀπόμνυσι.] Ἴσως, ἐνθάδε γοῦν, γραπτέον, Ἐπόμνυσι, ἐπὶ τοῦ ἁπλῶς, Ὄμνυσι. — στ. 23, Ἀπομόσας.] Ἐνταῦθα μέντοι καλῶς ἔχει τὸ Ἀπομόσας· ἠρνεῖτο γὰρ ὁ Κάλλιππος δι' ὅρκου μήτ' ἐπιβουλεῦσαι, μήτ' ἐπιβουλεύσειν Δίωνι. — στ. 24, Κουρείοις.] Ἡ αὐτὴ ἔοικεν εἶναι ἑορτὴ τὰ Κούρεια, τοῖς παρὰ τοῖς ἄλλοις καλουμένοις Θεσμοφορίοις· παρὰ τὴν Κόρην παῖδα τῆς Δήμητρος, τὴν καὶ Περσεφόνην. Διὸ καὶ, Κορείοις, γράφειν τινὲς παρῄνεσαν, ὡς φέρεται παρὰ τῷ Σχολιαστῇ τοῦ Πινδάρου (Ὀλυμπ. ζ, 153).

ΣΕΛΙΔ. 179, στ. 4, Κατέχειν.] Ἄγχειν, γράφειν τις παρῄνει τῶν ΠΡ. Ἴσως γραπτέον, Κατάγχειν. Τούτων δὲ θάτερον ἡρμήνευσε καὶ ὁ Α διὰ τοῦ estrangler. — στ. 11, Δεδιττόμενον.] Οὐκ ἐρρῶσθαι τὴν λέξιν καὶ οἱ ΠΡ συνῆκαν· τίνα δ' ἀνθυποβαλεῖν ἑτέραν αὐτῇ χρὴ, ἄμεινον ἐπέχειν, ἢ ὃ παρῄνεσέ τις, Πεπνιγμένον, ἀποδέχεσθαι. Οἱ μεταφρασταὶ ἡρμήνευσαν ὡς συνώνυμον τοῦ Δεδοικότα ἢ Ἐκπεπληγμένον· ἀλλ' ἄτοπον ἔοικεν εἶναι τὸ δέος ἐπὶ τοῦ Δίωνος, ὄντος τε καὶ νομιζομένου τῶν ἀνδρῶν ἐκείνων εἶναι, πρὸς οὓς εἰκότως ἄν τις ἐπιφθέγξαιτο τὸ (Ἰλιάδ. β, 190),

Δαιμόνι', οὔ σε ἔοικε, κακὸν ὣς, δειδίσσεσθαι.

Ἴσως ἄμεινον ἐφ' ἧς καὶ κατωτέρω (Γαλ6. § 13, σελ. 209) χρήσεται Πλούταρχος μεταβατικῆς ἐννοίας ἐκλαβεῖν τὸ Δεδιττόμενον, τουτέστι δι' ἀπειλῶν καὶ ἀνατάσεων ἐκφοβοῦντα τοὺς κρατοῦντας καὶ διαχρήσασθαι σπουδάζοντας αὐτόν· πλὴν εἰ μή τις εἰς τὸ Δεδεμένον μεταβαλεῖν προαιροῖτο.—στ. 14, Ὅπερ καὶ θρέψαι μᾶλλον παρεβάλοντο κ. τ. λ.] Ἐκ ΔΓ, ΑΤ . . . Παρεβάλλοντο. Ὁ νοῦς, Ὅπερ μᾶλλον ἐτόλμησαν θρέψαι, διὰ τὸ εἶναι ἄῤῥεν, ὡς τιμωρὸν τοῦ πατρὸς ἐσόμενον δηλονότι· ἤ, Ὅπερ τοσούτῳ μᾶλλον ἐτόλμησαν θρέψαι, ὅσῳ ἧττον ἐφοβοῦντο τὸν Κάλλιππον, θορυβούμενον ἤδη τοῖς πράγμασιν.— στ. 29, Τυρόκνηστιν.] Τυρόκνηστίς ἐστιν ἡ ἐν τῇ συνηθείᾳ καλουμένη Τυροξύστρα. Καὶ τοῦτο μὲν δῆλον· λείπεται δὲ μαντεύσασθαι τί βουλόμενος, ἢ τί αἰνιττόμενος, ὁ Κάλλιππος τυροκνήστιδι παρείκαζε τὴν Κατάνην. Ὁ μὲν Ἀμιότος μεταφράσας rape à raper du fromage, ὑπεσημειώσατο τῇ μεταφράσει, ὡς ἡ τυρόκνηστις συνώνυμόν ἐστι τῇ Πατάνῃ ἣν οἱ ἰδιῶται Κατάνην, ὁμοίως τῷ τῆς πόλεως ὀνόματι ἐκάλουν· ἐπαγόμενος καὶ μάρτυρα τὸν Πολυδεύκην. Καὶ ὅτι μὲν Πολυδεύκης, τὸ μαγειρικὸν σκεῦος τὴν Πατάνην, τὴν καὶ Πατάνιον, καὶ Πατέλλιον (ὅθεν ἡ τῶν Ἰταλῶν Padella) καλουμένην, προφέρεσθαι καὶ Κατάνιον, κατὰ τὴν τῶν ἰδιωτῶν χρῆσιν, λεγομένην, φησί, τοῦτο ἀκριβῶς ἐσημειώσατο ὁ Ἀμιότος· ὅτι δὲ καὶ τυρόκνηστις ἐλέγετο ἡ Πατάνη, τοῦτο οὔθ' ὁ Πολυδεύκης εἴρηκεν, οὔθ' ὁ Ἀμιότος ἑτέρωθεν ἐπιστώσατο.

ΣΕΛΙΔ. 180, στ. 5, Χρησαμένων ξιφιδίῳ κατὰ τύχην, ᾧ καὶ Δίωνα πληγῆναι φασίν.] Παρατιθέσθω καὶ διορθούσθω ἅμα τὰ ἀλλαχοῦ Πλουτάρχῳ (Περὶ τῶν ὑπὸ τοῦ θ. βραδ. τιμωρουμ. § 8) εἰρημένα περὶ τῆς Καλλίππου καταστροφῆς· « Τὸ δ' ἐν καιρῷ καὶ τρόπῳ » προσήκοντι ΓΕΝΕΣΘΑΙ τὰς τιμωρίας, οὐ βέλτιον εἶναι τοῦ ταχὺ » καὶ παραχρῆμα, ΝΟΜΙΖΕΙΝ; ΟΙΟΝ ἐστι τὸ κατὰ Κάλλιππον, ᾧ » ξιφιδίῳ φίλος εἶναι δοκῶν ἀπέκτεινε Δίωνα, τούτῳ πάλιν αὐτὸν ὑπὸ » τῶν φίλων ἀποθανεῖν ». Γράφε, Τὸ δ' ἐν καιρῷ καὶ τρόπῳ (ἴσ. γρ. τρόπῳ τῷ) προσήκοντι ΓΙΝΕΣΘΑΙ τὰς τιμωρίας οὐ βέλτιον εἶναι τοῦ ταχὺ καὶ παραχρῆμα ΝΟΜΙΣΤΕΟΝ; ΟΙΟΝ ἐστι κ.τ.λ.».

## ΒΡΟΥΤΟΣ·

ΣΕΛΙΔ. 181, στ. 15, Ἄλαν.] Ἐξ ΕΔ, οἱ ΠΡ, Ψιλῶς. ΑΤ, Ἄλαν, δασέως.—στ. 16, Μαλλίου.] Μαιλίου, γραπτέον εἶναί φησί τις τῶν ΠΡ. — στ. 24, Οἰκονόμου υἱὸν ὄντα Βρούτου. ] Ὄντα υἱὸν

ἀνδρὸς, ὃς ἦν οἰκονόμος Βρούτου τοῦ παλαιοῦ, καὶ πρόγονος τοῦ νέου Βρούτου.—στ. 25, Εἰς ἄρχοντας.] Ἐξ ΕΔ, ΑΤ, Εἰς ἄρχοντα, —στ. 26, Ἐνηλίκους.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἐνηλικίους.

ΣΕΛΙΔ. 182, στ. 2, Καθ' αὑτόν.] Κατὰ τοὺς χρόνους τοῦ Ποσειδωνίου.—στ. 19, Διεξόδους.] Ἐκ ΔΓ, ΑΤ, Ἐξόδους. Διέξοδοι, καὶ Διεξοδικοὶ λόγοι, καλοῦνται οἱ μακροὶ λόγοι. Ἔπιθι τὰ ἀλλαχοῦ (Πλουτάρχ. Ε, σελ. 394) σημειωθέντα. — στ. 21, Παράσημος.] « Παράσημος, ἀδόκιμος. — Παράσημος ῥήτωρ. Δημοσθένης » ἐν τῷ Ὑπὲρ Κτησιφῶντος. Ἐκ μεταφορᾶς εἴρηται ἀπὸ τῶν νομι» σμάτων, ἃ καλοῦσι Παράσημα, ὍΤΙ χαράττεται ὑπὸ τῶν ἀργυρα» μοιβῶν σημείῳ τινὶ, ὃ τὴν φαυλότητα δηλοῖ, ἐπειδὴ παρατετύπω» ται καὶ παρακεχάρακται.—Παράσημος ῥήτωρ, ὁ φαῦλος κ. τ. λ. », φησὶν ὁ Φώτιος ἐν τῷ Λεξικῷ· ὅπου ἀντὶ τοῦ, ΟἹ ΤΟΙΟΥ̃ΤΟΙ (ἀνθ' οὗ παρὰ Ἁρποκρατίωνι καὶ Σουίδᾳ φέρεται, ἨΤΟΙ ὍΤΙ), γραπτέον ἁπλῶς, ὡς ἔγραψα, ὍΤΙ, ἢ γοῦν ΔΙΟΤΙ. — στ. 22, Οἷαν.] Ἐξ ΠΔ, ΑΤ, Οἷον. Ἵνα δὲ καὶ τὸν λόγον ἔχῃς τῆς διορθώσεως, ὑπονόει καὶ ἀναπλήρου τοιαύτην τινὰ ἔλλειψιν· Ἐπιτηδεύων βραχυλογίαν ἐν ταῖς ἐπιστολαῖς, [τοιαύταις οὔσαις], οἵαν γράφει Περγαμηνοῖς...καὶ περὶ Παταρέων ἑτέραν.—στ. 30, Ἐξὸν...ἕλεσθε.] Εἰ μὲν οὕτω γράφοις, ἔσται ὁ νοῦς, Ἐν ᾧ ἔξεστι, ἢ, ἕως ἔτι ἔξεστι, ἕλεσθε, εἰδὲ ἐξ ἧς παρήνεσαν ΔΓ τῶν ΠΡ τινὲς, Ἐξὸν .. ἑλέσθαι, ἔσται τὸ, Ἐξὸν, κατὰ χρῆσιν τοῦ παρακμάζοντος ἑλληνισμοῦ ἴσον τῷ, Ἔξεστι, ὥσπερ καὶ τὸ ἐν τῇ ἐπιστολῇ τοῦ Παύλου (Β, Κορινθ. ιϐ', 4), « Ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι ».

ΣΕΛΙΔ. 183, στ. 6, Κανίδιον.] Ἔγραψα, Κανίδιον, ὡς φέρεται ἐν τῷ Κάτωνος βίῳ (Πλουτάρχ. Ε, σελ. 330), καὶ παρήνεσέ τις γράφειν κἀνταῦθα τῶν ΠΡ, ΑΤ, Κανίνιον.—στ. 9, Ἑαυτὸν ἀναλαμβάνων.] Ὁ Βροῦτος.—στ. 11, Ἀπεῤῥιμμένον.] Ἠμελημένον, καταπεφρονημένον. Ἡ συνήθεια ἐπὶ τῆς αὐτῆς τροπικῆς σημασίας καὶ Ἀποῤῥίπτω, καὶ Ἀποῤῥήκτω, ἢ Ἀποῤῥίχνω, λέγει, συγχέασα τὸ Ῥίπτω καὶ Ῥηγνύω, διὰ τὸ παρόμοιον καὶ συγγενὲς τῆς ἐννοίας. Οὐ γὰρ, ὡς ἄν τις ὑπολάβοι παρὰ τὸ, Ἀποῤῥίπτω, παρέφθαρται τὸ Ἀποῤῥήκτω, ἀλλ' ἐσχημάτισται παρὰ τὸ, Ἀποῤῥηγνύω, τὸν αὐτὸν τρόπον, καθ' ὃν καὶ παρὰ τὸ Ἀποδεικνύω, τὸ Ἀποδείκτω καὶ Ἀποδείχνω. Διὸ καὶ ὁ τὸν Ηπύχιον ἀντιγράψας, ὑπὸ τῆς συνήθους φωνῆς παραχθεὶς, ἐχίασεν οὑτωσὶ τὰς δύο γλώσσας,

Ἀποῤῥήξας, ἀτιμάσας.
Ἀποῤῥίψας, ἀποκόψας.

δέον γράψαι,

Ἀποῤῥήξας, ἀποκόψας.
Ἀποῤῥίψας, ἀτιμάσας·

ὃ καὶ ἕτεροι πρὸ ἡμῶν συνῆκαν. Ἡ δὲ σύγχυσις ἐπὶ τοῦ παρακμάζοντος ἑλληνισμοῦ γέγονε, διὰ τὸ, ὥσπερ ἔφην, προσόμοιον τῆς ἐννοίας· οὐδὲν γὰρ ἕτερόν ἐςι τὸ Ῥηγνύω, τὸ σημαῖνον τὸ καταβάλλω, ἢ τὸ μετὰ βίας ῥίπτω. Τεκμήριον δέ· καὶ γὰρ καὶ, «Ῥίψαν αὐτὸν τὸ δαιμόνιον» καὶ, Ἔῤῥηξεν αὐτὸν τὸ δαιμόνιον» εἴρηκεν ὁ αὐτὸς Εὐαγγελιςής. (Λουκ. δ, 35, καὶ θ, 42).—στ. 13, Σχολαςής.] Περὶ λόγους καὶ φιλοσοφίαν σχολάζων.—στ. 14, Συντείνας ἑαυτόν.] Παρορμήσας καὶ προθυμοποιήσας ἑαυτόν. — στ. 15, Ἐξαργυρισθείσης.] Πωληθείσης.—στ. 22, Τῆς τοῦ Καίσαρος.] ΠΡΔ ἡ προσθήκη τοῦ πρώτου ἄρθρου.

ΣΕΛΙΔ. 184, στ. 4, Πρὸ τῆς μεγάλης.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Πρὸ τῆς ἄλλης μεγάλης.— στ. 5, Στρατοπεδευόντων.] ΔΓ, Ἐςρατοπεδευκότων. — στ. 13, Παρασχόντα.] Ἑαυτὸν δηλαδή.

ΣΕΛΙΔ. 185, στ. 3, Ἔλαθεν ὁ Βροῦτος κατὰ πύλας, πρὸς τόπον ἑλώδη καὶ μεςὸν ὑδάτων καὶ καλάμου φερούσας, ἐξελθὼν, καὶ διὰ νυκτὸς ἀποσωθεὶς εἰς Λάρισσαν.] Ἐξ ΗΔ, ΑΤ, Ἔλαθεν ὁ Βροῦτος κατὰ πύλας ΕΡΧΕΣΘΑΙ πρὸς τόπον ἑλώδη καὶ μεςὸν ὑδάτων καὶ καλάμου φερούσας. Ἐξελθὼν ΔΕ καὶ διὰ νυκτὸς ἀποσωθεὶς εἰς Λάρισσαν. Τῇ περιαιρέσει τοῦ ἀπαρεμφάτου καὶ τοῦ συνδέσμου, καὶ τῇ ἀλλοιώσει τῆς ςίξεως, ἐξ ἀσυνέτου συνετὸν ἀπειργάσθαι μοι δοκῶ τὸ χωρίον. Ἡ συνάρτησίς ἐςιν, Ἔλαθεν ὁ Βροῦτος ἐξελθὼν κατὰ πύλας, φερούσας πρὸς τόπον... καὶ ἀποσωθεὶς διὰ νυκτὸς εἰς Λάρισσαν.—στ. 15, Καὶ δὴ καὶ τῷ τῶν Λιβύων βασιλεῖ κ.τ.λ.] ΔΓ, Καὶ δὴ καὶ τῷ τῶν Νικαιῶν βασιλεῖ. Εἰκότως οἱ ΠΡ, ἢ γραφέων ἀβλεψίᾳ, ἢ αὐτοῦ Πλουτάρχου μνήμης ἁμαρτίᾳ, ἐψεῦσθαι τὸ χωρίον ὑπέλαβον. Τῷ μὲν γὰρ τῶν Λιβύων βασιλεῖ οὐδαμοῦ τῆς ἱςορίας συνηγορηκὼς ὁ Βροῦτος φαίνεται· Δηϊοτάρῳ δὲ, τῷ Γαλατῶν τετράρχῃ, συνηγορῆσαι αὐτὸν ἐπὶ Καίσαρος ἐν Νικαίᾳ διαῤῥήδην ἔγραφε Κικέρων ἐν τῇ πρὸς Ἀττικὸν Ἐπιςολῇ (Epistol. ad. Attic. XIV, 1). Διὸ καὶ διορθοῦν ἐπεχείρησέ τις τῶν ΠΡ οὕτως τὴν γραφὴν, Καὶ Δηϊοτάρῳ, ἐν Νικαίᾳ ὢν, βασιλεῖ προη-

γορῶν. Ἡμῖν δ' ἀποχρώντως διορθῶσθαι τὸ χωρίον ἡγούμεθα, εἴ τις γράφοι, Καὶ δὴ καὶ τῷ τῶν Γαλατῶν βασιλεῖ· οὔτε γὰρ τοῦ βασιλέως, οὔτε τοῦ τόπου τῆς συνηγορίας, τοὔνομα ἀναγκαίως ἔχει τοῖς λεγομένοις ἐνεῖναι.

ΣΕΛΙΔ. 186, στ. 8, Ἡ Βροῦτος.] ΠΡΔ, ΑΤ, Ὁ Βροῦτος. — — στ. 19, Δι' ἣν .. ὧν ἀπέτυχε.] Γραπτέον, ἢ, Δι' ἃ ... ὧν ἀπέτυχε, ὡς ἔδοξε τινὶ τῶν ΠΡ, ἢ, Δι' ἣν ... ἧς ἀπέτυχε.—στ. 28, 'Εκτέμνοντα.] 'Εκ ΔΓ οἱ ΠΡ, ΑΤ, 'Εκτείνοντα.

ΣΕΛΙΔ. 187. στ. 7, Τί δ' οὐκ ἂν ἡμῖν δοκεῖ κ. τ. λ.] Ἔπιθι τὸν βίον τοῦ Καίσαρος (§ 62, Πλουτάρχ. Δ, σελ. 320.)

ΣΕΛΙΔ. 188, στ. 2, Κονδύλους.] Κόνδυλοι λέγονται τὰ διειληφότα τοὺς δακτύλους τῆς χειρὸς ὀστέα, καθ' ἃ γίνεται ἡ κάμψις, συστελλομένης πρὸς ἑαυτὴν τῆς χειρός· τὰ δὲ μεταξὺ τῶν Κονδύλων διαστήματα, Φάλαγγες ὀνομάζονται. Παρὰ τούτους, Κόνδυλοι ἐκλήθησαν καὶ αἱ συνεστραμμένῃ τῇ χειρὶ ἐντριβόμεναι πληγαί, ἃς ἡ παρ' ἡμῖν συνήθεια Γρόνθους, ἢ θηλυκῶς Γρονθίας, ὥσπερ καὶ τὸ Κονδυλίζω, Γρονθίζω ἢ Γρονθοκοπῶ, καλεῖ. Ἐπεὶ δὲ καὶ οἱ κάλαμοι διειλημμένοι πεφύκασι τοῖς καλουμένοις γόνασι, καὶ μεσογονατίοις, ὧν τὰ μὲν ἀναλογεῖ τοῖς κονδύλοις, τὰ δὲ ταῖς φάλαγξι, τὰ μεσογονάτια, ἐκ τῆς ὁμοιότητος ὁρμηθεῖσα ἡ συνήθεια, Κονδύλιον (χυδ. Κοντίλιον) ὠνόμασε καὶ τὸν ἐπιτήδειον εἰς βιβλιογραφίαν κάλαμον. Τὸ δὲ Κονδυλίζω (χυδ. Κοντιλίζω) παρ' ἡμῖν οὔτε ἐπὶ τοῦ Κονδύλους ἐντρίβω, ὡς παρὰ τοῖς ἀρχαίοις, τέτακται, οὔθ', ὥσπερ ἄν τις ἐξ ἀναλογίας εἰκάσειε, τὸ διὰ Κονδυλίου γράφω σημαίνει, ἀλλὰ τὸ δονοῦμαι καὶ παραφέρομαι δηλοῖ, μετενεχθὲν ἀπὸ τοῦ Κονδυλίου, τουτέστι τοῦ καλάμου, ὃς διὰ τὸ εὔσειστον καὶ Δόναξ ἐκαλεῖτο.—στ. 8, Τὸ στόμα.] Τὸ πρόσωπον. Μετέφρασε Πλούταρχος κατὰ λέξιν τὸ Ῥωμαϊκὸν, os, ὃ σημαίνει στόμα, καὶ κατὰ συνεκδοχὴν πρόσωπον· ἧς συνεκδοχῆς παραδείγματά ἐστιν ἀναλέξασθαι καὶ ἐκ τῶν παρ' Ἕλλησι δοκίμων λογογράφων. — στ. 12, Βρούτου, τοῦ καταλύσαντος.] 'Εξ ΕΔ, ΑΤ, Βρούτου, καὶ καταλύσαντος.—στ. 13, Εἴθε νῦν ἦν.] ΠΡΔ, ΑΤ, Εἴθε νῦν ἧ. ΔΓ (συνᾴδουσα τῷ Α), Εἴθε νῦν ἧς. — Ὤφελε νῦν ζῆν.] 'Εκ ΔΓ, ΑΤ, Ὤφελε ζῆν. Παρὰ δὲ Συετωνίῳ (Sueton. I. Cæs. cap. 80) Ὤφελες ζῆν, utinam viveres! — στ. 25, Αὐτῷ τῷ παρεῖναι.], Διὰ τῆς αὐτοῦ παρουσίας.

ΣΕΛΙΔ. 189, στ. 1, Παρεῖναι.] Παρὼν εὑρεθῆναι. Ἴσως μέντοι

γραπτέον, Παριέναι, τουτέστι παραγενήσεσθαι.—στ. 2, Καθήσοιεν.] ΠΡΔ (παρὰ τὸ Καθίημι), ΑΤ, Καθίσοιεν. —στ 3, Παριέναι.] Παραγενήσεσθαι. Τυπογραφικῶς ἡμαρτήθη ὧδε τὸ, Παρεῖναι.—στ. 16, Γάϊος Λιγάριος.] Γραπτέον φασὶν εἰκότως οἱ ΠΡ, Κόϊντος Λιγάριος, καθὰ φέρεται ἐν τῷ Βίῳ Κικέρωνος (§ 39, Πλουτάρχ. Ε, σελ. 265). —στ. 25, Ἀνεκοινοῦντο.] Ἐξ ΗΔ, ΑΤ, Ἀνεκοινώνοῦντο.

ΣΕΛΙΔ. 190, στ. 3, Στατίλιον.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Στάλλιου. —στ. 13, Ῥέκτην.] Παρέβαλε τοῦτο τῷ Ὁμηρικῷ (Ἰλιάδ. ί, 443), Πρηκτῆρα ἔργων, ὁ ἡμέτερος Πόρτος. Ἔστι δὲ παρὰ τὸ Ῥέζω τὸ πράττω.

ΣΕΛΙΔ. 191, στ. 6, Κόρην οὖσαν ἔτι.] Νέαν οὖσαν ἔτι. —στ. 7, Βίβλος.] Ἐξ ΗΔ (ὡς καὶ ἀλλαχοῦ πολλαχοῦ), ΑΤ, Βύβλος. — Ἀπομνημονευμάτων Βρούτου.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἀπομνημόνευμα τῶν Βρούτου.—στ. 8, Φιλόσοφος... καὶ μεστὴ φρονήματος νοῦν ἔχοντος.] Ἔστι γὰρ καὶ φρόνημα νοῦν οὐκ ἔχον, ἢ μᾶλλον ἐκ πολλῆς ἀνοίας ἀποτικτόμενον· οἷον τῶν ἀφιλοσόφου παιδείας τετυχηκότων.—στ. 15, Νεανικάς.] Σφοδράς.—στ. 26, Ἐμοὶ δὲ καὶ τὸ Κάτωνος... καὶ τὸ Βρούτου.] Οὐκ ἀπιθάνως παρῄνεσέ τις τῶν ΠΡ γράφειν, Ἐμοὶ δὲ καὶ τῷ Κάτωνος...καὶ τῷ Βρούτου, τουτέστιν, ἐμοὶ δὲ ἡ ἀγαθὴ τροφὴ πρόσεστι τῷ εἶναι Κάτωνος θυγατέρα καὶ τῷ εἶναι Βρούτου γυναῖκα. Μακρῷ δέ μοι πιθανώτερον δοκεῖ τὸ γράφειν ἅπαξ παραλαβόντα τὴν δοτικὴν καὶ περιελόντα τὸν ἕτερον τῶν συνδέσμων, Ἐμοὶ δὲ τῷ Κάτωνος... καὶ τὸ Βρούτου, ἵν' ἢ ὁ νοῦς, Ἐμοὶ δὲ πρὸς τῷ εἶναι θυγατέρα Κάτωνος, τοῦ μεταδόντος μοι τροφῆς ἀγαθῆς, πρόσεστι καὶ τὸ Βρούτου εἶναι γυναῖκα.

ΣΕΛΙΔ. 192, στ. 1, Κατορθοῦντα.] Ἄμεινον ἂν ἐγράφετο, Κατορθοῦντι, καθὰ καὶ ἕτεροι πρὸ ἡμῶν ἐσημειώσαντο.—στ. 9, Μία.] ΠΡΔ (συνᾴδουσα τῷ Α,), ΑΤ, Μίαν.—στ. 11, Στησαμένης.] ΔΓ, Ψηφισαμένης.—στ. 21, Τὸ...παρὰ τὰ δεινὰ καθεστηκός.] Ἐξ ΗΔ ἡ τροπὴ τῆς, Περὶ, εἰς τὴν Παρά· ἔστι δὲ τοὐναντίον, ὡ ἀλλαχοῦ Πλούταρχος (Πελοπ. καὶ Μαρκελ. συγκρ. Μέρ. Β, σελ. 236 εἴρηκε,) τῷ Παρὰ τὰ δεινὰ ἐξιστάντι τὸν λογισμὸν ἐνθουσιασμῷ.—στ. 23, Πολλοῖς.] Ἐκ ΔΓ, οἱ ΠΡ, ΑΤ, Πολλοί.—στ. 28, Μαρτυρόμενος.] ΠΡΔ, ΑΤ, Μαρτυρούμενος.

ΣΕΛΙΔ. 193, στ. 8, Πόθεν γ' ἔφη.] Περιττὸν εἶναί φησιν ὁ τὸν Βίον τοῦ Βρούτου ἐκδοὺς οὐ πρὸ πολλοῦ Φαβρίκιος τὸν Γὲ σύνδεσμον·

— στ. 21, Ἐξάττουσα.] Ἐκπηδῶσα. — στ. 28, Τοῦ χρόνου μῆκος λαμβάνοντος.] Ἡ συνήθεια οἶδε μὲν καὶ τό, Ὁ Καιρὸς λαμβάνει μάκρος, ἀσπάζεται δὲ μᾶλλον τό, Ὁ Καιρὸς ὑπάγει εἰς μάκρος. Ὅτι δὲ καὶ τὸ Μάκρος τῆς Ἑλλήνων ἐστὶ φωνῆς, σεσημείωται ἀλλαχοῦ (Ἡλιοδώρ. Β, σελ. 132).

ΣΕΛΙΔ. 194, στ. 21, Σπουδήν.] Ἐξ ΕΔ οἱ ΗΡ, ΑΤ, Σπουδῇ.

ΣΕΛΙΔ. 195, στ. 1, Τρεβώνιος.] Ἴδε τὰ σημειωθέντα ἐν τῷ Καίσαρος βίῳ (§ 66, Πλουτάρχ. Δ, σελ. 499). — στ. 3, Ὑπεξανέστη.] Τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον, Ἐπροσηκώθη, παρὰ τὸ Προσηκώνομαι, ἢ μᾶλλον Προσσηκώνομαι· ἔτι γὰρ πρὸς ἐπερχόμενόν τινα σηκόνομαι, οἷόν ἐστι τὸ συνώνυμον Ἑλληνικώτερον, Προσεγείρομαι, ὅπερ ἦν ἐν χρήσει κατὰ τὴν πεντεκαιδεκάτην ἑκατονταετηρίδα (καὶ ἴσως ἔστιν ἔτι που τῆς Ἑλλάδος), καθὰ δηλοῖ, ὁ τῆς ἐπιγραφομένης, Ἀπολλωνίου τοῦ ἐν Τύρῳ, μυθιστορίας ποιητής.

Καὶ ὅλοι τῆς προσεγέρθησαν, καὶ δίδουσίν της τόπον.

—στ. 4, Προβάλλοντες.] Ἴσως γρ. Προβαλόντες.—στ. 13, Ἑλληνιστὶ τὸν ἀδελφὸν προσαγορεύσας.] Σημειούσθων τὰ ταῖς ἐπιςήμαις σχολάζοντα Ἑλληνικὰ μειράκια τὸν Ῥωμαῖον Ἑλληνιστὶ διαλεγόμενον ἐν καιροῖς τοιούτοις καὶ πάθεσι τηλικούτοις, ἐν οἷς ὁ λογισμὸς ἀπὸ τῶν ἀλλοτρίων αὐτομάτῳ τινὶ φορᾷ συνωθεῖται πρὸς τὰ οἰκεῖα, καὶ οὐκ ἀπὸ τούτων πρὸς τἀλλότρια, ὡς τεκμήριον ἧς εἶχον Ῥωμαῖοι σπουδῆς περὶ τὴν τῶν Ἑλλήνων φωνήν· καὶ φευγέτωσαν τῆς προγονικῆς γλώσσης τὴν καταφρόνησιν, ὡς βαναυσικῆς ἀναισθησίας σημεῖον.—στ. 15, Ὡς εἶδε Βροῦτον... τὴν κεφαλὴν ἐγκαλυψάμενος κ.τ.λ.] Ὁ δὲ Συετώνιος ἱςορηκέναι τινάς φησιν, ὅτι Καῖσαρ, ὡς εἶδε Βροῦτον ἐπιόντα, δεινοπαθήσας, ἐπέπληξεν αὐτῷ, ἑλληνικοῖς χρησάμενος ῥήμασι, τὴν μετὰ τῶν συνωμοτῶν ἀναςροφήν· Etsi tradiderunt quidam, M. Bruto irruenti dixisse, Καὶ σὺ εἶ ἐκείνων, καὶ σὺ τέκνον; (Sueton. Cæsar. cap. 82).

ΣΕΛΙΔ. 196, στ. 4, Ὑποθείς.] Ἴσ. γρ. Ὑποτιθείς. — στ. 6, Καὶ συνεφάψεσθαι.] Περιγραπτέος ἔδοξέ μοι εἶναι ὁ σύνδεσμος, ἄλλως τε καὶ λείπων ἔν τινι τῶν ἀρχαίων ἐκδόσεων, καὶ παραλειφθεὶς ὑπὸ τῶν μεταφραστῶν. — στ. 13, Αἱ πλείονα.] προσθεῖναι δεῖν ἔγνων τὴν ἀντωνυμίαν, ἣν ἐξέφρασε καὶ ὁ Α. — στ. 23, Μιγάδες.] Ἀντιδιεσταλμένως πρὸς τοὺς ἐπιλέκτους καὶ καθαροὺς πολίτας· οἱ γὰρ Μιγάδες, διὰ τὸ σύγκλυδες εἶναι, τουτέςιν ἄλλοι ἄλλοθεν συνεῤῥυηκότες, ξένοι τε καὶ ἄγνωστοι ἀλλήλοις, τοῦ μετ᾽ αἰδοῦς καὶ κοσμίως βιοῦν

ἀπεξένωνται. Διὸ καὶ Πλούταρχος ἀλλαχοῦ (Συμποσιακ. Γ, 1) μετὰ τοῦ Σύγκλυδες συνέταξε τὴν λέξιν· «Καθάπερ ἐν πόλει μιγάδων » καὶ συγκλύδων ἀνθρώπων πλῆθος οὐ ῥᾳδίως μίαν, οὐδ' ὁμοπα- » θοῦσαν ἴσχουσαι κατάστασιν, ἀλλ' ἑκάστη πρὸς τὸ οἰκεῖον ἀντιτεί- » νουσα, καὶ δυσσύμβατος οὖσα πρὸς τὸ ἀλλόφυλον». Κατὰ τὸν Ἡσύχιον, « Μιγάδες, τὸ ἐκ πολλῶν ἄθροισμα ξένων ». Ὁ δὲ παρακμάζων Ἑλληνισμὸς ἔταξε τὴν λέξιν ἐπὶ τῶν κοινοβίων, καθὰ φέρεται ἐν τῷ Λεξικῷ τοῦ Κυρίλλου· «Μιγάς, τὸ κοινόβιον, τὸ μοναστήριον· » καὶ Μιγάδες, οἱ ἐν κοινοβίοις ζῶντες, ἤτοι τὸ ἐκ πολλῶν ἀδιο- » ρίστως ἄθροισμα· ἐκ τοῦ Μίγω». Ἡ συνήθεια ἐπ' οὐδετέρας ἐννοίας οἶδε τὸ Μιγάδες· ἔχει δ' ἀντ' αὐτοῦ τὸ μήπω καταχωρισθὲν ἐν τοῖς ἡμετέροις Λεξικοῖς (εἴ γε Λεξικὰ χρὴ καλεῖν ὅλως τὰ πενίαν λέξεων τῆς γλώσσης καταψευδόμενα) τὸ οὐδέτερον Μιγάδιον, τὸ σημαῖνον, μίγμα ἑτερογενῶν καρπῶν δημητριακῶν, εἰς τὴν αὐτὴν καταβαλλόμενον ἄρουραν, ὅπερ οἱ μὲν Γάλλοι Méteil, οἱ δὲ Ἰσπανοὶ Mestura (κατὰ λέξιν τὸ ἡμέτερον Μιγάδιον ἑρμηνεύοντες) ὀνομάζουσι, οἱ Γερμανοὶ δὲ Mischkorn ἢ Mischgetreide, τουτέστι Σπερμομιξίαν, ἢ Σιτομιξίαν.

ΣΕΛΙΔ. 197, στ. 14, Τῶν περὶ Βροῦτον ἦσαν ἔπαινοι ΤΩΝ παρόντων.] Τοῦτο οὕτως ἡρμήνευσαν οἱ μεταφρασταί, ὥσπερ ἂν εἰ ἔλειπε τὸ δεύτερον ἄρθρον, Παρόντες οἱ περὶ Βροῦτον ἐπῃνέθησαν. Τῶν δὲ πρὸ ἡμῶν ἐκδοτῶν τις ἐξέλαβεν ἐπὶ τοῦ, Οἱ περὶ Βροῦτον ἐπῃνέθησαν ὑπὲρ τῶν παρόντων, τουτέστιν, ἕνεκα τῶν τότε γεγονότων καὶ παρόντων πραγμάτων. Ἐκδεξαίμην ἂν ἔγωγε μᾶλλον, ἐπὶ τοῦ, Οἱ περὶ Βροῦτον ἐπῃνέθησαν ὑπὸ τῶν παρόντων. —στ. 18, Τὴν περὶ τὸν Ἠριδανὸν Γαλατίαν.] Ἡ αὐτή, ἣν Πλούταρχος ἀλλαχοῦ (Καίσαρ. § 20, καὶ 32, Δ, σελ. 283 καὶ 295) Γαλατίαν τὴν περὶ Πάδον, καὶ Γαλατίαν τὴν ἐντὸς Ἄλπεων ὀνομάζει· Ἠριδανὸν γὰρ ἐκάλουν Ἕλληνες τὸν τοῖς Ῥωμαίοις πάλαι Πάδον (Padus) νῦν δὲ τοῖς Ἰταλοῖς Po καλούμενον ποταμόν. — στ. 25, Ἐπιτειχίσαι.] Ἐκ ΔΓ, ΑΤ, Ἐπιτειχίσας.

ΣΕΛΙΔ. 198, στ. 6, Καὶ τῶν τραυμάτων τὸ πλῆθος.] Εἴκοσι καὶ τρισὶ πληγαῖς τρωθῆναι τὸν Καίσαρα φησὶ Συετώνιος tribus et viginti plagis confossus est (Sueton. Cæsar cap. 82)· —στ. 12, Καθήγιζον.] Ἐξ ΗΛ, ΑΤ, Καθηγίαζον. Τούτῳ μόνῳ Πλουτάρχου τῷ χωρίῳ Στέφανος ἐν τῷ Θησαυρῷ (Τόμ. Α, σελ. 125) ἐχρήσατο μαρτυρίῳ, εἰς πίστωσιν τοῦ Καθαγιάζω. Ἀλλ' ἐπειδὴ Πλούταρχος

ἐν

ἐν τῷ Ἀντωνίου βίῳ (§ 14, ἀνωτέρ. σελ. 65), τὸν αὐτὸν τοῦτον καθαγισμὸν τοῦ Καίσαρος νεκροῦ διηγούμενος, τῷ συνήθει καὶ τετριμμένῳ Καθαγίζω, καὶ οὐ τῷ μοναδικῷ Καθαγιάζω κέχρηται, καὶ ἐνθάδε δεῖν ἔγνων γράφειν Καθήγιζον, ὅ ἐστι κατέκαιον, ὡς αὐτὸς ἐν τῷ Βίῳ Καίσαρος (§ 68, Πλουτάρχ. Δ, σελ. 326) ἐξηγήσατο. —στ. 15, Πεφραγμένοι.] Ὡπλισμένοι. « Φραξάμενος, κλείσας, ὁπλισάμενος » φησὶν Ἡσύχιος. Ὥσπερ καὶ Ἄφρακτος ὁ ἄνοπλος, παρὰ τῷ Ἀριστοφάνει (Θεσμοφ. 580),

——————— μή τι προσπέσῃ
Ὑμῖν ἀφράκτοις πρᾶγμα δεινὸν καὶ μέγα.

—στ. 16, Ποιητικός.] Γράφειν τινὲς προήχθησαν Πολιτικός. Οὐ μετακινητέον μέντοι τὴν γραφήν· καὶ ἀλλαχόθεν γὰρ δῆλον σπουδάσαι περὶ τὴν ποίησιν τὸν διὰ τὴν ὁμωνυμίαν φονευθέντα τοῦτον Κίνναν. Ὁ δὲ Αὖλος Γέλλιος καὶ στίχους δύο παρέθετο τοῦ ποιητοῦ Κίννα ἐν ταῖς Ἀττικαῖς νυξὶ (A. Gell. Noct. Attic. lib. XIX, cap. 9 et 13). —στ. 25, Ὀφθῆναι.] Ἢ περιαιρετέον τοῦ χωρίου τὸ εἰς μηδὲν χρήσιμον ἀπαρέμφατον τοῦτο, ἤ, ὡς ἔδοξε τῷ τῶν ΠΡ, εἰς τό, Εἶναι, τρεπτέον.

ΣΕΛΙΔ. 199, στ. 1, Ἐν πλήθεσι ΦΟΡΑΙΣ ΑΣΤΑΘΜΗΤΟΙΣ καὶ ταχείας φερομένοις.] Ἐξ ΕΔ, ΑΤ, ΦΟΡΑΙΣ ΑΣΤΑΘΜΗΤΟΙ. Οἱ ΠΡ ἑτέραν διόρθωσιν προείλοντο γράφειν, Ἐν πλήθεσι φοραῖς ἀσταθμήτοις καὶ ταχείαις φερομένοις, μηδὲν δέον· τὸ γὰρ δι' ὀλίγων γινόμενον μάτην διὰ πολλῶν γίνεται. —στ. 8, Ὑπὸ Καίσαρος ἐστρατευμένων.] Τῶν ἀντιγραφέων μᾶλλον ἂν ᾠήθην ἁμαρτίαν ἢ Πλουτάρχου ἀμέλειαν, τὴν φράσιν, Ὑπὸ Καίσαρος ἐστρατευμένων (ἀντὶ τῆς χρηστοτέρας, Ὑπὸ Καίσαρι ἐστρατευμένων ἢ γοῦν, Μετὰ Καίσαρος ἐστρατευμένων, καθάπερ ἔφρασέ που Πολύβιος), εἰ μὴ καὶ δεύτερον ἐν τῷ τέλει τῆς παρούσης σελίδος, ὡσαύτως ἐλέγετο. —στ. 9, Κατ' ὀλίγους.] ΔΓ, Κατ' ὀλίγον. —στ. 15, Ἐνέτυχε.] Ἐσύντυχε, λέγει ἡ συνήθεια, ἐπὶ τῆς αὐτῆς σημασίας τοῦ διελέχθη. —στ. 17, Ἑλλήνων γὰρ οὐδένα βιασθῆναι προσήκειν.] Σημείωσαι τὴν περὶ τοὺς Ἕλληνας φιλάνθρωπον καὶ φιλόσοφον τοῦ Βρούτου σπουδήν, ἀντικειμένην ἐκ διαμέτρου τῇ ἀνωτέρω (σελ. 380) σημειωθείσῃ Ἀντωνίου καὶ τῶν πλείστων αὐτοῦ πολιτῶν ἀπηνείᾳ. —στ. 22, Γράμματι.] Ἴσον ἐνθάδε τῷ Διαθήκῃ. —στ. 29, Ὑπὸ Καίσαρος ἐστρατευμένων.] ΠΡΔ, ΑΤ, Ὑπὸ Καίσαρος στρατευομένων. Ὁποτέρως

δὲ γράφοις, ὡσαύτως ἔσται καινῶς πεφρασμένον, ὥσπερ καὶ τὸ μικρὸν ἀνωτέρω σημειωθέν.

ΣΕΛΙΔ. 200. στ. 1, Γράφων, ὡς οὐ δεσπότην ... δουλείας αἵρεσιν φιλανθρώπου.] Φέρεται ταῦτα ἐν τῇ πρὸς Κικέρωνα τοῦ Βρούτου ἐπιστολῇ, τοῖσδε τοῖς ῥήμασι· quod pulcherime fecisti, ac facis in Antonio, vide ne convertatur a laude maximi animi ad opinionem formidinis. Nam si Octavius tibi placet. a quo de nostra salute petendum sit: non dominum fugisse, sed amiciorem quæsisse videberis, τουτέστιν, Ὅρα μὴ δειλίᾳ μᾶλλον, ἢ ψυχῆς ῥώμῃ δόξῃς ἐργάζεσθαι ἃ πάνυ καλῶς κατ' Ἀντωνίου διατελεῖς ἐργαζόμενος· εἰ γὰρ οὕτως εὐδοκεῖς Ὀκταουΐῳ, ὥστε παρ' ἐκείνου τὸ σώζειν ἡμᾶς αἰτεῖσθαι, οὐ δεσπότην φεύγων, ἀλλὰ δεσπότην εὐνούστερον ζητῶν ἐλεγχθείσῃ. Τούτοις παραπλήσια γράφει καὶ πρὸς τὸν Ἀττικὸν περὶ Κικέρωνος ὁ Βροῦτος, ut jam ista, quæ facit, non dominationem, sed dominum Antonium timentis sint, Ὥσθ' ἃ πράττει πρὸς ἀνδρὸς εἶναι οὐ δεσποτείαν, ἀλλὰ δεσπότην Ἀντώνιον, φοβουμένου.— στ. 3, Γράφων...ὡς χρηστὸς ἐστι Καῖσαρ.] Ἐν τῇ πρὸς Βροῦτον ἐπιστολῇ ἔγραψε τοῦτο Κικέρων· Cæsaris vero pueri mirifica indoles virtutis, Ὁ δὲ νέος Καῖσαρ θαυμαστὸν ὅσον εἰς ἀρετὴν πέφυκε.— στ. 5, Οὐδὲ πράους δεσπότας ὑπέμενον.] Οὐκ ἀπήλλακται τὸ χωρίον ὑποψίας. Βροῦτος μὲν γὰρ ἐν τῇ πρὸς Ἀττικὸν ἐπιστολῇ, dominum ne parentem quidem majores nostri voluerunt esse φησὶ, τὰ περὶ Ταρκύνιον αἰνιττόμενος· καὶ δῆλον ὅτι τοῦτο τῶν Βρούτῳ λεχθέντων τὸ μέρος ἐκφράσαι Πλούταρχος ἠβουλήθη. Μήποτε οὖν ἢ αὐτὸς μὴ νοήσας ἀκριβῶς, ἢ ὁ ἀντιγράψας πλανηθεὶς οὕτως ἔγραψεν, ἀντὶ τοῦ, Οὐδὲ πατέρας δεσπότας ὑπέμενον. Εἰκὸς γὰρ τὸ Πατέρας, εἰς τὸ, Πρᾶς ἔθει γραφικῷ συντεμνόμενον, τὸ μὴ προσέχοντος ἀντιγραφέως συγκεχύσθαι τῷ Πράους.—στ. 8, Κινδυνώδη.] Ἴσ. γρ. Κίνδυνον.—στ. 9, Τοῦ δ' Ἀντώνιου κ. τ. λ.] ΠΡΔ, ΑΤ, Τὸν δ' Ἀντώνιον. Δῆλον δὲ γενικῆς δεῖν ἐνθάδε πτώσεως ἔκ τε τῆς τοῦ λόγου συνεπείας, καὶ ἐξ ὧν φησιν αὐτὸς Βροῦτος, ἐν τῇ πρὸς Ἀττικὸν ἐπιστολῇ περὶ τοῦ Κικέρωνος. Quid hoc mihi prodest, si merces Antonii oppressi poscitur in Antonii locum successio? τουτέστι, Τί μοι πλέον ἐκ τούτου, εἰ τῆς Ἀντωνίου καταλύσεως μισθὸς αἰτεῖται, τὸ διάδοχον Ἀντωνίου ἕτερον ἀναδειχθῆναι;—στ. 20, Διάθεσις.] ΔΓ (ἢ μᾶλλον ἐξήγησις), Ὑπόθεσις. Οἷς ἀνωτέρω (σελ. 334) ἐσημειωσάμεθα περὶ τῆς λέξεως προσσημειωτέον καὶ ταῦτα, ὅτι Γραφὴ,

Εἰκὼν καὶ Διάθεσις τῶν συνωνύμων εἰσὶν ὀνομάτων, καθ' ὃ καὶ τὰ τρία ἔργον γεγραμμένον ὑπὸ ζωγράφου σημαίνει. Διαφέρουσι μέντοι, τῷ τὴν μὲν γραφὴν γενικώτερον οἷόν δήποτε σημαίνειν ζωγράφημα, τὴν εἰκόνα δὲ, γραφὴν ὁμοίαν ᾧ μιμήσασθαι ὁ ζωγράφος ἐπεβάλετο προσώπῳ, τὴν δὲ διάθεσιν, ἐξ ἱστορίας, ἢ μυθολογίας, ληφθέντων ὑποκειμένων παράστασιν· ὥστε ἀναλογεῖν τὴν γραφὴν τῇ παρὰ τοῖς Γάλλοις peinture, τὴν εἰκόνα τῷ παρ' ἐκείνοις portrait, καὶ τὴν διάθεσιν τῷ tableau.—στ. 26, Ἕκτορ ἀτὰρ κ. τ. λ.] Ἐκ τῆς Ὁμήρου Ἰλιάδος (ζ, 429).—στ. 30, Ἱστόν τ' ἠλακάτην τε κ. τ. λ.] Ἐκ τῆς αὐτῆς (ζ, 491). Ὃ δὲ λέγων Ἕκτωρ ἐστὶ πρὸς τὴν Ἀνδρομάχην· ὅπερ ὁ Ἀμιότος διὰ δύο στίχων ἐξέφρασε τούτων,

Il ne te fault d' autre chose mesler,
Que d' enseigner tes femmes à filer,

μακρῷ μουσικώτερον καὶ συντομώτερον ἑρμηνεύσαντος τοῦ Ἰταλοῦ μεταφραστοῦ,

Tele et conochia; et à tue donzelle impera.

ΣΕΛΙΔ. 201, στ. 3, Βίβλος.] Ἐξ ΗΔ, ΑΤ, Βύβλος.—στ. 9, Ἀνυπόπτως.] Κρύφα, ἀδήλως, ὥστε μηδενὶ μηδενὸς τῶν πραττομένων ὑποψίαν παρέχειν.—στ. 13, Καί φησιν, εἴτ' ἐγρήγορεν, εἴτ' ἐνυπνιάζεται, θαυμάζειν οὕτω γενναῖον ὄντα καὶ μισοτύραννον.] Τοῦθ' οἱ μεταφρασταὶ πάντες οὕτως ἐξεδέξαντο, ὥσπερ ἂν εἰ τὸ Ἐγρήγορεν, καὶ τὸ Ἐνυπνιάζεται, εἰς αὐτὸν ἀνεφέρετο τὸν Βροῦτον, καὶ οὐκ εἰς τὸν Κικέρωνος υἱόν. Αἴτιος δὲ τῆς πλάνης ὁ Πλούταρχος, ὑπερβιβάσας οὐ δεόντως τὰ ῥήματα· ἔστι γὰρ ἡ ἀκριβὴς συνάρτησις ἥδε, Καί φησι θαυμάζειν οὕτω γενναῖον ὄντα καὶ μισοτύραννον, εἴτ' ἐγρήγορεν, εἴτ' ἐνυπνιάζεται, τουτέστι, μισοῦντα τοὺς τυράννους ἡμέρας τε καὶ νυκτὸς, ὃ ταὐτὸν δύναται τῷ ἀδιαλείπτως.—στ. 25, Ἀλλά με μοῖρ' ὀλοὴ κ. τ. λ.] Πάτροκλος θνήσκων λέγει ταῦτα παρ' Ὁμήρῳ (Ἰλιάδ. π, 849).

ΣΕΛΙΔ. 202, στ. 11, Διαβεβηκὼς, καὶ βαδίζων.] Ἐξ ΗΔ (δόξαν τοῦτο καὶ τῷ πρὸ ἡμῶν ἐκδόντι τὸν Βρούτου βίον Φαβρικίῳ), ΑΤ,... βαδίζειν· ἢ γὰρ οὕτως γραπτέον, ἢ τὸν σύνδεσμον περιελόντας, Διαβεβηκὼς βαδίζειν.—στ. 16, Ἐβουλιμίασε.] Μνημονεύει τοῦ περὶ τὸν Βροῦτον πάθους τούτου καὶ ἀλλαχοῦ Πλούταρχος (Συμποσιακ. ϛ', 8, § 3).—στ. 22, Ἀφιδρώσεις.] Ἐξ ΗΔ, ΑΤ, Ἐφιδρώσεις. Ἐν οἷς

γάρ φθάς παραθέμην Συμποσιακοῖς τοῦ Πλουτάρχου (ϛ΄, 8, § 6), Ἀ φ ι δ ρ ώ σ ε ι ς εὕρηται γεγραμμένον. —στ. 24, Ἐν ἑτέροις.] Ἐν τοῖς Συμποσιακοῖς.—στ. 29, Παρῆσαν αὐτίκα σιτία.] Ἐξ ΕΔ (ἰδ. τὰς εἰς τὸν Πλουτάρχ. Βρούτ. σημειώσ. τοῦ Φαβρικ. σελ. 146), ΑΤ, Π α ρ ῆ σ α ν α ὐ τ ο ὶ κ α ὶ σ ι τ ί α.

ΣΕΛΙΔ. 203, στ. 7, Βυλλίδα.] « Βυλλὶς πόλις Ἰλλυρίδος παρα- » θαλασσία τῶν μετὰ Νεοπτολέμου Μυρμιδόνων κτίσμα. Τὸ ἐθνικὸν » Βυλλιδεύς », φησὶν ὁ Βυζάντιος Στέφανος. Παρὰ δὲ τῷ Στράβωνι (σελ. 326) τὸ ἐθνικὸν Β υ λ λ ί ω ν ἐσχημάτισται.

ΣΕΛΙΔ. 204, στ. 12, Πόπλιον δὲ Σιλίκιον.] ΔΓ, Π ο π ί λ ε ο ν κ.τ.λ. Σ ι λ ί κ ι ο ς Κ ο ρ ω ν ᾶ ς οὗτος καλεῖται παρὰ Δίωνι τῷ Κασσίῳ (μϛ΄, 49, σελ. 486).—στ. 25, Αὐτῶν.] Ἐξ ΕΔ, ΑΤ, Α ὐ τ ῶ ν.

ΣΕΛΙΔ. 205, στ. 25, Πρὸς ὀργήν.] ΔΓ, Π ρ ὸ ς π ᾶ σ α ν ὀ ρ γ ή ν.

ΣΕΛΙΔ. 206, στ. 3, Κάσσιόν τε.] Ἐξ ΠΔ, ΑΤ, Κ ά σ σ ι ο ν δ έ. Ἀνοιστέος δὲ ὁ, Τέ, σύνδεσμος πρὸς τὸ προηγησάμενον (σελ. 205) Ο ὔ τ ε, ἵν' ᾖ ὁ νοῦς, Οὔτε Πομπήϊος ἠλπίζετο προήσεσθαι τοῖς νόμοις τὴν δύναμιν, οὔτε Κάσσιον ᾤοντο πλανᾶσθαι καὶ κινδυνεύειν ἕνεκα τοῦ τὴν ἐλευθερίαν ἀποδοῦναι τοῖς πολίταις. Ὅτι δὲ καὶ ὁ, Τ έ, ὥσπερ καὶ ὁ, Κ α ί, σύνδεσμος, ἐπιφέρεται πολλάκις τῷ Ο ὔ τ ε, οὐχ ἡμέτερόν ἐστι ἔργον πιστώσασθαι, ἐξὸν τῷ βουλομένῳ μαθεῖν ἐκ τῶν τεχνογράφων.—στ. 9, Μονονουχί.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Μ ό ν ο ν ο ὐ χ ί.—στ. 9, Βρούτῳ.] Ἐξ ΠΔ, ΑΤ, Β ρ ο ύ τ ο υ.—στ. 10, Προβάλλειν.] Ἐξ ΕΔ, ΑΤ, Π ρ ο σ β ά λ λ ε ι ν. Ἔστι δὲ τὸ Π ρ ο β ά λ λ ε ι ν τ ί τ ι ν ι, ταὐτὸν τῷ ὀνειδίζειν ἢ αἰτιᾶσθαί τινα, καθάπερ καὶ τὸ ἐφ' ὁμοίας σημασίας τεταγμένον Objicio τῶν Ῥωμαίων.—στ. 20, Ἐν ἀδήλῳ. Ἐξ ΕΔ (συνᾳδούσης τοῖς μεταφρασταῖς), ΑΤ, Ἔ τ' ἄ δ η λ ο ν.

ΣΕΛΙΔ. 207, στ. 19, Δικτύων διὰ πόρου καθιεμένων.] Ἴσ. γρ. Δ ι α δ ι κ τ ύ ω ν κ. τ. λ. ΔΓ,...κ α θ ι ε μ έ ν ο ι ς. Καὶ ἴσως, ὡς εἴκασαν καὶ οἱ ΠΡ, ἡ ἀρχαία γραφὴ ἦν, Δ ι κ τ ύ ο ι ς δ ι ὰ π ό ρ ο υ κ α θ ι ε μ έ ν ο ι ς.

ΣΕΛΙΔ 208, στ. 4, Ἡ φλὸξ...διαζώσασα πανταχόθεν τὴν πόλιν.] Ἔσωσε τὴν μεταφορὰν ἡ συνήθεια ἐπὶ τοῦ ἁπλοῦ ζωννύειν· οἷον ἐπὶ τοῦ προκειμένου χωρίου, Ἡ φ λ ό γ α ἔ ζ ω σ ε ν ἀ π' ὅ λ α τ ὰ μ έ ρ η τ ὴ ν π ό λ ι ν.—στ. 12, Ἐξετραχήλιζεν.] Ἐξ ΕΔ, ΑΤ, Ἐ ξ ε τ ρ α χ ή λ ι α ζ ε ν. Ὁ τὸν Βρούτου βίον ἐκδοὺς Φαβρίκιος, ὀρθῶς ἔχειν τὸ, Ἐ ξ ε τ ρ α χ ή λ ι ζ ε ν ἀποδεῖξαι σπουδάζει πολλοῖς ἑτέρων ῥημάτων

παραδείγμασιν διττὴν ἐχόντων κατάληξιν τὴν ιζω καὶ ιαζω, ἅπερ οὐδ' ἡμᾶς λέληθεν. Ἀλλ' ἐπειδὴ ἀλλαχοῦ Πλούταρχος τῷ Ἐ κ τ ρ α χ η λ ί ζ ω καὶ οὐ τὸ Ἐκτραχηλιάζω ἐχρήσατο (Ἰδ. Πίνακ. Πλουτάρχ. ἐκδ. Ῥεϊσκ.), ὅ τε Στέφανος ἐν τῷ Θησαυρῷ (Γ, σελ. 1600) τῷ μοναδικῷ τοῦ προκειμένου χωρίου μαρτυρίῳ χρησάμενος κατεχώρησεν, ἀμφιβάλλων προσέτι, τὸ Ἐκτραχηλιάζω, ὃ καλῶς ποιῶν ὁ Σνεϊδέρος παρέλιπεν ἐν τῷ Ἑλληνογερμανικῷ λεξικῷ, οὐκ ὤκνησα τὸ Ἐξετραχήλιζεν, προελέσθαι τοῦ, Ἐ ξ ε τ ρ α χ η λ ί α ζ ε ν.—στ. 20, Τοὺς μὴ διαφυγόντας τὸ σωθῆναι.] Κακοζήλως πεφρασμένον ἀντὶ τοῦ ἁπλουστέρου, Τ ο ὺ ς δ ι α φ υ γ ό ν τ α ς τ ὸ ν θ ά ν α τ ο ν.—στ. 23, Καὶ γὰρ ἐκεῖνοι...ἐπὶ τῶν Περσικῶν κ. τ. λ.] Ἱστόρηκεν Ἡρόδοτος (ά, 176) τῶν Ξανθίων τούτων τὴν προτέραν ἀπώλειαν.

ΣΕΛΙΔ. 209, στ. 12, Ὁπηνίκα, τὴν μεγάλην ἀρχὴν ἀποβαλὼν ΥΠΟ, ἔφυγεν.] Ἐξ ΠΔ καὶ ἡ στίξις καὶ ἡ τροπὴ τῆς ΑΠΟ εἰς τὴν ΥΠΟ. Φέρεται γὰρ ἡ πρόθεσις οὐ πρὸς τὸ Ἔφυγεν, ὡς ἐξεδέξατο ὁ Ἰταλὸς μεταφραστής, quando perduto il grande impero, sen fuggi da Cecare, ἀλλὰ πρὸς τὸ Ἀ π ο β α λ ὼ ν, κατὰ τὸ ἀλλαχοῦ (Μαρκέλλ. § 3, Πλουτάρχ. Β, σελ. 203) πεφρασμένον, «Τὴν πόλιν ὑπ' αὐτῶν » ἀποβαλόντες ».—στ. 15, Οὐ κατὰ ταὐτά.] ΠΡΔ, ΑΤ, Οὐ κατ' α ὐ τ ά.—στ. 16, Θεόδοτος δέ τις Χῖος.] Σάμιον, οὐ Χῖον, γεγονέναι τὸν Θεόδοτον τοῦτον, ἐσημειωσάμεθα ἐν τῷ Πομπηΐου βίῳ (Πλουτάρχ. Δ, σελ. 397).—στ. 27, Παρὰ τῆς τύχης χρόνον εἰς ἄδοξον...βίον ἐπιδανεισάμενος.] Σημειοῦ τοῦτο ὡς ἄριστα πεφρασμένον. Τὰ γὰρ δοκοῦντα πολλάκις τῶν πονηρῶν εὐτυχήματα οὐδὲν εἰσιν ἕτερον ἢ τῆς τύχης δανείσματα.

ΣΕΛΙΔ. 210, στ. 11, Μή τι κ. τ. λ.] Ὑπονοητέον, οὐχ ὡς ἔδοξέ τῳ τῶν ΠΡ, προσθετέον, τὸ, Δ ε ι ν ό ν.—Ἀπείρητο.] Ἐκ ΔΓ, ΑΤ, Ἀ π ε ί ρ η ν τ ο.—στ. 14, Ὑπὸ τῶν οἰκετῶν.] ΔΓ, Ὑπὸ τῶν οἴκοι. —στ. 18, Καὶ τὸ ἄκαιρον.] Περιττός μοι ἔδοξεν ὁ σύνδεσμος.—στ. 19, Διωσάμενος τὰς θύρας.] ΔΓ, Δ ι ω σ ά μ ε ν ο ς τ ὰ ς χ ε ῖ ρ α ς. Καὶ εἰ τὸ Χεῖρας ὀρθῶς εἶχεν, ὑπενόησεν ἄν τις γεγράφθαι πάλαι Δ ι α σ ε ι σ ά μ ε ν ο ς τ ὰ ς χ ε ῖ ρ α ς. Οὐ μέντοι μετακινητέον τὴν γραφήν· ἔστι γὰρ παραπλήσιον τῷ ἀλλαχοῦ (Ποπλικ. § 5, Πλουτάρχ. Α, σελ. 181) καταλληλότερον πεφρασμένῳ, « Ὠσάμενος διὰ τῶν θυρῶν ». —στ. 22, Ἀλλὰ πίθεσθε κ. τ. λ.] Ἐκ τῆς Ὁμήρου Ἰλιάδος (ά, 259). —στ. 24, Ἁπλόκυνα.] Ὁ Α, ἡρμήνευσε διὰ τοῦ Chien de mauvaise grace, ὅ ἐστι κύνα σκαιὸν ἢ ἄχαριν, ἐφ' ἧς σχεδὸν σημασίας ἐξεδέξατο

καὶ ὁ Ἰταλὸς μεταφραστὴς, εἰπὼν, Cinico sgnajato· ὁ δὲ Λατῖνος ἐπὶ τοῦ, ἀληθινὸν, ἢ φερωνύμως, κύνα verum canem, ἐξέλαβε τὸν Ἁπλόκυνα. Παρελήφθη δὲ ἡ λέξις ἐκ τῶν περὶ Ἀντισθένους τοῦ τῆς κυνικῆς φιλοσοφίας ἀρχηγοῦ, ἱστορηθέντων· « Διελέγετο δ' ἐν τῷ » Κυνοσάργει γυμνασίῳ... ὅθεν τινὲς καὶ τὴν Κυνικὴν ἐντεῦθέν » φασιν ὀνομασθῆναι· αὐτός τε ἐπεκαλεῖτο ἉΠΛΟΚΥΩΝ. Καὶ πρῶτος » ἐδίπλωσε τὸν τρίβωνα... πρῶτον δὲ καὶ Νεάνθης φησὶ διπλῶ-» σαι θοἰμάτιον ». Παρεθέμην ταῦτα πλατύτερον ἐκ Διογένους τοῦ Λαερτίου (στ' 13), ἵν' ἐντεῦθεν εἴη κρίνειν τοὺς ἐξηγησαμένους τὸν Ἁπλόκυνα· ὁ γὰρ Στέφανος, ἐν τῷ Θησαυρῷ (Τομ. Β, σελ. 521), Ἁπλόκυνα φησὶν ἐπωνομάσθαι τὸν Ἀντισθένην, διὰ τὸ ἁπλῷ ἱματίῳ κεχρῆσθαι, καὶ ἐπάγεται μάρτυρα αὐτὸν τὸν παρὰ τῷ Διογένει Νεάνθην, τρέψας εἴτε μνήμης ἁμαρτίᾳ, εἴτ' ἄλλως, τὸ τοῦ Νεάνθους, Διπλῶσαι θοἰμάτιον, εἰς τὸ, Ἁπλῶσαι θοἰμάτιον, ὅθεν ἐξηγεῖται καὶ πιστοῦται τὸν Ἁπλόκυνα. Μήποτε οὖν ἄμεινον τὸν μὲν παρὰ τῷ Διογένει ἉΠΛΟΚΥΝΑ, ὡς γραφικὸν ἁμάρτημα (δόξαν τοῦτο καὶ ἑτέροις), τρέπειν εἰς τὸν ἉΠΛΩΣ ΚΥΝΑ, ἵν' ἡ τοῦ λεγομένου ὁ νοῦς, ὅτι οἱ μὲν ἀπ' Ἀντισθένους ἐπεκαλοῦντο Κυνικοὶ, αὐτὸς δ' Ἀντισθένης ὁ τῆς Κυνικῆς αἱρέσεως ἀρχηγὸς ἐπεκαλεῖτο ἁπλῶς Κύων· τοῦ δὲ ὑπὸ τοῦ Βρούτου ἐπικληθέντος, Ἁπλόκυνος, τὴν μὲν γραφὴν, καίπερ ἀπὸ μὴ πιστῆς τῆς παρὰ τῷ Διογένει γραφῆς ὡρμημένην, μὴ μετακινεῖν, περὶ δὲ τοῦ νοῦ ἐπέχειν τέως, ἕως ἂν συνάπτηται τῷ Ψευδόκυνα. — Καὶ ψευδόκυνα. ] Ἴσως διαγραπτέον τὰς δύο ταύτας λέξεις. Εἰ γὰρ τὸ, Ἁπλόκυνα, τὸν ἀληθινὸν κύνα σημαίνει ἀντιφάσκον ἔσται πρὸς τὸ, Ψευδόκυνα· ὃ συνεωρακὼς καὶ ὁ Λατῖνος μεταφραστὴς, verum canem et falsum Cynicum ἡρμήνευσεν, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Ἁπλόκυνα καὶ ψευδοκυνικὸν, τουτέστι κύνα γνήσιον, καὶ οὐ πιθανῶς ὑποκρινόμενον τὰ τῶν Κυνικῶν. Εἰ δὲ καλῶς ἔχει τὸ, Ψευδόκυνα, ἐκληπτέον τὸ Ἁπλόκυνα, ἐπὶ τοῦ μωροῦ κυνὸς, οὔτε τοῦ ζώου φύσει τοιούτου ὄντος, καὶ τῶν Κυνικῶν ὡς ἐπὶ τὸ πολὺ ὀξύτατι νοῦ καὶ εὐφυΐᾳ διαφερόντων. Ἀλλ' ὥσπερ ἔφην, ἐπέχειν ἄμεινον. — στ. 27, Ἤδη δὲ. ] Ἐξ ΗΔ, ΑΤ, Ἤδη δή.

ΣΕΛΙΔ. 211, στ. 3, Ῥωμαίων. ] ΗΡΔ, ΑΤ, Ῥωμαίων. — στ. 5, Ἠτίμωσε. ] Ἐκ ΔΓ οἱ ΗΡ, ΑΤ, Ἠτίμασε. — στ. 10, Ἐν καιρῷ πολιτείας δεομένῳ. ] Σημείωσαι τὸ Πολιτείας ἐπὶ τῆς αὐτῆς σημασίας τεταγμένον, ἐφ' ἧς καὶ τὸ παρ' ἡμῖν οὐδετέρως καὶ συγκεκριμένως λεγόμενον Πολιτικόν· οἷον ἐπὶ τοῦ προκειμένου χωρίου, Εἰς καιρὸν

ὅπως χρειάζεται Πολιτικόν. Ἔστι δὲ Πολιτικὸν τὸ μετ' εὐλαβείας πράττειν ἢ λέγειν τι, ἢ ἔχθραν ἑτέρων παραιτούμενον, ἢ φιλίαν μνώμενον· χρήσιμον ἔσθ' ὅτε καὶ τῷ σοφῷ, ἐὰν μὴ εἰς τὸ κολακευτικὸν ἐξοκέλλῃ.—στ. 13, Ἀλλ' ἑτέρων δύναμιν ὄντα κ. τ. λ.] Ἀλλὰ τοὺς ταῦτα πράσσοντας διὰ τῆς ἰδίας δυνάμεως ἀνυπευθύνους καθιστάντα, Ἀλλ' ἑτέροις τὸ ταῦτα δύνασθαι πράττειν παρέχοντα.—στ. 16, Ἐν ἐκείνοις μὲν γὰρ κ. τ. λ.] Ἄλλων ἄλλως διορθοῦν τὸ χωρίον ἐπιβαλλομένων τῶν ΠΡ, ἡμῖν μόνῃ τῇ προσθήκῃ τῆς προθέσεως τὴν ἀρχαίαν γραφὴν ἔδοξεν ἀποκαταστῆσαι. Ὁ νοῦς, Ἐν μὲν γὰρ τῷ ἐκείνους (τοὺς Καίσαρος δηλονότι φίλους) ὑπομένειν ἀδικοῦντας, ἀνανδρίας δόξα ἔπην ἡμῖν μόνον, ἐν δὲ τῷ ὑπομένειν νῦν τοὺς ἡμετέρους φίλους ἀδικοῦντας πρόσεστι δόξα ἀδικίας, τουτέστιν ἄδικοι δόξομεν ὄντες αὐτοὶ, εἰ ὑπομένομεν τὰς τῶν ἡμετέρων φίλων ἀδικίας.—στ. 17, Τοιαύτη μέν.] ΔΓ, Τοιαύτη μὲν οὖν.—στ. 20, Ἐπεγρηγορώς.] Σημειοῦ τῆς μήπω καταχωρισθείσης ἐν τοῖς Λεξικοῖς λέξεως τὸ ἰδιόσημον. Ἔστι μὲν γὰρ παρὰ τὸ πᾶσι δῆλον Ἐγρηγορέω, ὃ παρὰ τὸ Ἐγείρομαι καὶ κατὰ συγκοπὴν, Ἔγρομαι, ὅθεν τὸ παρ' Ὁμήρῳ (Ἰλιάδ. κ', 124) Ἐπέγρετο· τάσσεται δ' ἐνθάδε οὐχ ὥσπερ ἐκεῖνα, ἐπὶ τοῦ τῷ καθεύδειν, ἀλλ' ἐπὶ τοῦ τῷ μακρὰ καθεύδειν ἀντικειμένου, ὡς εἶναι τὸ Ἐπεγρηγορὼς ἴσον τῷ Βραχύυπνος, ὃν ἡ συνήθεια, Ὀλιγόϋπνον, καλεῖ.—στ. 23, Οὔτε τῷ.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Οὔτε τῷ.—στ. 27, Ἐπινυστάξειε.] Ἐφυπνώσειε.—στ. 30, Ἑκατοντάρχαι καὶ χιλίαρχοι.] Σημείωσαι τὸ ἄστατον τῆς γραφῆς, ἴσως μὲν τῶν γραψάντων, ἴσως δὲ καὶ αὐτοῦ Πλουτάρχου ἀμέλεια· Τὸ μὲν γὰρ, παρὰ τὸ Ἑκατοντάρχης, τὸ δὲ, παρὰ τὸ Χιλίαρχος.

ΣΕΛΙΔ. 212, στ. 2, Νὺξ μὲν ἦν βαθυτάτη.] Ἐξ ΗΔ ἡ περιαίρεσις τοῦ ἄρθρου ἀπὸ τῆς φερομένης γραφῆς, Νὺξ μὲν ἦν ἡ βαθυτάτη.—στ. 9, Ὑποφθέγγεται.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ὑποφθέγγεσθαι.—στ. 12, Καὶ μήτ' ἀκοῦσαι.] ΠΡΔ, ἡ τοῦ συνδέσμου προσθήκη. Ἴσως ἂν ἄμεινον ἐγράφετο, Μήτε δ' ἀκοῦσαι.—στ. 16, Ἡμέτερος.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ὑμέτερος. Ἡμέτερος οὗτος λόγος, τουτέστιν, Ἡμῶν τῶν Ἐπικουρείων τοῦτό ἐστι δόγμα.—στ. 21, Ἐχούσῃ τὸ αὐτὸ, ῥᾷστα ποικίλλειν κ.τ.λ.] Προειλόμην τὴν στίξιν τοῦ Φαβρικίου, ἀντὶ τῆς παρὰ τοῖς λοιποῖς, Ἐχούσῃ, τὸ αὐτὸ ῥᾷστα ποικίλλειν. Ἔστι δὲ ὅλον τόδε τὸ χωρίον οὐ πάνυ τι σαφῶς ἐκπεφρασμένον. — στ. 25, Γινόμενον.] Προειλόμην τὴν ΔΓ ταύτην ΑΤ, Γινομένων, οὐχ ὡς ὀρθῶς ἔχουσαν ἀποδεξάμενος, ἀλλ' ὡς ἀπορῶν

ὀρθωτέρας. Ἕτεροι δὲ, Γεννώμενον, γράφειν παρῄνεσαν. Εἰ δ', ὅ,τις ἔλαχε τῶν ΠΡ, προχειρῇ προσθεῖναι πρὸ τοῦ, Παντοδαπά, τὴν πρόθεσιν, Ἐπὶ, τηνικαῦτα καλῶς ἴσως ἔχει καὶ τὸ, Γινόμενον, τρέπειν, οὐχ, ὡς εἰκάζε τις, εἰς τὸ Κινούμενον, ἀλλ' εἰς τὸ Φερόμενον, ἵν' ᾖ τοῦ λόγου ἡ συνάρτησις ὅλου, Ἃς [τροπὰς] τρέπεται τὸ φανταστικὸν, ἐξ ἀρχῆς βραχείας ἐπὶ παντοδαπὰ καὶ πάθη καὶ εἴδωλα φερόμενον.—στ. 26, Αὐτῷ.] Ἴσ. γρ. Αὐτοῦ.—στ. 30, Ὡς ἔγωγ' ἂν ἐβουλόμην.] Δαίμονας εἶναι.

ΣΕΛΙΔ. 213, στ. 17, Ἡμέραις.] Ἐξ ΗΔ, ΑΤ, Ἡμέρας. Οὕτως γὰρ καὶ ἀνωτέρω (§ 35, σελ. 211), « Ὀλίγαις ἡμέραις ἔμπροσθεν » εἴρηκε.—Κατεστρατοπέδευσεν ἐναντίον Βρούτου, Κασσίου δ' Ἀντώνιος.] ΠΡΔ, ΑΤ, Κατεστρατοπέδευσεν Ἀντώνιον Βροῦτος, Κάσσιον δὲ Ἀντώνιος. Ὁ Α ἐξέφρασεν, et se campèrent Antonius alencontre de Cassius, et Brutus à l' opposite de Cæsar, ὥσπερ ἂν εἰ ἐγέγραπτο Κατεστρατοπέδευσαν, Ἀντώνιος μὲν ἐναντίον Κασσίου, Βρούτου δὲ Καῖσαρ.—στ. 19, Κάμπους.] Campus παρὰ τοῖς Ῥωμαίοις λέγεται τὸ παρὰ τοῖς Ἕλλησι Πεδίον, ἢ Πεδιάς, ἀντιδιεσταλμένως πρὸς τὰ ὄρη, ἢ ὀρεινὰ χωρία. Ἔστι δὲ καὶ αὐτὸ τὸ Ῥωμαϊκὸν, Κάμπος, τῆς Ἑλλήνων φωνῆς τῶν κατὰ Σικελίαν, ὡς ἔδειξεν ὁ Σκαλιγέρος ἐν τοῖς εἰς τὸν Οὐάῤῥωνα ὑπομνήμασιν· οὕτως γὰρ ἐκάλουν ἐκεῖνοι τὸν ἱππόδρομον, ἐπεὶ καὶ Καμπτὴρ (παρὰ τὸ Κάμπτειν) καλεῖται τὸ τοῦ σταδίου μέρος, καθ' ὃ γενόμενοι ἐπιστρέφειν, καὶ εἰς τὰ ἐναντία τρέχειν, ὤφειλον οἱ σταδιοδρόμοι. « Κάμπος, ἱππόδρομος· Σικελοὶ » φησὶν Ἡσύχιος. Ἀπὸ τούτου τοίνυν τοῦ Ἱπποδρόμου καὶ πάντα τὰ ἐπίπεδα καὶ εἰς ἱππασίαν εὔθετα πεδία, Κάμποι ὠνομάσθησαν, καὶ ὀνομάζονται μέχρι δεῦρο παρ' ἡμῖν, οὐκ ὀθνείαν φωνὴν παραλαβοῦσιν, ἀλλὰ τὴν ἀρχαίαν τηρήσασι.—στ. 28, Κτημάτων.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Κτήματα.

ΣΕΛΙΔ. 214, στ. 12, Ἑσμοί.] Πλήθη μελισσῶν. Ἔσωσεν ἡ συνήθεια τὴν λέξιν ἐν τῷ χυδαϊζομένῳ, Σμάρι, ὅπερ ἐστὶν, Ἑσμάριον καθ' ὑποκορισμὸν τοῦ Ἑσμός.—στ. 13, Ὃν ἐξέκλεισαν οἱ μάντεις.] Ὃν ἐχώρισαν τοῦ λοιποῦ στρατοπέδου. Εἴ τις σκέψαιτο καὶ διερευνήσειε τὴν καταστροφὴν τοῦ στεφάνου, τὴν πτῶσιν τῆς χρυσῆς νίκης, τὴν ἐπιφάνειαν τῶν ὀρνέων, καὶ τῶν μελισσῶν τὸν ἑσμὸν, οὐδὲν ὅτι πάντων τούτων καὶ τῶν τοιούτων, λεγομένων καὶ πιστευομένων σημείων οὐ κατὰ φύσιν εὑρήσει πάλαι τε καὶ νῦν γινόμενον, καὶ τοῦ λοιποῦ γενη-

σόμενον. Καὶ τοῖς μὲν μάντεσιν λυσιτελεῖ δηλονότι τὸ πολλοὺς εἶναι τοὺς σημείοις καὶ τέρασι πιστεύοντας· τὸν δὲ νοῦν ἔχοντα, οὔτ' αὐτὸν χρὴ πείθεσθαι τοῖς τοιούτοις, καὶ τοῖς πειθομένοις συνεχῶς ἐπάδειν προσήκει ὅ φησιν ὁ κωμικὸς Ἄλεξις (παρ' Ἀθην. σελ. 421),

——————————— Ταῦτα γάρ
Κατὰ φύσιν πέφυκεν οὕτως· καὶ τί μάντεως ἔδει!

—στ. 22, Πράγμασιν.] ΔΓ, Προστάγμασιν.—στ. 27, Ἀτέλλιος.] Γραπτέον ἴσως, Ἀτίλιος. —στ. 28, Τὸν γε χειμῶνα.] ΠΡΔ, ΑΤ, Τὸν χειμῶνα. ΔΓ, Τόντε χειμῶνα.—στ. 30, Πλείω.] Ἐκ ΔΓ, ΑΤ, Πλεῖον.

ΣΕΛΙΔ. 215, στ. 4, Γενόμενος.] ΔΓ, Φερόμενος.—στ. 10, Ταῦτά... πάσχειν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ταῦτα... παρασχεῖν.—στ. 12, Ἔχωμεν.] Ἐξ ΠΔ (προστακτικῶς), ΑΤ, Ἔχομεν (οριστικοῦ). —στ. 13, Εἰπόντα.] Ἐκ ΔΓ, ΑΤ, Εἰπῶν. Ἀναφέρεται δὲ πρὸς τὸν Κάσσιον.—στ. 21, Πραγμάτων.] Προσέθηκα τὴν λέξιν ἐκ ΔΓ. — στ. 25, Λόγον ἀφῆκα μέγαν. Ἐπεὶ σκοπός μοι μάλιστα, τοὺς Ἑλληνικοὺς ὑπομνηματιζομένῳ συγγραφεῖς, πρόκειται τὸ δεῖξαι τοῖς φιλομούσοις τῶν ὁμογενῶν μειρακίων, ὅσον ἔχει τὸ χρήσιμον εἰς τὴν τῆς ἀρχαίας γλώσσης ἀκριβῆ κατάληψιν ἡ τῆς καθ' ἡμᾶς παράθεσις, ἐφείσθω μοι διεξοδικώτερον τὸ προκείμενον ἐξηγήσασθαι χωρίον, ὅπερ οὔτε τῶν μεταφραστῶν, οὔτε τῶν ὑπομνηματιστῶν οὐδείς πω νοῆσαι ἴσχυσε. Καὶ τὰς μὲν ἐκείνων διαφόρους καὶ ἀλλοκότους ἐξηγήσεις καθ' ἕκαστον ἐκθέσθαι, εἰς οὐδὲν δέον ἀπομηκύνειν ἔσται τὸν λόγον, ἄλλως τε καὶ ἐξὸν τοῖς παρ' ἡμῖν τῶν Ἑλληνικῶν λόγων καθηγηταῖς, ἀναλεξαμένοις ἐκ τῶν ἐκδόσεων καὶ τῶν μεταφράσεων, παραδοῦναι τοῖς μαθητευομένοις. Οὐδὲν, ὡς εἰπεῖν, οὕτω τετριμμένον, οὐδὲ γνωστὸν ἐν τῇ καθ' ἡμᾶς ἐστι γλώσσῃ, ὡς τὰ Μεγάλα λόγια, ἐπὶ τῶν ὑπερηφάνων λόγων, καὶ τὸ Λαλῶ, ἢ ὁμιλῶ μεγάλα, ἐπὶ τοῦ Μεγαλαυχῶ. Πεπίστευται δ' ἔτι κοινῶς παρ' ἡμῖν, ὅτι καὶ τὰ μεγάλα ταῦτα ῥήματα, κακόν τι μέγα τοῖς μεγαλαυχοῦσιν ἐπάγει, θείας τινὸς νεμέσεως ἐπισκηπτούσης αὐτοῖς, καὶ εἰς τὰ ἐναντία οἷς ἐπαίρονται καὶ μεγαλορρημονοῦσι περιτρεπούσης. Διὸ καὶ πολλάκις ἢ αὐτοὶ ἑαυτοῖς, ἢ ἑτέροις, οἱονεὶ τὴν παρὰ θεοῦ τιμωρίαν ἀποτρεπόμενοι, Μὴ λαλεῖν μεγάλα, ἤ, Μὴ μέγαν λόγον λέγειν, παρακελευόμεθα. Ἐνίοτε δὲ καὶ τὰς προσπιπτούσας συμφορὰς, μεμνημένοι τῶν πρότερον εἰρημένων μεγάλων λόγων, καὶ γνωσιμαχοῦντες δι' ἐκείνους ἡμῖν προσπε-

σεῖν ἐξομολογούμεθα. Ἀμέλει ταὐτὸ τοῦτο καὶ ἐλέγετο καὶ ἐπιστεύετο παρὰ τοῖς ἀρχαίοις, ὡς ἐκ μυρίων ὅσων ἐστὶ πιστώσασθαι παραδειγμάτων. Αὐτίκα Θέογνις (στίχ. 161) παραινῶν τῷ φίλῳ Κύρνῳ φησί·

Μήποτε, Κύρν' ἀγοράσθαι ἔπος μέγ'· οἶδε γὰρ οὐδεὶς
Ἀνθρώπων ὅ τι νὺξ χ' ἡμέρ' ἀνδρὶ τελεῖ.

Μετ' ἐκεῖνον Εὐριπίδης (Ἡρακλ. μαινομεν. 1235, ἐκδ. Ἑρμάνν.),

Ἴσχε στόμ', ὡς μὴ μέγα λέγων, μεῖζον πάθῃς.

ὃ καλῶς ἐνόησε, καὶ ἀκριβῶς ἐξηγήσατο ὁ Βαρνέσιος ἐν τοῖς εἰς τὸν Εὐριπίδην (Ῥῆσ. 342) ὑπομνήμασι, παραθέμενος ἐκ Σοφοκλέους μαρτύρια, οἷς ἐστι προσθεῖναι καὶ τοῦτο (Σοφοκλ. Ἀντιγόν. 1350)·

———————— Μεγάλοι δὲ λόγοι,
μεγάλας πληγὰς τῶν ὑπεραύχων
ἀποτίσαντες,
γήρα τὸ φρονεῖν ἐδίδαξαν.

Καὶ ὁ παρὰ τῷ Κωμικῷ δὲ (Βατρ. 835) Διόνυσος πρὸς τὸν Εὐριπίδην, Αἰσχύλου καταπαιρόμενον, λέγει παραινῶν,

Ὦ δαιμόνι' ἀνδρῶν, μὴ μεγάλα λίαν λέγε.

Οὐ μόνον δὲ παρὰ ποιηταῖς εὑρεῖν ἐστι τὰ τοιαῦτα, ἀλλὰ καὶ λογογράφοι τὸ μεγάλα λέγειν αὐτοί τε παραιτοῦνται, καὶ τοῖς ἄλλοις, ὡς μέγα τι κακὸν ἀποτρέπεσθαι παραινοῦσιν, οἷόν ἐστι τὸ πρὸς Κέβητα ὑπὸ Σωκράτους λεγόμενον ἐν τῷ Πλάτωνος Φαίδωνι (σελ. 95), « Ὦ » 'γαθέ, μὴ μέγα λέγε, μή τις ἡμῶν βασκανία περιτρέψῃ τὸν λόγον » τὸν μέλλοντα λέγεσθαι ». Ἐκ τούτων οὖν καὶ τῶν τοιούτων δῆλον ὅτι καὶ Βροῦτος διὰ τοῦ, Λόγον ἀφῆκα μέγαν, τοιοῦτόν τι βούλεται λέγειν, Κατηλαζονευσάμην πάλαι, ὑπὸ φιλοσοφίας προαχθεὶς, τῆς Κάτωνος αὐτοχειρίας, ὡς πράξεως ἀλλοτρίας φιλοσοφοῦντος ἀνδρὸς, καὶ ὑπερηφάνως ἐπεκόμπασα τὸ, Οὐκ ἄν ἔγωγε τοιοῦτόν τι ἐμαυτὸν δράσαιμι· ἀλλὰ νῦν, διὰ τὸν μέγαν τοῦτον λόγον, ἐν παραπλησίαις ταῖς Κάτωνος συμφοραῖς ἐξεταζόμενος, οἷον ὑπὸ θείας νεμέσεως εἰς τὸ καὶ τὴν αὐτὴν ἐκείνῳ τοῦ βίου τελευτὴν ποιήσασθαι συνωθοῦμαι.—στ. 26, Ἔργον ὄν.] Προσέθηκα τὴν ἀντωνυμίαν. Τῶν ΠΡ δέ τις προστιθέναι παραινεῖ μετὰ τὸ, Ὅσιον.

ΣΕΛΙΔ. 276, στ. 1, Ὅτι Μαρτίαις εἰδοῖς κ. τ. λ.] ΠΡΔ ἡ προσ-

θήκα τοῦ, Ὅτι. Ὁ δὲ Α μεταφράζει, car je donnay aux Ides de mars, etc. τουτέστι, Μαρτίαις γὰρ εἰδοῖς.—στ. 2, Ἄλλον ἔζησα δὲ ἐκείνην κ. τ. λ.] Ἐξ ΕΔ οἱ ΠΡ ΑΤ, Ἀλλ' ὃν ἔζησα δὲ ἐκείνην. Ὁ δὲ Α οὕτως μετέφρασεν, ὥσπερ ἂν εἴη, Ἄλλον ζήσω. Ἄμεινον ὁ Ἰταλὸς μεταφραστὴς, perocchè avend' io già data la propria mia vita alla patria negl' idi di Marzo, un' altra ne ho poi vissuta libera et gloriosa in grazia della patria medesima.—στ. 7, Ἤτει τὸν Κάσσιον.] Ἐξ ΠΔ, ΑΤ, Ἠτεῖτο Κάσσιον.—στ. 14, Παρεστρατοπέδευον.] Ἐξ ΠΔ, ΑΤ, Περιεστρατοπέδευον.—στ. 15, Ἐμβάλλοντες.] ΠΡΔ, ΑΤ, Ἐμβαλόντες. —στ. 17, Ἡ δύναμις.] Ἡ τοῦ Καίσαρος. — στ. 20, Ἐπιταράξειν.] ΠΡΔ, ΑΤ, Ἐπιταράσσειν.—στ. 21, Οὐ προσέχοντες.] Οἱ ὑπὸ Καίσαρι στρατευόμενοι. — στ. 26, Παρεγγυωμένον.] Ἐξ ΠΔ (πρὸς τὸ Βρούτου) ΑΤ, Παρεγγυώμενον (πρὸς τὸ σύνθημα.)

ΣΕΛΙΔ. 217, στ. 1, Ὑπερκεράσαντες.] ΔΓ, Ὑπερκρούσαντες. Ἔστι δὲ τὸ Ὑπερκερᾷν, τὸ τῆς ἐναντίας φάλαγγος κέρας ὑπερβαίνειν. Καὶ τὸ πρᾶγμα, Ὑπερκέρασις· παρὰ δὲ τῷ Σουΐδᾳ, Ὑπερκέρωσις, ὡς ἀπὸ τοῦ, Ὑπερκερόω.—στ. 3, Ἀρτωρίου Μάρκου.] ΔΓ, Σερτωρίου. Ἴδε τὰ ἐν τοῖς πρόσθεν (σελ. 350) σημειωθέντα. — στ. 15, Ὁ καιρός.] Ἐκ ΔΓ (συνᾳδούσης τοῖς μεταφρασταῖς) οἱ ΠΡ, ΑΤ, Ὁ Καῖσαρ.—στ. 16, Τῆς ἐναντίας φάλαγγος.] Τῆς τοῦ Κασσίου καὶ Βρούτου.—στ. 17, Ὠσάμενοι.] Οἱ Ἀντωνίου καὶ Καίσαρος στρατιῶται. —Τὸ μὲν μέσον.] Τοῦ Κασσίου καὶ Βρούτου στρατεύματος. — στ. 18, Τὸ δ' εὐώνυμον.] Ἐν ᾧ ἦν ὁ Κάσσιος.—στ. 19, Καταδιώξαντες...οὐδετέρου κ. τ. λ.] Οἱ Ἀντωνίου καὶ Καίσαρος στρατιῶται, ἀπόντων Ἀντωνίου τε καὶ Καίσαρος.—στ. 25. Τὸ μέσον.] Τοῦ Κασσίου καὶ Βρούτου στρατεύματος.—Τοὺς ἀντιτεταγμένους.] Τοὺς Ἀντωνίου καὶ Καίσαρος στρατιώτας.—στ. 30, Ὅρον.] Σημεῖον, πίστιν, ἀπόδειξιν.

ΣΕΛΙΔ. 218, στ. 1, Τῶν πολεμίων.] Τῶν Ἀντωνίου καὶ Καίσαρος δυνάμεων.—στ. 3, Στρατήγιον.] Τὴν σκηνὴν τοῦ στρατηγοῦ. —στ. 4, Ἤρειπτο.] Ἐξ ΠΔ (καθ' ὑπερσυντελικὸν παρὰ τὸ, Ἐρείπω), ΑΤ, Ἠρείπετο (παρατατικοῦ). — στ. 7, Κράνη.] Προτέθηκαν ἐκ ΔΓ οἱ ΠΡ τὴν λέξιν. — στ. 18, Περιμένει.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Περιμεῖναι. — στ. 23, Ἱππέας.] Οὕτως ἔγραψα, ΑΤ, Ἱππεῖς· οὐκ ἀττικιστὴν ἀποδεῖξαι Πλούταρχον σπεύδων, ἀλλὰ τὸ ἀμφίβολον τῆς φράσεως διαλύων. Ἔστι γὰρ οὐχ, οἱ περὶ τὸν Κάσσιον ἱππεῖς ἑώρων,

ἀλλ', οἱ περὶ τὸν Κάσσιον ὄντες ἑώρων ἱππέας. — στ. 30, Ἑώρων πολλούς. ] Ἐκ ΔΓ, ΑΤ, Ἑωρῶντο πολλοί. Αἴτιον δὲ τῆς διαφορᾶς ἡ τῆς ὀνομαστικῆς, Ἱππεῖς, μετὰ τῆς αἰτιατικῆς, Ἱππέας, σύγχυσις.

ΣΕΛΙΔ. 219, στ, 13, Ὑφ' αὐτοῦ. ] Ἐξ ΕΔ, ΑΤ, Ὑπ' αὐτοῦ. — στ. 20, Ἀπῄει. ] ΔΓ, Ἀνῄει.

ΣΕΛΙΔ. 220, στ. 7, Ἐτρέψατο. ] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἐτρέψαντο. — στ. 11. Τούτων. ] Τὸν μετὰ Βρούτου καὶ Κασσίου. — στ. 12, Βρίγας. ] Τουτέστι, Φρύγας· οὕτως γὰρ ἐκαλοῦντο τὸ ἀρχαῖον οἱ Φρύγες. Ἔπιθι τὰ σημειωθέντα ὑπὸ τῶν κριτικῶν εἴς τε τὸν Ἡσύχιον, καὶ τὸν Βυζάντιον Στέφανον (λέξ. Βρίγες). — στ. 17, Προάγειν. ] ΔΓ, Προσάγειν.

ΣΕΛΙΔ. 221, στ. 1, Προτάγοντες. ] Ἴσ. γρ. Προσαγαγόντες. — στ. 10, Ἔχεις. ] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἔχῃς. — στ. 11, Χλευασομένους. ] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Χλευαζομένους. — στ. 19, Ἐναλέσθαι. Ἐξ ΗΔ, ΑΤ, Ἐνάλλεσθαι. Ἔστι δὲ, Ἐμπηδῆσαι, ἐμπεσεῖν. — στ. 21, Τοῦτο τῷ Βρούτου βίῳ... ἀναπολόγητον. ] Τυπογραφικόν ἐστιν ἁμάρτημα τὸ ἐν τῇ Στεφανείῳ ἐκδόσει, Βρούτῳ. Ὃ δὲ λέγει Πλούταρχος, ὀρθῶς κρίνων, Ἀναπολόγητον ἁμάρτημα, τοιοῦτον ἂν ἦν ἀναμφιλέκτως, εἰ ἦν ἀληθῶς ἱστορημένον· ὁ γὰρ Ἀππιανὸς (Ῥωμ. ἐμφυλ. Δ, 118) διστάζων περὶ αὐτοῦ φησι, «Δοκεῖ δέ τισι καὶ Λακε» δαίμονα καὶ Θεσσαλονίκην ἐς διαρπαγὴν αὐτοῖς δώσειν ὑποσχέσθαι». — στ. 25, Ἵνα χώραν. ] ΔΓ, Ἵνα καὶ χώρας. — στ. 27, Ὑπέκειτο τοῦ πολέμου τέλος. ] Ἐξ ΗΔ, ΑΤ, Ὑπέκειτο τὸ τοῦ κ. τ. λ.

ΣΕΛΙΔ. 222, στ. 1, Ἐν πλῷ, ] ΔΓ, Ἐν πλοίῳ. — στ. 3, Μαχόμενοι, ] Ἴσ. γρ. Μηχανώμενοι, ὡς εἴκασέ τις τῶν ΠΡ, καὶ ἐξέφρασεν ὁ Λατῖνος μεταφραστὴς, machinantes. — στ. 4, οὐκ ἔχων ἰσοῤῥοποῦντα στρατηγόν. ] Ἐπειδὴ Κάσσιος ἐτεθνήκει. ] στ. 5, Τοῖς παροῦσι. ] Στρατηγοῖς.

ΣΕΛΙΔ. 223, στ. 2, Μοναρχίας. ] Ἐκ ΔΓ, ΑΤ, Μοναρχιῶν. — στ. 4, Βουλόμενος. ] ΔΓ, Βουλευόμενος. — Ἀπέκρυψε. ] Ἐξ ΗΔ, ΑΤ, Ἀπέκοψε. Ὁ γὰρ νοῦς, Ὁ Θεὸς ἀπέκρυψε, τουτέστιν ἐκώλυσε γνωσθῆναι τῷ Βρούτῳ, τὴν κατὰ θάλατταν εὐτυχῆ νίκην τοῦ ἰδίου ναυτικοῦ κατὰ τῶν Καίσαρος νηῶν. Τοιοῦτόν δέ τι ἔοικεν ὑποτοπάσαι καὶ ὁ Ἰταλὸς μεταφραστὴς, ἑρμηνεύσας Dio...fece che occulta restasse a Bruto quella buona ventura. — στ. 19, Ἐξαλείφοντας καὶ ἀπομάττοντας. ] Ἄμεινον ἂν ἐγράφετο ἑνικῶς, Ἐξαλείφοντα καὶ ἀπομάττοντα· πλὴν εἰ μὴ οὕτως ἐτερατολόγησαν οἱ ἱστορήσαντες,

ὑπερθαύμαςον τὸ θαῦμα ποιῆσαι βουλόμενοι, εἴ γε τοσοῦτον ἐξέβρυε τοῦ βραχίονος τοῦ ταξιάρχου μύρον, ὥςε μὴ ἱκανὸν εἶναι αὐτὸν ἀπομάττειν, ἀλλὰ πολλῶν μὲν δεῖσθαι τῶν ἀποματτόντων, πολλῶν δ' ἴσως πρὸς τούτοις ληκύθων, ἢ μᾶλλον ὑδριῶν, τῶν δεξομένων τὸ ἀποματτόμενον. — στ. 24, Τῆς πύλης.] Τοῦ ςρατοπέδου. — στ. 27, Προαγαγών.] ΔΓ, Προσαγαγών.

ΣΕΛΙΔ. 224, στ. 4, Καμουλάτος.] Ἴσ. γρ. Καμουλάτιος, ὡς ἐξέφρασεν ὁ Α. Ὁποία δέ ποτ' ἂν ᾖ ἡ γραφὴ, ἔοικεν οὕτως ἐπικεκλῆσθαι ὁ ἀνὴρ ὅδε διὰ τὴν ἐξαίρετον αὐτοῦ ἀνδρίαν, ὡς ἂν τις φράσειεν, Ἀρήιος ἢ Ἀρειμάνιος, παρὰ τὸ Κάμουλος ἢ Κάμυλος, Camulus, ὅπερ ἦν Ἄρεως ἐπίθετον παρὰ τοῖς Σαβίνοις, καθὰ δηλοῦσιν αἱ παρὰ τῷ Γρυτέρῳ ἐπιγραφαὶ (σελ. 56, ἀριθμ. 12). — στ. 5, Ὑπ' ὀργῆς.] Ἐξ ΗΔ (ἣν συνεώρακε μὲν καὶ ὁ ἔναγχος τὸν Βρούτου βίον ἐκδεδωκὼς Φαβρίκιος, ὤκνησε δὲ εἰς τὸ κείμενον καταχωρίσαι), ΑΤ, Ἀπ' ὀργῆς. — στ. 9, Οἱ ἱππεῖς, ἅμα τοῖς πεζοῖς κ.τ.λ.] Οἱ ἱππεῖς ἅμα καὶ οἱ πεζοὶ τοῦ Βρούτου ἐμπεσόντες τοῖς ἐναντίοις τεταραγμένοις. — στ. 10, Τὸ δ' ἕτερον κέρας.] Τοῦ Βρούτου. — στ. 12, Διεσπᾶτο μέσον.] Ἐξ ΗΔ, ΑΤ (βαρβάρου), Διεσπᾶτο τὸ μέσον. Ἔςι γὰρ παραπλήσιον τῷ ἀνωτέρω (σελ. 11 καὶ 12) Ἐρράγη μέσος, ὃ καὶ ἀλλαχοῦ (Πλουτάρχ. Δ, σελ. 501) σεσημείωται. — στ. 27, Λουκίλλιος.] Γράφε ὧδέ τε καὶ ἐν τοῖς ἑξῆς, Λουκίλιος (Lucilius), δι' ἑνὸς λ, ὥσπερ καὶ ἀνωτέρω (Ἀντων. § 69, σελ. 113), ἔνθα πρῶτον ἐμνημόνευσε τοῦ ἀνδρός.

ΣΕΛΙΔ. 225, στ. 5, Ἐξ αὐτῶν.] Γράφε, Ἐξ αὑτῶν, τουτέστιν ἐξ ἑαυτῶν. — στ. 10, Ὑπέςη.] Ἴσ. γρ. Ἐπέςη. — στ. 19, Ἥπου.] Ἐξ ΗΔ, ΑΤ, Ἧπου. — Φέρεται τῇ ἁμαρτίᾳ.] Ἴσως ἄμεινον γράφειν, Φέρετε τὴν ἁμαρτίαν. Τὸ ἁμαρτῆσαι δηλονότι Βρούτου, τὸ ἀντὶ Βρούτου ἕτερον, τὸν Λουκίλιον, ἑλεῖν. — στ. 28, Ὑλῶδες.] Ἴσως ἐγέγραπτο πάλαι, Ἰλυῶδες.

ΣΕΛΙΔ. 226, στ. 4, Ζεῦ, μὴ λάθοι σε κ.τ.λ.] Ἡ Μήδεια λέγει τοῦτο παρ' Εὐριπίδῃ (Μηδ. 332), Ἰάσονι καταρωμένη· ὁ Βροῦτος τὸν Ἀντώνιον ἐνσημαινόμενος ἀνεφώνησε, καθά φησιν Ἀππιανὸς (Ῥωμ. Ἐμφυλ. Δ, 130). — στ. 5, Τοῦ δ' ἑτέρου φησὶν ἐπιλαθέσθαι.] Δύο ἕτεροι ἦσαν ςίχοι, οὓς μόνους (τοῦ ἐν τῷ προκειμένῳ χωρίῳ μὴ μνημονεύσας) διαρρήδην Δίων ὁ Κάσσιος (μζ 49) προήνεγκεν·

Ὦ τλῆμον ἀρετὴ, λόγος ἄρ' ἦσθ'· ἐγὼ δέ σε
Ὡς ἔργον ἤσκουν· σὺ δ' ἄρ' ἐδούλευες τύχῃ.

Μνημονεύει τούτων καὶ Πλούταρχος ἐν ἀρχῇ τοῦ Περὶ δεισιδαιμονίας λόγου· ἀλλ' οὐχ ὡς Βρούτῳ λεχθέντων, κοινῶς δὲ, ὡς ἐν ἐκείνων τοῖς στόματι φερομένων, οἱ ψευδεῖς ἔχοντες ὑπολήψεις περὶ ἀρετῆς, ἐπειδὰν τάχιστα ἐν ἀδοκήτοις γένωνται συμφοραῖς, παλινῳδοῦντες αἰτιῶνται ἣν τέως ἤσκουν ἀρετὴν, καὶ τούτῳ μάλιστα δῆλοι γίνονται μηδέποτε ταύτην μετὰ σπουδῆς ἠσκηκότες. Διὸ καὶ πείθομαι τοῖς μὴ πιστεύουσιν ἀναφθέγξασθαι τὰ ἔπη ταῦτα τὸν Βροῦτον τοσούτῳ μᾶλλον, ὅσῳ καὶ ἀντιφάσκοντά ἐστιν οἷς ἐν τοῖς ἑξῆς (σελ. 227) λέγει, μακαριώτερον ἑαυτὸν τῶν νενικηκότων νομίζων, ὡς δόξαν ἀρετῆς ἀνεξάλειπτον ἀπολείψοντα. Εἰκὸς γὰρ ἄνδρα ἐν τῇ Σωκράτους καὶ Πλάτωνος γεγυμνασμένον παλαίστρᾳ ἐκείνοις μᾶλλον συνῳδὰ τοῖς ἀνδράσι καὶ λέγειν καὶ πράττειν, ὁποῖα καὶ οὐ πολλοῖς ἔτεσι πρότερον τῶν παρὰ τοῖς Γάλλοις ἐνδόξων τις φιλοσόφων ἐν τοῖς ἐσχάτοις δεινοῖς ὢν, ἀπεφθέγξατο·

Ils m' ont dit: Choisis d' être oppresseur ou victime;
J' emprassai le malheur, et leur laissai le crime.

Ἃ τηλικοῦτον ἐμποιεῖν τοῖς καλῶς τραφεῖσι καὶ παιδευθεῖσι δύναται φρόνημα, ὥσθ' εἰλόμην κακὸς μᾶλλον ἀκοῦσαι ποιητὴς, ἢ μὴ γνωστὰ ποιῆσαι τοῖς Ἑλληνικοῖς μειρακίοις διὰ τῆς συνήθους ἡμῖν φωνῆς·

Διάλεξε νάται, μ' ἔλεγαν, ἢ τύραννος τῶν ἄλλων,
Ἢ σφάγιον νὰ γένῃς σὺ κακῶν ἄλλων τυράννων·
Ἐναγκαλίσθην πρόθυμος ἐγὼ τὴν δυστυχίαν,
Κ' ἀφῆκά τους νὰ χαίρωνται μόνοι τὴν ἀνομίαν.

—στ. 13, Ἠθικῶς δὲ σφόδρα μειδιάσας.] Οὐ τρεπτέον εἰς τὸ Ἠπίως κ. τ. λ. ὡς εἴκασεν ὁ Φαβρίκιος. Ἔστι γὰρ τὸ Ἠθικῶς μειδιᾶν, οὕτως μειδιᾶν, ὥστε συνεκφαίνεσθαί τι τῆς τοῦ μειδιῶντος ψυχῆς ἦθος· οἷον, ἀποφθεγξαμένου τινός τι γελοῖον, ἁπλῶς μὲν καὶ ἀνηθοποιήτως γελᾷ ὁ διὰ τὸ γελοῖον μόνον γελῶν· εἰ δὲ μετὰ τοῦ γέλωτος ἐνσημαίνεται καὶ ψυχῆς διάθεσιν ἅμα, εἴτε πρὸς αὐτὸν τὸν ἀποφθεγξάμενον, ἢ ἄλλως ἰδίαν τινὰ κατάστασιν ἐννοούμενος, τοῦτό ἐστι τὸ ἠθικῶς γελᾶν, ὥσπερ καὶ ἠθικῶς λέγειν, καὶ Λόγος ἠθικὸς παρὰ τοῖς ῥήτορσι καλεῖται, ὁ τὸ ἦθος τοῦ λέγοντος παραδηλῶν, καὶ ἐκ τοῦ ἐναντίου Λόγος ἀνηθοποίητος, ὁ μηδὲν ἦθος ἐνσημαινόμενος καθά φησιν Ἰσοκράτης (Ἰσοκράτ. Β. σελ. 68). Ὅθεν καὶ Ἀριστοτέλης (Περὶ ποιητικ. ϛ, § 20) ὁριζόμενος φησὶν, « Ἔστι δὲ

» ἦθος μὲν τὸ τοιοῦτον, ὃ δηλοῖ τὴν προαίρεσιν ὁποία τίς ἐςιν. Διόπερ » οὐκ ἔχουσιν ἦθος ἔνιοι τῶν λόγων, ἐν οἷς οὐκ ἔςι δῆλον, ὅ τι προαιρεῖται ἢ φεύγει ὁ λέγων». Τὸ τοίνυν Ἠθικῶς μειδιάσαι τὸν Βροῦτον πρὸς τοὺς ἐρωτήσαντας περὶ τοῦ πόματος, τοιοῦτόν ἐςιν, οὕτως ἐμειδίασεν, ὥςε δῆλος γενέσθαι διανοούμενός τι τηνικαῦτα κατὰ ψυχὴν ἕτερον τοῦ γέλωτος. Εἰκὸς δὲ διανοεῖσθαι καὶ λέγειν ἐν ἑαυτῷ, Ἐξ οἵων εἰς οἷα συνώθησεν ὁ δαίμων ἡμᾶς· οἷς γὰρ πρὸ μικροῦ μυριοπληθέσιν οὖσιν, ἀφθόνως ἦν ἀπολαύειν ἁπάντων καὶ τοὺς ἐναντίους νικᾷν, τούτοις νῦν οὐδ' ὕδατός ἐςιν εὐπορία δίψαν ὀλιγίςων ἀκέσασθαι δυναμένου. — στ. 18, Ἐκπαισάμενος.] Ἐκ ΔΓ, ΑΤ, Ἐκπεσάμενος. Τοῦτο μὲν γὰρ βάρβαρον· οὐ γὰρ ἔςιν ὅλως τοῦ Πίπτω ῥήματος οὔτε παθητικὸς οὔτε μέσος τύπος, πλὴν τοῦ κατὰ τὸν μέλλοντα, Πεσοῦμαι. Ἐκεῖνο δὲ παρὰ τὸ, Ἐκπαίω, ὃ συνωνύμως μὲν τῷ Ἐκπίπτω σημαίνει τὸ ἐκφεύγω, λέγεται δ' οὐδὲν μᾶλλον χρηστῶς κατὰ μέσην διάθεσιν, ὥσπερ οὐδὲ τὸ ἀντικείμενον Εἰσπαίω τὸ σημαῖνον τὸ εἰσπίπτω, οἷόν ἐστι τὸ τοῦ Κωμικοῦ (Πλοῦτ. 805) διὰ διπλῆς προθέσεως,

'Επεισπέπαικεν οὐδὲν ἠδικηκόσιν.

Ἣ τοίνυν ταύτην τοῦ παρακμάζοντος Ἑλληνισμοῦ ἀποδεκτέον τὴν γραφὴν, ἣν ἀλλαχοῦ Πλούταρχος (Σερτωρ. § 21, Μέρ. Δ, σελ. 22) διὰ διπλῆς ἐξήνεγκε προθέσεως, Διεκπαισάμενος (ἀντὶ τοῦ Διεκπαίσας), καὶ ἔστιν εὑρεῖν καὶ παρ' ἑτέροις (ἴδ. Πίνακα Πολυαίν. λέξ. Διεκπαίομαι), ἢ γραπτέον, Ἐκπεσών, ᾧ κέχρηται Πλούταρχος καὶ ἀλλαχοῦ πολλαχοῦ (ἴδ. Πλουτάρχ. Δ, σελ. 383), παραπλήσιόν τι κἀνταῦθα συμβῆναι λογισαμένους τῇ παρὰ τῷ Πολυβίῳ (ϛ', 37, § 4) διπλῇ γραφῇ, Ἐκπεσοῦσιν, καὶ Ἐκπεσαμένοις.

ΣΕΛΙΔ. 227, στ. 9, Ἀπολείποντα δόξαν ἀρετῆς, ἣν οὔθ'... ἈΠΟΛΕΙΨΟΥΣΙΝ οἱ κεκρατηκότες· ὡς μὴ δοκεῖν κ. τ. λ.] Εἰκότως πράγματα παρέσχε τὸ χωρίον τοῖς ὑπομνηματισταῖς, ὡς μὴ καθαρῶς ἐκπεφρασμένον. Εἰ γὰρ καὶ μεταφράζειν ἐστὶν αὐτὸ, Τοιαύτην ἀπολείποντα δόξαν ἀρετῆς, τὸν Βροῦτον, οἵαν οὔθ' ὅπλοις οὔτε χρήμασιν ἀπολεῖψαι δύνανται οἱ κεκρατηκότες (Καῖσαρ καὶ Ἀντώνιος), ὥςε μὴ δοκεῖν, ὅτι ἀπολέσαντες δικαίους ἄδικοι, καὶ κακοὶ χρηςοὺς, ἄρχουσιν ἀρχὴν μὴ προσήκουσαν αὐτοῖς, καθάπερ ἡρμήνευσαν οἱ μεταφρασταὶ, ἀλλ'

ἔχει γε οὔθ' ἑλληνικὴν οὔτ' ἀκριβῆ τὴν συνάρτησιν. Γράφε τοίνυν θαρ'ῥῶν, ἈΠΑΛΕΊΨΟΥΣΙΝ, ὥσπερ καὶ ἔγραψα ἄν, εἰ μὴ τοῦ δέοντος βράδιον τὸ τῶν ἀντιγραφέων ἁμάρτημα συνεφρόνησα, καὶ ἔτη τὴν γνησίαν Πλουτάρχου γραφὴν τεθηραμένος, κατὰ τόνδε τὸν νοῦν, Τὸν Βροῦτον ἀπολείποντα δόξαν ἀρετῆς, ἣν οὔθ' ὅπλοις οὔτε χρήμασιν οἱ κεκρατηκότες δύνανται ἐξαλεῖψαι καὶ ἀφανίσαι ἐπὶ τοσοῦτον, ὥςε μὴ δοκεῖν κ. τ. λ.

ΣΕΛΙΔ. 228, στ. 1, Τιμῆς καὶ μερίδος.] Παρέλιπον τὰς δύο πρώτας λέξεις ὅ τε Α καὶ ὁ Ἰταλὸς μεταφραςὴς, ὡς μὴ δεόντως εἰσφρησάσας εἰς τὸ κείμενον· ὁ δὲ Λατῖνος ἐξέφρασε τὸ, Τιμῆς, διὰ τοῦ Sectæ. Διὸ καὶ τῶν ΠΡ τις ὑπενόησε μήποτε γραπτέον ἐςὶ, Τομῆς· καὶ γὰρ καὶ τὸ Ῥωμαϊκὸν Secta, ὃ σημαίνει Αἵρεσιν, παρὰ τὸ Seco (τὸ Τέμνω) παρηγμένον, τομή τίς ἐςι. — στ. 4, Τὰ δὲ λείψανα κ. τ. λ.] Συνᾴδει τούτοις καὶ ὁ Ἀππιανὸς (Ῥωμ. ἐμφυλ. Δ, 135). Δίων δ' ὁ Κάσσιος (μζ', 49) λέγει, ὅτι « Τὸ μὲν ἄλλο σῶμα ταφῆς » ὑπὸ τοῦ Ἀντωνίου ἔτυχεν, ἡ δὲ δὴ κεφαλὴ ἐπέμφθη μὲν εἰς τὴν » Ῥώμην, χειμῶνι δὲ ἐν τῷ ἀπὸ τοῦ Δυῤῥαχίου διάπλῳ περιπεσοῦσα, « εἰς τὴν θάλασσαν ἐῤῥίφη ». — στ. 9, Ἐκ τοῦ πυρὸς ἀνασπάσασαν ἄνθρακας κ. τ. λ.] Τὰ αὐτὰ λέγει καὶ Ἀππιανὸς καὶ Δίων ὁ Κάσσιος.

ΣΕΛΙΔ. 229, στ. 2, Τοῦ μεγίστους.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τὸ μέγιςον. — στ. 8, Ἀτρεμοῦντι.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἀτρεμοῦντα. Ἴσ. γρ. Ἀτολμοῦντι. — στ. 10, Ἑαυτῷ.] Ἐξ ΕΔ, ΑΤ, Ἑαυτοῦ. — στ. 18, Παρακαταθέμενοι.] Πιςεύσαντες. — στ. 20, Ἐν τῇ φυγῇ.] Ἐξ ΕΔ οἱ ΠΡ προσέθηκαν τὴν πρόθεσιν.

ΣΕΛΙΔ. 230, στ. 4, Ἔδοξε.] 'Ἐκ ΔΓ (συνᾳδούσης τῷ Α), ΑΤ, Ἔδειξε. — στ. 8, Πάρεσις.] Ἄφεσις, τὸ ἀφεῖναι Διονύσιον φυγεῖν ἐκ Συρακουσῶν. — στ. 9, 'Ἐπαίτιον.] Γραπτέον, οἶμαι, Ὑπαίτιον. — στ. 12, Ὡς μέν.] 'Ἐξ ΕΔ, ΑΤ, Ὧν μέν. — 'Ἐβούλετο.] ΔΓ, 'Ἐβουλεύετο. — στ. 15, Ὅλων.] Τυπογραφικὸν ἔοικεν ἁμάρτημα εἶναι τὸ ἐν τῇ Στεφανείῳ ἐκδόσει, Ὅπλων· ὃ ἐσημειώσατο καὶ ὁ ἡμέτερος Πόρτος.] στ. 22, Σώσαντος.] 'Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Σώματος. — στ. 24, Φίλος ὤν.] 'Ἐξ ΕΔ οἱ ΠΡ προσέθηκαν τὴν ἀντωνυμίαν. — Συνώρθου.] 'Ἐξ ΗΔ, ΑΤ, Ὤρθου.

ΣΕΛΙΔ. 231, στ. 2, Ταῖς Πλάτωνος ἐπιστολαῖς.] 'Ἐν τῇ ἑβδόμῃ ἐπιστολῇ.] στ. 11, Καὶ τῶν ἐχθρῶν.] Προσέθηκα τὸν σύνδεσμον, ὃν ἐξέφρασε καὶ ὁ Α. 'Ἐν δὲ τοῖς ἐχθροῖς αἰνίττεται μάλιστα τὸν Ἀντώνιον, περὶ οὗ ἔπιθι τὰ ἀνωτέρω (§ 29). — στ. 22, Καὶ

πρὸς

πρὸς τῷ μηθέν... γινομένης.] Ἐξ ΗΔ ἡ προσθήκη τοῦ ἄρθρου, καὶ ἡ τοῦ Γενομένης εἰς τὸ Γινομένης τροπή. Ὁ νοῦς, Ψυχῆς ἦν γινομένης πρὸς τῷ μηδὲν ὑφίεσθαι τοῦ φρονήματος διὰ φόβον, τουτέςι περὶ τοῦτο μόνον σχολαζούσης, ὅπως μηδὲν ἐνδώσει μηδὲ καταβαλεῖ τὸ φρόνημα διὰ φόβον. Ἐπαγέσθω δὲ καὶ μαρτύριον τῆς ἡμετέρας διορθώσεως, παραπλησία λόγου συνάρτησις ἥδε, « Ἀντίοχος δὲ καὶ » Πτολεμαῖος... ἐγίγνοντο πρὸς τῷ διὰ μάχης κρίνειν τὴν ἔφοδον » ( Πολύβ. έ, 79, § 1 ). — στ. 25, Ἀμηχάνου.] Ἀδυνάτου· « Ἀμήχανον, » ἄπορον... ἡ ἐνδεὲς » φησὶν Ἡσύχιος. — στ. 27, Περιαψάμενον.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Περιαψαμένων. — Ἔχθραν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἔχθρας.

ΣΕΛΙΔ. 232, στ. 5, Πιςευθέντας.] Ἐξ ΗΔ, ΑΤ, Πιςεύσαντας. — στ. 8, Προσῆκεν.] Ἐκ ΔΓ, ΑΤ, Προσήκον. — στ. 14, Εἰκονικόν.] Ἐξηγησάμεθα τὴν λέξιν ἀλλαχοῦ ( Πλουτάρχ. Γ, σελ. 364). — στ. 23, Τύχας.] Ἐπιθι Πλούταρχ. Β, σελ 459, καὶ Ἰσοκράτ. Β, σελ. 213.

## ΑΡΑΤΟΣ.

ΣΕΛΙΔ. 233, στ. 3, Διατίθεται.] Ἐξ ΕΔ, ΑΤ, Διατίθεσθαι. — στ. 10, Ἀλλ' ᾧ γε φύσει τὸ γενναῖον ἐπιπρέπει ἐκ πατέρων, κατὰ Πίνδαρον.] Οὕτως παρὰ τῷ Πινδάρῳ ( Πυθ. ή, 61 ἔκδ. Ἑϊν. ),

——— Μαρναμένων
Φυᾷ, τὸ γενναῖον
Ἐπιπρέπει ἐκ πατέρων παισὶν λῆμα.

Ὅπου σημειωτέον, ὅτι τὸ Φυᾷ ( ὅ ἐςι Φύσει ) δῆλός ἐςι Πλούταρχος χωρίσας ἀπὸ τοῦ Μαρναμένων, καὶ πρὸς τὰ ἑπόμενα συνάψας, καθὰ καὶ ἦν ἐν ταῖς ἀρχαίαις Πινδάρου ἐκδόσεσιν ἐςιγμένον, Μαρναμένων, φυᾷ τὸ γενναῖον κ. τ. λ. καὶ ὥσπερ ἐξεδέξατο καὶ ὁ τοῦ Πινδάρου σχολιαςής, « Φύσει τὸ συγγενὲς ἐκ πατέρων προθύ» μημα τοῖς παισὶν ἐπιπρέπει ». — στ. 16, Συνάπτοντες.] ΔΓ, Συνάψαντες. — Τοῦ γένους.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τοὺς γένους. — στ. 23, Ἅπερ αὐτούς.] ΔΓ, Ἅπερ οὖν αὐτούς. — στ. 25, Βέλτισον αὐτὸν ἡγεῖσθαι.] Ἐκ ΔΓ προσέθηκα τὴν ἀντωνυμίαν. ΔΓ, Βελτίω αὐτὸν ἡγεῖσθαι. Οἱ δὲ ΠΡ ἑτέρως διωρθώκασι γράψαντες, Βελτίςου ἡγεῖσθαι, οὐκ ἐπὶ τοῦ νομίζειν ἀλλ' ἐπὶ τοῦ ἄρχειν,

ἐκδεξάμενοι τὸ ἡγεῖσθαι. Τὴν ἡμετέραν γραφὴν ἡρμήνευσαν καὶ οἱ μεταφρασταί.

ΣΕΛΙΔ. 234, στ. 16, Σὺν θεῷ τινι.] Λέγεται καὶ Κατὰ θεόν τινα, οἷον (Πλάτ. Εὐθυδήμ. σελ. 272) « Κατὰ θεὸν γάρ τινα ἔτυχον » καθήμενος ἐνταῦθα, οὗπερ σύ με εἶδες » · καὶ Κατὰ δαίμονα, οἷον (Ἀριστοφάν. Ὀρ. 544),

Σὺ δ' ἐμοὶ κατὰ δαίμονα, καὶ κατὰ
Συντυχίαν ἀγαθὴν, ἥκεις ἐμοὶ σωτήρ.

Ἡ δὲ παρ' ἡμῖν συνήθεια, Ἀπὸ θεοῦ, ἢ περιφραστικῶς, Ὁ θεὸς ἔκαμε, ἢ κατ' ἔλλειψιν κομψοτέραν, Ὁ θεός· οἷον ἐπὶ τοῦ προκειμένου Πλατωνικοῦ χωρίου, Ἀπὸ θεοῦ ἔτυχα καθήμενος, ἢ, Ὁ θεὸς ἔκαμε νὰ τύχω καθήμενος, ἢ, Ὁ θεὸς κ' ἔτυχα καθήμενος. — στ. 27, Ἀδηφαγίαν.] Περὶ τῆς τῶν ἀθλητῶν ἀδηφαγίας ἔπιθι τὰς εἰς τὸν Ἐπίκτητον (Διατριβ. Γ, 15) σημειώσεις τῶν ὑπομνηματιστῶν.—Σκαφίον.] Λέγεται καὶ Σκαπάνη. Παρὰ τοῦτο δὲ παρῆκται τὸ ἐν τῇ συνηθείᾳ, Τσαπίον καὶ Τσάπα, μεταβολῇ τοῦ κσ εἰς τὸ τσ (ἰδ. Πλουτάρχ. Γ, Αὐτοσχ. ϛοχ. νδ'). Οὐ γὰρ ὑποληπτέον παρὰ τὸ Ἰταλικὸν Zappa γεγονέναι τὸ ἡμέτερον Τσάπα, ἀλλὰ τοὐναντίον τοὺς Ἰταλοὺς παρ' Ἑλλήνων λαβεῖν τοῦ γεωργικοῦ σκεύους τοὔνομα, καθὰ καὶ ἕτεροι ἐσημειώσαντο. Ὀνομάζομεν δὲ καὶ, Λίσγον (ὅθεν τὸ τῶν Ῥωμαίων Ligo onis) τὴν, Τσάπαν, ἢ παραπλήσιον τῇ Τσάπᾳ σκαφίον, οὐ δὲ τούτου τοῦ ὀνόματος ὀθνείου ὄντος. Ἐχρήσατο γὰρ αὐτῷ ὁ κατὰ τὴν δευτέραν ἀπὸ Χριστοῦ ἑκατονταετηρίδα ἀκμάσας Ἀρτεμίδωρος, καθὰ ἐσημειώσατο ὁ Σαλμάσιος (Πλινιαν. Γυμν. σελ. 365). Ἀμελήσαντος δὲ καὶ τὸν τόπον, ἐν ᾧ εὕρηται παρ' Ἀρτεμιδώρῳ τοὔνομα, σημειώσασθαι τοῦ Σαλμασίου, κακῶς ἔτι καὶ νῦν παρ' ἐκείνῳ ἡ ἡμαρτημένη σώζεται γραφὴ (Ἀρτεμιδώρ. Ὀνειροκριτ. Β, 24) ΜΙΣΓΟΣ, ἣν ὁ νεώτατος τῶν ἐκδοτῶν εἰς τὸ ΜΙΣΧΟΣ μετεποίησεν, δέον εἰς τὸ ΛΙΣΓΟΣ τρέψαι. Καὶ γὰρ καὶ τοῦ ἐκ τοῦ Θεοφράστου ἐπαγομένου μαρτυρίου ὑπὸ τοῦ Στεφάνου ἐν τῷ Θησαυρῷ τῆς Ἑλληνικῆς γλώττης (Πινακ. σελ. 1461) « Θετταλοὶ δ' » ἰσχυρότερον ἔτι δικέλλης ὄργανον ἔχουσιν, ὃ καλοῦσι ΜΙΣΧΟΝ » ὡς οὐκ ἀπηλλαγμένου γραφικῆς πλημμελείας, τρεπτέον μοι δοκεῖ τὴν τελευταίαν λέξιν εἰς τὸ ΛΙΣΓΟΝ. Ἀλλ' ἐπανίωμεν ἐπὶ τὸ τῶν ἀθλητῶν σκαφίον, ὃ ἐξηγησόμεθα ἐκ τοῦ σχολιάσαντος τὸν Θεόκριτον, καθάπερ ἐποίησε καὶ ὁ φίλος Κλαυέριος ἐν ταῖς εἰς τὴν Γαλατικὴν τοῦ Πλουτάρχου

μετάφρασιν σημειώσεσι. Τοῦ γὰρ Θεοκρίτου (Εἰδυλλ. δ', 10) εἰρηκότος περὶ ἀθλητοῦ τινος,

Κῴχετο ἔχων σκαπάναν, ———

ὁ σχολιαστὴς φησι, «Σκαπάνη ἐστὶ δίκελλα, σκαφίον, ἢ λισγάριον, τὸ » κοινῶς λεγόμενον τζαπίον, ὃ οἱ Ἀττικοὶ ἄμην. Χρῶνται δὲ αὐτῇ » πάντες μὲν οἱ ἀθληταὶ, μάλιστα δὲ οἱ πύκται... ὑπὲρ γυμνασίας τῇ » σκαπάνῃ σκάπτοντες, καὶ τὰ ἄνω μέρη ἀναῤῥωννύντες». Ἐπὶ τοῦ προκειμένου Πλουταρχείου χωρίου, τὸ Σκαφίον ὁ Ἰταλὸς μεταφραστὴς ἡρμήνευσε διὰ τοῦ Marra, οὕτως καὶ τῶν πάλαι Ῥωμαίων καλούντων· ὃ καὶ αὐτὸ Ἑλλάδος γενεῆς καὶ αἵματος ἔοικεν εἶναι· καὶ γάρ, «Μάῤῥον, ἐργαλεῖον σιδηροῦν» φησὶν Ἡσύχιος. — στ. 29, Κομψότερον.] ΠΡΔ, ΑΤ, Κομψότερος. — Δοκεῖ.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Δοκεῖν. — στ. 30, Ὑπὸ χεῖρα.] Προχείρως· ἐκ τοῦ παραχρῆμα, αὐτοσχεδίως. Ἔπιθι τὰ ἐν ἄλλοις (Πλουτάρχ. Β, σελ. 422) σημειωθέντα περὶ τῆς φράσεως.

ΣΕΛΙΔ. 235, στ. 1, Ἁμιλλησάμενος.] Σπεύσας, ἢ καὶ ταχυγραφήσας, οὐκ κατ' ἀκυρολεξίαν. Σημαίνει γὰρ καὶ τοῦτο ἡ λέξις· «Ἁμιλ- » λᾶν, τὸ ἐρίζειν· καὶ εἰς τάχος γράφειν», φησὶν Ἡσύχιος. Καὶ εἰκάσειεν ἄν τις οὐκ ἀπιθάνως τοῦ παρακμάζοντος ἑλληνισμοῦ εἶναι τὴν σημασίαν, τὴν ἀρχὴν λαβοῦσαν ἀπὸ τῆς ἐν διδασκαλείοις ἁμίλλης τῶν παίδων ἐν τῷ γράφειν. Ὅθεν καὶ τὸ ὑπαγορευόμενον τοῖς γράφουσιν ὑπὸ τοῦ διδασκάλου, Ἅμιλλα, ὠνομάζετο, ἢ δῆλον ἐκ τῶν ἀρχαίων Ῥωμαϊχελληνικῶν συναγωγῶν λέξεων, «Dictatum, ἅμιλλα, ΚΑῚ ἈΝΑ- » ΔΕΔΟΜΈΝΑΙ ΚΑΙΜΑΘΗΝΑΙ» ὅπερ ὁ Σαλμάσιος ἐν τοῖς εἰς τὸν Οὐοπίσκον ὑπομνήμασι (In Fl. Vopisc. not. pag. 481), ἢ ἑτέροις ἀντιγράφοις ἐντυχὼν, ἢ αὐτὸς διορθώσας, οὕτως προήνεγκε, Dictatum, ἅμιλλα, καὶ ἀναδεδομένον καὶ μάθημα. Ἔστι μέντοι καὶ συντομώτερον διορθοῦν, Dictatum, ἅμιλλα, ΚΑῚ ΤῸ ἈΝΑΔΙΔΌΜΕΝΟΝ ΜΆΘΗΜΑ, τουτέστι τὸ παρὰ τοῦ διδασκάλου ὑπαγορευόμενον. Ὁ γὰρ αὐτὸς Λεξικογράφος προϊὼν λέγει «Dictat, ἀναδίδωσιν, ὑπαγορεύει». — στ. 6, Πασέαν.] Ἐκ ΔΓ, ΑΤ, Πασίαν. — στ. 10, Μυρσίλος.] ΔΓ, Μυρτίλος. — στ. 14, Ἐκινδύνευσεν.] Ἐξ ΗΔ (συνᾳδούσης τοῖς μεταφρασταῖς), ΑΤ, Ἐκινδύνευεν. — στ. 20, Παρεθεώρει.] Ἐκ ΔΓ, ΑΤ, Ἀπεθεώρει. Ἔστι δὲ Παραθεωρεῖν, τὸ λάθρα θεωρεῖν, ὥσπερ καὶ Παρακούειν, τὸ λάθρα ἀκούειν. — στ. 25, Παρῆκε τὸν χρόνον.] Μεταμέλει μοι μὴ τρέψαντι

Δδ 2

τὸ παρ' ἅπασι Παρῆκε εἰς τὸ σύνηθες Πλουτάρχῳ Παρῆγε. Οὕτως γὰρ καὶ ἀνωτέρω (Δημητρ. § 51, σελ. 49) καὶ ἀλλαχοῦ (Πλουτάρχ. Ε, σελ. 112), Παρῆγε τὸν χρόνον, εἴρηκε. — στ. 29, Ἐκ Σικυῶνος.] Ἐκ ΔΓ, προσέθηκα τὴν πρόθεσιν.— Ἔκδηλος.] Ἔκδημον τοῦτον ὀνομάζει Πλούταρχος ἐν ἀρχῇ τοῦ Φιλοποίμενος Βίου (Πλουτάρχ. Β, σελ. 309 καὶ 459).

ΣΕΛΙΔ. 236, στ. 6, Ὠρμημένος.] Γραπτέον, οἶμαι, Ὁρμώμενος.—στ. 20, Ἄβατον.] ΔΓ, Ἄπορον.

ΣΕΛΙΔ. 237, στ. 1, Ξενοφίλου, πρώτου τῶν ἀρχικλώπων.] Ἐκ ΔΓ, ΑΤ, Πρώτου Ξενοφίλου τῶν ἀρχικλώπων.—στ. 9, Ἀχάνας.] Κίσας. Ἔοικε δὲ ἡ λέξις ἐκ Περσῶν εἰς Ἕλληνας μεταβῆναι, καθὰ καὶ ἑτέροις ἔδοξε. Διὸ καὶ Ἡσύχιος φησὶν, « Ἀχάνας, τινὲς μὲν » Περσικὰ μέτρα· Φανόδημος δὲ τὰς κίσας κ. τ. λ. », τοῦτο δηλονότι τοῦ Κωμικοῦ (Ἀριστοφάν. Ἀχαρν. 109) ἐξηγούμενος τὸ χωρίον, ἐν ᾧ περὶ τοῦ παρὰ τοῦ βασιλέως πρέσβεως φησὶν,

——— Ἀχάνας ὅδί γε χρυσίου λέγει.

—στ. 13, Προελθών.] Ἐξ ΕΔ, ΑΤ, Προσελθών.— στ. 21, Ἀρχ.] Ἐκ ΔΓ προσέθηκα τὴν λέξιν. — στ. 27, Προῆγεν.] ΔΓ, Προσῆγεν. —στ. 29, Σύνθημα.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Συνθήματα. —στ. 30, Προῆγεν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Προσῆγεν.

ΣΕΛΙΔ. 238, στ. 1, Ἀνιεὶς τὴν πορείαν.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἀνιεὶς εἰς τὴν πορείαν. Ἔστι δὲ, βραδύνων τὴν βάδισιν.— στ. 10, Ἐντόνως.] ΔΓ, Εὐτόνως.—στ. 11, Προσέμιξαν.] Ἐκ ΔΓ, ΑΤ, Συνέμιξαν.—στ. 13, Ὁ τὴν ἑωθινὴν φυλακὴν παραδιδοὺς ἐφώδευε κώδωνι.] Παρατίθει τούτοις τοῖς ἀπὸ τῶν Τακτικῶν τὰ τοῦ Ἀριστοφάνους (Ὄρν. 1160),

Ἐφοδεύεται, κωδωνοφορεῖται πανταχῆ
Φυλακαὶ καθεστήκασι καὶ φρυκτωρίαι
Ἐν τοῖσι πύργοις, ———————

προσεπιμνημονεύσας καὶ τὰ Γαλατιστὶ σημειωθέντα μοι, περὶ τῆς ἐφοδείας ταύτης, εἰς τοὺς Θεοφράσ. χαρακτῆρας (σελ. 201).—στ. 23, Θηρατικός.] Ἐκ ΔΓ, ΑΤ, Θηρευτικός.— στ. 25, Κατάκοπος.] Ὁ ἐν τῇ συνηθείᾳ Κατακομμένος.

ΣΕΛΙΔ. 239, στ. 1, Πρὸς αὐτόν.] Ἐκ ΔΓ οἱ ΠΡ προσέθηκαν τὴν πρόθεσιν. Ἑτέρα ΔΓ, Αὐτῷ.—στ. 3, Παρωξύνθαι.] Ἐκ ΔΓ, ΑΤ,

Παροξύνεσθαι.—στ. 6, Προσβαλλόντων.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Προσβαλλόντων.—στ. 7, Τῶν κλιμάκων.] Ἐκ ΔΓ, ΑΤ, Τῶν μὲν κλιμάκων.—στ. 8, Καθ' ἕνα καὶ σχολαίως.] Ἐκ ΔΓ προσέθηκα τὸν σύνδεσμον. Τὸ Καθ' ἕνα ἡ παρ' ἡμῖν συνήθεια ἐκφράζει διπλασιάζουσα τὸ ἀριθμητικὸν ἀσυνδέτως, διὰ τοῦ, Ἕνας ἕνας, ἤ, Ἀπὸ ἕνα ἕνα. Καὶ ἔοικε τοῦ παρακμάζοντος ἑλληνισμοῦ εἶναι ἡ φράσις· οἷόν ἐστι καὶ τὸ παρὰ τοῖς Ἑβδομήκοντα (Παραλειπομ. Α, κδ', 6), « Εἷς εἷς τῷ Ἐλεάζαρ, καὶ εἷς εἷς τῷ Ἰθάμαρ ». Ἐσημειώσαντο μέντοι καὶ οἱ Λεξικογράφοι ἐκ μηκέτι σωζομένου δράματος Σοφοκλέους τό, Μίαν μίαν, ἀντὶ τοῦ μᾶλλον ἐν χρήσει Κατὰ μίαν (ἰδὲ Σοφοκλ. Μέρ. Δ, σελ. 731, ἐκδ. Βρυγκ.).—στ. 11, Ἐπερχομένων.] ΔΓ, Ἀπερχομένων.—στ. 14, Ἐπῆλθεν.] ΔΓ, Ἐπανῆλθεν. Ἴσως ἐγέγραπτο, Ἀνῆλθεν.—στ. 28, Ὑπονόμων.] Ἀγὸν καὶ Ἀγωγὸν λέγει ἡ συνήθεια τὸν Ὑπόνομον.—στ. 29, Διήρπαζον.] ΔΓ, Ἀνήρπαζον.—στ. 30, Οὔτε.] Ἐξ ΗΔ, ΑΤ, Οὐδέ.—Ἐκώλυεν.] ΔΓ, Ἐκώλυσεν.

ΣΕΛΙΔ. 240, στ. 1, Εἰς μέσον ἔθηκε τοῖς πολίταις.] Διένειμε τοῖς πολίταις. Παραπλησίως καὶ ἡ συνήθεια, Τὰ ἔβαλεν εἰς τὴν μέσην.—στ. 5, Ὑπὸ Νικοκλέους.] ΔΓ, Ἐπὶ Νικοκλέους.—στ. 6, Ὑπὸ τῶν.] Ἐξ ΗΔ, ΑΤ, Ἐπὶ τῶν.—στ. 12, Ὑφ' αὐτῆς.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ὑπ' αὐτῆς.—στ. 18, Ῥαχίας.] « Ῥαχία, πᾶς πετρώ» δης αἰγιαλὸς » φησὶν Ἡσύχιος. Ὅθεν καὶ ὁ ἐν τῇ συνηθείᾳ Βράχος, προσθήκη τοῦ Αἰολικοῦ δίγαμμα, ὃ προσετίθεσαν καὶ οἱ ἀρχαῖοι· καὶ γὰρ καὶ « Βρακείας, τραχεῖς τόπους » εὕρηται παρὰ τῷ αὐτῷ Ἡσυχίῳ, ὃ τρεπτέον εἰς τὸ μονοφθογγούμενον Βραχίας, μὴ μετακινοῦντας τὸ κ, ὡς καὶ αὐτὸ τῶν Αἰολέων ἀνθυποβαλλόντων τῷ χ.—στ. 27, Διεφύλαξαν.] Ἐκ ΔΓ, ΑΤ, Ἐφύλαξαν.—στ. 30, Πικρῶς.] ΔΓ, Πικρός.

ΣΕΛΙΔ. 241, στ. 5, Ὡς οὐδενὸς ἄλλου τῶν καλῶν.] Ἐξ ΗΔ, ΑΤ, Ὡς οὐδενὸς ἄλλ' ἢ τῶν καλῶν. ΔΓ, Ὡς οὐδενὸς ἄλλου ἢ τῶν καλῶν. Τὸ πολλὰ τοῖς ΠΡ παρασχὸν πράγματα χωρίον τόδε, μόνου τῇ τοῦ διαζευκτικοῦ ἐκ τῆς ΔΓ ἐξαιρέσει, νοητὸν οἶμαι καταστῆσαι. Ἡ συνάρτησις, Ἐρασθῆς ὁμονοίας ἐθνῶν καὶ κοινωνίας πόλεων, καὶ συνεδρίου καὶ θεάτρου μίαν φωνὴν ἀφιέντος ὡς οὐδενὸς ἄλλου τῶν καλῶν· ὁ δὲ νοῦς, Οὐδενὸς τῶν ἄλλων καλῶν οὕτως ἐφρόντιζεν, ὡς τοῦ ὁμονοεῖν καὶ κοινωνεῖν ἀλλήλοις τὰ ἔθνη καὶ τὰς πόλεις, καὶ τοῦ ὁμοφωνεῖν τό τε συνέδριον, τουτέστι

τὴν βουλὴν, καὶ τὸ θέατρον, τουτέστι τὴν ἐκκλησίαν τοῦ δήμου. Ὅτι δ' οὗτός ἐστιν ὁ νοῦς τοῦ χωρίου, μαρτυρεῖ καὶ ἡ ὑποσημειωθεῖσα ἐν τῇ Ῥεϊσκίου ἐκδόσει, τοῦ Ξυλάνδρου μετάφρασις.—στ. 7, Συσκευάσασθαι κρύφα.] Ἐκ ΔΓ, ΑΤ, Συσκευάσασθαι καὶ κρύφα. Τὸ δὲ Συσκευάσασθαι ἴσον ἐνθάδε δύναται τῷ διὰ τέχνης, ἢ ἐπιβουλῆς ἀπατῆσαι· ὅθεν καὶ «Συσκευὴ, ἐπιβουλή» παρ' Ἡσυχίῳ.—στ. 8, Ἐπηβολώτατος.] Οὕτως ἔγραψα ΑΤ, Ἐπιβουλότατος. ΔΓ, Ἐπιβολώτατος.—στ. 15, Ὑπαιθρίοις.] ΔΓ, (ἣν προείλοντο οἱ ΠΡ), Ὑπαίθροις. Καὶ οἱ μὲν Ἀττικισταὶ (Φρύνιχ. σελ. 106) ἀττικώτερον εἶναι διατείνονται τὸ Ὑπαίθριος τοῦ Ὕπαιθρος· τὸ δὲ ἀληθὲς, ὥσπερ λέγεται Αἴθρη καὶ Αἰθρία (κατὰ τὸ Κάκη καὶ Κακία), οὐκ ἀπεικὸς καὶ διπλοῦν εἶναι τὸ παρὰ ταῦτα σύνθετον, Ὕπαιθρος καὶ Ὑπαίθριος. «Αἴθρη, αἰθρία, αὐγὴ, εὐδία, ἀὴρ, καθαρὸς, κ.τ.λ.» φησὶν Ἡσύχιος. Ἡ δὲ Αἴθρη παρὰ τὸ Αἴθω, τὸ λάμπω, ὃ καὶ Αἰθύνω ἐλέγετο. Ὅθεν διορθωτέον τὸν αὐτὸν Ἡσύχιον φάσκοντα, «Αἰθύνεσθαι, ΛΑΜΒΑΝΕΣΘΑΙ» τρέποντας τὸ τελευταῖον τοῦτο εἰς τὸ ΛΑΜΠΡΥΝΕΣΘΑΙ.—στ. 25, Χρῆσθαι παρεῖχεν αὐτῷ τὸν ἀεὶ στρατηγοῦντα.] ΔΓ, . . στρατηγοῦντι. Οὐδετέρα τῶν γραφῶν ἔῤῥωται· ἦν γὰρ ἂν μᾶλλον εὐσυνάρτητον καὶ σαφέστερον, εἰ ἐλέγετο, Χρῆσθαι παρεῖχεν ἑαυτὸν τῷ ἀεὶ στρατηγοῦντι. Τὸ δ', Ἀειστρατηγῶν, ἐκφράσαις ἂν εἰς τὴν καθ' ἡμᾶς φωνὴν, διὰ τοῦ, Ὁ κατὰ καιρὸν στρατηγός· ὥσπερ καὶ, Ὁ ἀεὶ βασιλεύων, ἐκλαμβάνεται πολλάκις ἐπὶ τοῦ, Ὁ κατὰ καιρὸν βασιλεύς.—στ. 26, Τριταεύς.] Ἐξ ΕΔ, ΑΤ, Τριτεύς. Ἡ γὰρ πόλις, Τριταία, ἧς τὸ ἐθνικὸν, Τριταιεύς (ἴδε Πλουτάρχ. Ε, σελ. 362).

ΣΕΛΙΔ. 242, στ. 6, Μεθώνης.] ΔΓ, Μοθώνης· ἐκαλεῖτο γὰρ καὶ οὕτως (διὰ τοῦ ο) ὑπό τινων Γεωγράφων, ὡς καὶ νῦν ἐν τῇ καθ' ἡμᾶς φωνῇ Μοθώνη, ἡ Πελοποννησία Μεθώνη. — Ὑπὲρ Μαλέας.] Ἐπιθι τὰ ἀλλαχοῦ (Ἡλιοδώρ. Β, σελ. 160) περὶ τῆς Λακωνικῆς ἄκρας ταύτης σημειωθέντα· οἷς προστίθει, ὅτι οἱ οὐ πολλῷ πρὸ ἡμῶν γεγονότες Καταμάγουλον, ἢ Ὄνου Καταμάγουλον, ὠνόμαζον τὴν ἄκραν ταύτην, συγχέαντες δηλονότι τὴν Μαλέαν ἄκραν, τῇ καλουμένῃ, Ὄνου γνάθῳ, ἑτέρᾳ ἄκρᾳ σταδίοις ἑκατὸν πεντήκοντα τῆς Μαλέας ἀπεχούσῃ, ὃ καὶ ὁ ἡμέτερος ἐσημειώσατο Μελέτιος (Γεωγραφ. σελ. 376).—στ. 9, Ἀνδρίας.] Ἐξ ΕΔ, ΑΤ, Ἀδρίας. Τοῦτο μὲν γὰρ οὐδὲν ἐνθάδε σημαίνει· ἡ δὲ Ἀνδρία εἴη ἂν ἡ Ἀνδρία χώρα κατὰ τὸ πλῆρες, τουτέστιν ἡ νῆσος Ἄνδρος. Ἕτεροι δὲ (πιθανώτερον

ἴσως), Ἀκτίας, γράφειν δεῖν ὑπετόπασαν, τὴν αὐτὴν ἡγησάμενοι εἶναι τῇ οὕτως καλουμένῃ τῆς Πελοποννήσου Ἀκτῇ, περὶ ἧς ἐν τοῖς ἑξῆς (§ 40, σελ. 268) μνημονεύσει Πλούταρχος, καὶ ἡμεῖς ἀλλαχοῦ (Προδρ. Ἑλλην. βιβλιοθ. σελ. 311) ἐσημειωσάμεθά τινα. — στ. 24, Αὐτόθεν ΤΕ τῷ βασιλεῖ διακειμένῳ πρὸς αὐτὸν οἰκείως ἐνέτυχε ΚΑΙ θεραπευομένῳ κ. τ. λ.] Τὸ μὲν, Πρὸς αὐτὸν, ἐκ ΔΓ εἴληφα· ὤφειλον δὲ καὶ ΑΤ Θεραπευομένῳ παραλαβεῖν ἐκ τοῦ αὐτοῦ ἀντιγράφου τὸ, Τεθεραπευμένῳ. Ἀλλ' οὐδ' οὕτως ἔῤῥωται τὸ χωρίον, ἐὰν μὴ καὶ τοὺς δύο συνδέσμους περιέλῃς, ὃ οὐδ' οἱ ΠΡ συνῆκαν, κἀγὼ νῦν ὀψὲ κατενόησα. Γραπτέον τοίνυν μοι δοκεῖ, Αὐτόθεν τῷ βασιλεῖ διακειμένῳ πρὸς αὐτὸν οἰκείως ἐνέτυχε, τεθεραπευμένῳ κ. τ. λ. Ὁ νοῦς (ὃν ἡρμήνευσαν καὶ οἱ μεταφρασταί), Ἐνέτυχε τῷ βασιλεῖ, διακειμένῳ πρὸς αὐτὸν εὐμενῶς αὐτίκα (τουτέστι, καὶ πρὸ μακρᾶς καὶ χρονίου συνουσίας), διὰ τὸ προθεραπεῦσαι αὐτὸν ἤδη τοῖς ἀπὸ τῆς Ἑλλάδος πεμφθεῖσι πίναξι.—στ. 27, Περιττῶν.] Συνωνύμως τῷ Περιέργων, ἢ λέξει (τῇ Περίεργον) καὶ ἡ συνήθεια κέχρηται ἐπὶ τῆς σημασίας τοῦ μετὰ σπουδῆς εἰργασμένου, καὶ εἰς κάλλος κατεσκευασμένου πράγματος, τὸ Περιττὸν ἐφ' ἑτέρας ἐννοίας τάξασα.—στ. 28, Μελάνθου.] Ὁ αὐτὸς καὶ ὃν τετρασυλλάβως, Μελάνθιον Διογένης τε ὁ Λαέρτιος (δ', 18) καὶ ὁ Πλίνιος (λέ, 7 καὶ 10) ὀνομάζουσιν. Ἐγένοντο γὰρ, ὥς φησι Πλίνιος, μαθηταὶ Παμφίλου ὅ τε Ἀπελλῆς, καὶ ὁ τούτῳ συνακμάσας Μελάνθιος.

ΣΕΛΙΔ. 243, στ. 2, Ἐπὶ ταλάντῳ.] Τῷ Παμφίλῳ ἐτέλεσεν Ἀπελλῆς τὸ τάλαντον, ὥσπερ καὶ ὁ Μελάνθιος· οὐδένα γὰρ ἐν ὅλοις ἔτεσι δέκα, τὴν τέχνην ἐδίδαξεν ἐφ' ἧττονι ταλάντου μισθῷ, ὥς φησι Πλίνιος, Docuit neminem minoris talento annis decem: quam mercedem ei Apelles et Melanthius dedere (Plin. XXXV, 10). —στ. 5, Τοῦ κατὰ Φίλιππον.] Ἐξ ΗΔ ἡ προσθήκη τοῦ ἄρθρου.— στ. 6, Ὑπὸ τῶν περὶ τὸν Μέλανθον.] Ἐξ ΗΔ (ἧς ὁ νοῦς, Ὑπὸ τοῦ Μελάνθου), ΑΤ, Ὑπὸ πάντων τῶν περὶ τὸν Μέλανθον. ΔΓ, Ὑπὸ πάντων περὶ τὸν Μέλανθον.—στ. 11, Νεάλκη.] Μνημονεύει καὶ τούτου τοῦ ζωγράφου ὁ Πλίνιος (λέ, 11).—στ. 16, Διηλείψεν.] Ἐκ ΔΓ, ΑΤ, Δειίληφεν. Ἑτέρα ΔΓ, Διήλειφεν, ἣν προείλοντο οἱ ΠΡ.

ΣΕΛΙΔ. 244, στ. 2, Ἀποδειχθεὶς γάρ.] Ἐκ ΔΓ, ΑΤ, Ἀποδειχθεὶς δ'.—στ. 4, Πόνῳ πολλῷ καὶ μεγάλαις πραγματείαις.] Τοῦθ' ἡ παρ' ἡμῖν συνήθεια ἐκφράζει Μὲ πολὺν κόπον καὶ μὲ μεγάλα

βάσανα.—στ. 10, Βουλαὶ μὲν ... εὐνομίαν.] Αἱ μὲν βουλαὶ καὶ τὰ ἆθλα, καὶ ἡ ὑπὲρ Ἑλλάδος ἀνδρεία τούτου τοῦ ἀνδρὸς (τοῦ Ἀράτου) πλησιάζει ταῖς στήλαις τοῦ Ἡρακλέους (τουτέστι, μέχρι στηλῶν Ἡρακλέους ἐφίκετο τῇ φήμῃ). Ἡμεῖς δὲ, Ἄρατε, τῆς εἰς τὴν πατρίδα ἐπανόδου τυχόντες διὰ σὲ, ἐστήσαμεν, ἀντὶ τῆς σῆς ἀρετῆς καὶ δικαιοσύνης, τὴν εἰκόνα σοῦ τοῦ σωτῆρος τοῖς σωτῆρσι θεοῖς· ὅτι ἀπέδωκας τῇ σῇ πατρίδι τύχην ἴσην καὶ θείαν εὐνομίαν.—στ. 16, Τοῦ μὲν πολιτικοῦ φθόνου.] Τοῦ παρὰ τῶν πολιτῶν φθονεῖσθαι.—στ. 29, Ὅλος.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ὅ λ ω ς.

ΣΕΛΙΔ. 245, στ. 6, Ἔρωσι.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἔ ρ ω τ ι. Τὸ ἑξῆς, ὥσπερ ἐξηγήσαντο οἱ ΠΡ, Τοσοῦτον προσῆν φθόνου καὶ κακοηθείας ταῖς περιμαχήτοις βασιλέων καὶ τυράννων φιλίαις, πρὸς ἃς τοξεύονται (ὥσπερ βέλη) οἱ τῶν ἀνθρώπων διάπυροι ἔρωτες.—στ. 9, Τὴν μὲν ἀντιπέρας.] Ἐκ ΔΓ προσέθηκα τὸν σύνδεσμον. — στ. 13, Ἐνιαυτῷ δ' ὕστερον.] Γραπτέον ἴσως, φασὶν οἱ ΠΡ, Ἐ ν ι α υ τ ῷ δ' ὕ σ τ ε ρ ο ν ὀ γ δ ό ῳ· μετὰ γὰρ τοσούτους ἐνιαυτοὺς ἀπὸ τῆς πρώτης στρατηγίας στρατηγῆσαι τὸ δεύτερον Ἄρατον, διαῤῥήδην ἱστόρηκε Πολύβιος (β', 43). Εἰ μετακινεῖν δέοι τὴν παρὰ τῷ Πλουτάρχῳ γραφὴν, προελοίμην ἂν συντομώτερον γράφειν, Ἐ ν ι α υ τ ο ῖ ς δ' ὕ σ τ ε ρ ο ν.

ΣΕΛΙΔ. 246, στ. 4, Ἀπέλειπε.] ΔΓ, Ἀ π έ λ ι π ε.—στ. 6, Ἐπεὶ φανερῶς ἦν ἡ ἐπιχείρησις ἀνέλπιστος.] ΔΓ, Ἐ π ε ὶ φ α ν ε ρ ῶ ς ἀ ν έ λ π ι σ τ ο ς ἦ ν ἡ ἐ π ι χ ε ί ρ η σ ι ς.—στ. 19, Ἀμοιβέως.] ΔΓ Ἀ μ ο ι β έ ο υ· τοῦτο μὲν παρὰ τὴν, Ἀ μ ο ι β έ α ς, εὐθεῖαν, ἐκεῖνο δὲ παρὰ τὴν, Ἀμοιβεύς. Ἐπειδὴ τὰ ἀλλαχοῦ (Πλουτάρχ. Δ, σελ. 435) διὰ μακρῶν εἰρημένα περὶ τῆς ἀπ' ἰσοσυλλάβου εἰς περιττοσύλλαβον κλίσιν μεταπτώσεως ταύτης.—στ. 24, Ἀμοιβέα.] Καὶ ὧδε ΔΓ, Ἀ μ ο ι β έ α ν.

ΣΕΛΙΔ. 247, στ. 8, Πράξει.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Πατρίδι. — στ. 13, Εἰς Σικυῶνα πρὸς Αἰγίαν.] Ἐκ ΔΓ, ΑΤ, Π ρ ὸ ς Α ἰ γ ί α ν ε ἰ ς Σ ι κ υ ῶ ν α.—στ. 23, Πράξεις.] ΔΓ, Φ ρ ά ξ ε ι ς. Τὸ δὲ, Πράξεις, ὅπερ οἱ μεταφρασταὶ, οὐκ ἀκριβῶς, οἶμαι, ἐπὶ τοῦ συνήθους ἐξεδέξαντο (Λατιν. negotia, Γαλλ. affaires, Ἰταλ. facende), εἴη ἂν ἐνταῦθα, ἐπὶ τοῦ, Φ ό ρ ο υ ς, ὥς' εἶναι τὰς, Β α σ ι λ ι κ ὰ ς πράξεις, ἴσον τῷ, Βασιλικῷ θησαυρῷ· οἱ γὰρ τῶν βασιλέων θησαυροὶ ἐκ τῶν φόρων σύγκεινται. Ὅθεν καὶ « Πράκτωρ ὁ τὸν ἐπικείμενον εἰσπραττόμενος φόρον » παρὰ τῷ Σουίδᾳ. Οἱ δὲ Βυζαντινοὶ συγγραφεῖς καὶ Π ρ α κ τ ε ῖ ο ν ὠνόμαζον τὸ τῶν Πρακτόρων οἴκημα, ὡς ἐσημειώσατο ὁ Δουκάγγιος (σελ. 1220). Ἔνθα καὶ κατὰ πάρεργον ἐξηγείσθω, ἣν πρὸ τοῦ Π ρ α κ τ ε ί ο ν,

ἔταξε λέξιν ἀνεξήγητον· « Πρακνάδας ... πρὸς τὸ ἌΡΕ πρακνάδας ». Γραπτέον μὲν οὖν ἌΡΑΙ· ἔστι γάρ, Πρὸς τὸ ἆραι πρακνάδας, ἰατρικοῦ κεφαλαίου ἐπιγραφή, σημαίνουσα, πρὸς τὸ θεραπεῦσαι, ἢ ἰᾶσθαι πρακνάδας. Αἱ δὲ Πρακνάδες, λέξις ἠλλοιωμένη παρὰ τὸ Περκνάδες, κηλῖδές εἰσι τοῦ προσώπου, ἃς ἡμεῖς νῦν, Τσαπράδας, καὶ Τσεπράδας, καλοῦμεν. « Περκνώματα, τὰ ἐπὶ τοῦ προσώπου » ποικίλματα », φησὶν Ἡσύχιος, παρὰ τὸ Περκνὸν (ὃ καὶ Πρεκνὸν, καὶ Πρακνὸν εὕρηται παρ' αὐτῷ), τουτέστι μελανὸν, ποικίλον, ὡς αὐτὸς ἐξηγεῖται. Αἱ δὲ παρ' ἡμῖν, Τσαπράδες, Σαπράδες εἰσί, τουτέστι σαπρίαι (ὥσπερ Ἁμαρτάδες καὶ Ἁμαρτίαι), οὕτως κεκλημέναι διὰ τὸ σήψει τινὶ τῶν ὑπὸ τῷ δέρμα χυμῶν γεννᾶσθαι τὰ πλεῖστα τῶν ἐξανθημάτων, οἷά εἰσι τὰ καλούμενα, ἐφηλίδες, φακοί, ψυδράκια, καὶ τὰ παραπλήσια. « Σαπρία, σῆψις, σάθρωμα, ψυδράκιον » φησὶν Ἡσύχιος· καὶ « Ψύδραξ, τὸ ἐπὶ τοῦ σώματος ἐξάνθημα » ὁ Σουΐδας. — στ. 24, Ἦ γὰρ οὐχί.] Ἐξ ΠΔ, ΑΤ, Ἢ γὰρ οὐχί. — στ. 25, Ὑπάρξει;] ΔΓ (ἀμείνων ἴσως), Ὑπάρχει. — στ. 26, Ἀποπειράτεσθαι.] Ἐξ ΠΔ, ΑΤ, Ἀποπειρᾶσθαι· ἔστι γὰρ τὸ Ὡμολόγησεν ἀποπειράσεσθαι, παραπλήσιον τῇ συντάξει τῷ μετ' ὀλίγα (§ 19, σελ. 248) ῥηθησομένῳ, Δώσειν ὡμολόγησεν. — στ. 29, Ποδῶν.] ΔΓ, Πηχῶν.

ΣΕΛΙΔ. 248, στ. 8, Ὁ δ'* Οὕτω κ. τ. λ. Τὰ κακῶς εἰσφρήσαντα πρῶτα δύο γράμματα ἐξώσας (ὃ καὶ τῶν ΠΡ τις παρῄνει), σαφὲς καταστήσεις τὸ χωρίον. — στ. 9, Ἐπαμινώνδαν.] Ἐκ ΔΓ, ΑΤ, Ἐπαμεινώνδαν. — στ. 13, Προεισφέρειν. ] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Προσεισφέρειν.

ΣΕΛΙΔ. 249, στ. 26, Παρέχειν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Κατέχειν.

ΣΕΛΙΔ. 250, στ. 1, Ὑπελύοντο τὰς κρηπῖδας· οὔτε γὰρ ψόφον ποιοῦσι κ. τ. λ.] Ἠμελημένως ἐκπεφρασμένον, οἷα οὐκ ὀλίγα τοιαῦτα εὕρηται παρὰ τῷ Πλουτάρχῳ, καίπερ ὂν σαφέστατον· ὤφειλε γὰρ εἶναι, Ὑπελύοντο τὰς κρηπῖδας, καὶ γυμνοῖς τοῖς ποσὶν ἀντελαμβάνοντο τῶν κλιμάκων, ἵνα μήτε ψόφον ποιοῖεν πολὺν, μήτ' ὀλισθήματα λαμβάνοιεν· ἤ, Ὑπελύοντο τὰς κρηπῖδας· γυμνοῖς γὰρ τοῖς ποσὶν ἀντιλαμβανόμενοι τῶν κλιμάκων, οὔτε ψόφον πολὺν ποιεῖν ἔμελλον, οὔτ' ὀλισθήματα λαμβάνειν. — στ. 4, Πύλῃ.] ΔΓ, Πόλει. — στ. 7, Ὡς ἂν δύνωνται τάχιστα, τὰς κλίμακας κ. τ. λ ] Ἐκ ΔΓ, ΑΤ, Ὡς ἂν δύνωνται, τάχιστα δὲ τὰς κλίμακας. — στ. 26, Ὑπολάμπουσα.] Ἐκ ΔΓ, ΑΤ, Ὑπολαβοῦσα.

ΣΕΛΙΔ. 251, στ. 3, Τὸν αὐτὸν τρίβον.] Οὐ τρεπτέον εἰς τὸ, Τὴν αὐτὴν τρίβον, ὡς ἔδοξέ τινι τῶν ΠΡ· καὶ ἀνωτέρω γὰρ (§ 22, σελ. 250), Τοῦ τρίβου, ἀρσενικῶς εἴρηκεν· ἀλλὰ σημειωτέον τὸ μήπω καταχωρισθὲν ἐν τοῖς Λεξικοῖς ἀρσενικὸν, Ὁ τρίβος, καθ' ὁμοιότητα λεχθεὶς τοῦ συνωνύμου, Ὁ στίβος.—στ. 18, Ἧκεν.] ΔΓ, Ἦλθεν.—στ. 23, Ἀπέφαινε.] Ἐξ ΗΔ (συναδούσης τῷ Α καὶ τῷ Ἰταλῷ μεταφραστῇ), ΑΤ, Ἀπέφηνε.—στ. 28, Ἥλιος αὐτοῖς εὐθύς.] ΔΓ, Ἥλιος εὐθύς.

ΣΕΛΙΔ. 252, στ. 6, Ταῖς παρόδοις.] Ἔπιθι τὰ ἀνωτέρω (σελ. 341) σημειωθέντα περὶ τῆς λέξεως.—στ. 11, Προελθεῖν.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Προσελθεῖν.—στ. 13, Ἐπερεισάμενος.] Ἐξ ΗΔ, ΑΤ, Ἀπερεισάμενος.—στ. 24, Νὴ τοὺς θεούς.] ΔΓ, Νὴ θεούς. — στ. 27, Μὲν οὖν περί.] ΔΓ, Μὲν περί.

ΣΕΛΙΔ. 253, στ. 2, Οἱ Ἀχαιοί.] Ἐκ ΔΓ προσέθηκα τὸ ἄρθρον. —στ. 11, Πρώτην.] ΔΓ, Πρῶτον.—Θέμενος.] Ποιήσας.—στ. 18, Ὥστ' ἐπεὶ μὴ ... ἐξῆν.] Ἐξ ΗΔ, ΑΤ, Ὥστ', εἰ μὴ ...ἐξῆν. Οἱ δὲ ΠΡ διώρθουν, Ὥστε, μὴ ... ἐξόν.—στ. 25, Συμφυΐαν.] ΔΓ, Συμφωνίαν.—στ. 28, Ὅλον.] Ἐξ ΕΔ, ΑΤ, Ἄλλου.—στ. 30, Ὁρῶν δέ.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ὁρῶντε.

ΣΕΛΙΔ. 254, στ. 1, Ἐπεβούλευσεν.] ΔΓ, Ἐπεβούλευεν. — στ. 2, Τῇ τε πόλει.] Ἐκ ΔΓ, ΑΤ, Τῇ πόλει. — στ. 7, Ἐπῆσαν.] Ἐκ ΔΓ, ΑΤ, Ὑπῆσαν. — στ. 8, Σάγματα.] Τὰ ἐν τῇ συνηθείᾳ, Σαγμάρια. — στ. 9, Περιθείς.] Ἐξ ΗΔ, ΑΤ, Περιτιθείς.— στ. 11, Ἠγανάκτησαν.] Ἐκ ΔΓ, ΑΤ, Ἠγανάκτουν. — στ. 20, Τῶν δὲ πολλῶν ἤδη διὰ συνήθειαν ἐθελοδούλως ἐχόντων.] Τῶν τῆς δουλείας δεινὸν ἔσχατόν ἐστι τὸ μηδ' αἰσθάνεσθαι δοῦλον ὄντα. Συμβαίνει δὲ τοῦτο μάλιστα οὐ τοῖς πολλοῖς, ὥς φησι Πλούταρχος, ἀλλὰ τοῖς τῶν πολλῶν ὑπερέχειν δοκοῦσιν· οὗτοι γὰρ ἐν ταῖς τυραννικαῖς αὐλαῖς ἐξεταζόμενοι καθ' ἡμέραν, καὶ ὑπὸ τοῦ τυράννου προπηλακιζόμενοι, ὡς οὐδὲ τῶν πολλῶν ὁ ἔσχατος, ἀγαπῶσιν ὅμως δουλεύοντες, καὶ τὸν τοῖς μήτ' ἀδικεῖν μήτ' ἀδικεῖσθαι βουλομένοις ἀβίωτον εἶναι δοκοῦντα βίον, μακαριώτατον ἐκεῖνοι νομίζουσιν, ἂν μόνον προπηλακίζειν ἑτέρους αὐτοῖς ἐξῇ.

ΣΕΛΙΔ. 255, στ. 2, Πολλοῖς μὲν ὄμμασιν ὁρᾷ, διὰ πολλῶν δ' ὤτων ἀκούει καὶ προαισθάνεται, τὰ γινόμενα.] Ἐκ τοῦ Ξενοφῶντος ὁ Πλούταρχος ταῦτα, οὐ μιμήσασθαι Ξενοφῶντα μειρακιωδῶς καὶ σχολαστικῶς βουληθεὶς, ἀλλ' ἐνδιατρίβοντος ἀδιαλείπτως τοῖς τῶν

δοκίμων συγγράμμασιν καὶ ποιήμασι, εἰκὸς πολλὰ καὶ ῥήματα καὶ νοήματα τῶν ἀνδρῶν ἐκείνων, ὥσπερ ἐκ ταμιείου τῆς μνήμης προαιρούμενον, μηδὲ συνειδότος πολλάκις, γράφειν τὸν κάλαμον. Λέγει δ' ὁ Ξενοφῶν (Κύρ. παιδ. Δ, γ, § 20), « Ἐγὼ δὲ, ἣν ἱππεύειν μάθω... » τέτταρσι μὲν ὀ φ θ α λ μ ο ῖ ς τεκμαροῦμαι, τέτταρσι δὲ ὠ σ ὶ π ρ ο α ι» σ θ ή σ ο μ α ι ».—στ. 8, Ἕνεκα.] Ἐκ ΔΓ, ΑΤ, Ε ν ε κ ε ν.—στ. 11, Δειπνῆσαι.] Ἐκ ΔΓ, ΑΤ, Δ ε ι π ν ή σ α ι ε ν (ὅπερ εἰκὸς ἐκ τοῦ, Δ ε ι π ν ή σ ε ι ε, γεγενῆσθαι)· ὁ γὰρ νοῦς οὐχ, Ὁπότε δειπνήσειαν οἱ οἰκέται, ὥσπερ ἐξεδέξαντο ὅ τε Α καὶ ὁ Λατῖνος μεταφραστὴς, ἀλλ' Ὁπότ' αὐτὸς, ὁ Ἀρίςιππος, δειπνήσειε, come cenato avea, ὡς ὀρθῶς ἡρμήνευσεν ὁ Ἰταλὸς μεταφραστής.—στ. 12, Μέταυλον.]ΔΓ, Μ έ σ α υ λ ο ν. Ἀμφοτέρως λέγεται· καὶ οἱ μὲν φασιν Ἀττικωτέραν εἶναι τὴν διὰ τοῦ τ γραφὴν, ἕτεροι δὲ τοὐναντίον. Κατὰ γὰρ Εὐστάθιον (Ἰλιάδ. λ', σελ. 862), « Ἀττικοὶ μὲν τὴν μέσην θύραν Μ έ σ α υ λ ο ν φασίν· μάλιστα μὲν οὖν » τὴν μέσην δυοῖν αὐλαῖν, ὥς φησιν Αἴλιος Διονύσιος, ἣν καὶ Μ έ» τ α υ λ ο ν ΑΥΤΟΣ ΛΕΓΕΙ, πρὸς ὁμοιότητα τοῦ Μ ε θ ό ρ ι ο ν καὶ » Μ ε τ α ί χ μ ι ο ν »· πλὴν εἰ μὴ ἡμάρτηται ἡ παρ' Εὐσταθίῳ γραφὴ, ἀντὶ τοῦ ΑΥΤΟΥΣ ΛΕΓΕΙΝ. Ἔπιθι περὶ τῆς Μεταύλου, ὥσπερ καὶ περὶ τῶν λοιπῶν τῆς παρὰ τοῖς ἀρχαίοις οἰκοδομίας μερῶν, ἃ διὰ μακρῶν ὁ σοφὸς Σνεϊδέρος ἐσημειώσατο ἐν οἷς ἐξέδωκεν, Ἀπομνημονεύμασι τοῦ Ξενοφῶντος (Λειψ. 1801, σελ. 268-293).—στ. 13, Θύρα καταῤῥάκτη.] Ταύτην ἀλλαχοῦ (Πρὸς Ἡγεμόν. ἀπαίδευτ. § 4) Πλούταρχος αὐτὸ τοῦτο τὸ περὶ Ἀριστίππου ἱςορῶν, Θ ύ ρ α ν ἐ π ι ρ ρ ά κ τ η ν ὀ ν ο μ ά ζ ε ι· κατωτέρω δὲ ἐν τῇδε τῇ σελίδι συσταςικῶς καὶ ἀρσενικῶς, Τ ο ὺ ς κ α τ α ῤ ῥ ά κ τ α ς, ἐρεῖ. Ἀναλογεῖ δὲ τῇ παρ' ἡμῖν Κ λ α ι δ α ν ῆ, καθὰ ἐσημειωσάμεθα εἰς τὸν Ἡλιόδωρον (Β, σελ. 48).—στ. 20, Περιπεποιημένος.] ΔΓ, Π ε π ο ι η μ έ ν ο ς.

ΣΕΛΙΔ. 256, στ. 1, Ἅπαξ δὲ καὶ κλίμακας.] ΔΓ, Ἅ π α ξ δὲ κλίμακας.—στ. 6, Ἀλλ' ὡς τόν.] Ἐκ ΔΓ, ΑΤ, Ἀ λ λ ά τ ό ν. — στ. 13, Προεξέπεμψε.] ΔΓ, Ἐ ξ έ π ε μ ψ ε.—στ. 14, Ἑαυτῷ τε.] ΔΓ, Ἑ α υ τ ῷ δέ.—στ. 17, Σ τ ρ α τ ο π έ δ ῳ.] Οὐ τρεπτέον εἰς τὸ, Σ τ ρ α τ ῷ, καθάτις ὑπενόησε τῶν ΠΡ. Αὐτὸν γὰρ τοῦτον σημαίνει πολλάκις τὸν ςρατὸν τὸ Σ τ ρ α τ ό π ε δ ο ν. — Περὶ τὸν Χάροντα ποταμόν.] Οὐδεὶς ἐμνημόνευσε ποταμοῦ τῆς Ἀργολίδος καλουμένου Χάροντος· ἀλλ' ὁ Ἐρασῖνος ἴσως ἐπὶ Πλουτάρχου μετωνόμαστο Χάρης, ὥσπερ εἴκασα ἐν ταῖς εἰς τὴν Στράβωνος Γαλατικὴν μετάφρασιν (Vol. III, pag. 230) σημειώσεσι.

ΣΕΛΙΔ. 257, στ. 13, Ἤθροισεν ἐκ παραγγέλματος ςρατιάν.] Ταὐτὸν τῷ, Σρατείαν παρήγγειλεν, ὡς ἐρεῖ ἐν τοῖς ἑξῆς (§ 30, σελ. 259).—στ. 21, Εἰς τὰς Κλεωνάς.] ΔΓ, Εἰς Κλεωνάς.

ΣΕΛΙΔ. 258, στ. 2, Ἁγίαν.] Τῶν ΠΡ τις ὑπείληφε τὸν αὐτὸν εἶναι τῷ ἐν τοῖς ἑξῆς (§ 31, σελ. 259), Ἅγιδι.—στ. 6, Διεξιόντων ἐκείνοις χαριζομένων.] Διηγουμένων πρὸς τὴν ἐκείνων χάριν. Ἴσως τρεπτέον τὴν δευτέραν μετοχὴν, οὐκ εἰς τὸ, Κεχαρισμένως, ὡς ὑπέλαβέ τις τῶν ΠΡ, ἀλλ' εἰς τὸ, Χαριζομένως· οὐδὲν γὰρ κωλύει παρὰ τὴν Χαριζόμενος μετοχὴν ἐπίῤῥημα σχηματίσαι τὸ Χαριζομένως, ὥσπερ οὐδὲ παρὰ τὴν, Ἐπιςάμενος τὸ Ἐπιςαμένως. —στ. 8, Ἴλιγγος.] Σκοτοδινίασις. Ἔςι δὲ συνώνυμον τῷ Κάρος. Σημειωτέον δὲ ὅτι διττογραφεῖται καὶ τοῦτο παρ' Ἡσυχίῳ τε καὶ ἄλλοις, Ἴλιγγος καὶ Εἴλιγγος, ᾧ καὶ Πλούταρχος ἐχρήσατο (ἴδ. Μέρ. Δ, σελ. 490, καὶ 496), ὥσπερ καὶ Ἰλιγγιᾶν καὶ Εἰλιγγιᾶν.—στ. 12, Βεβλῆσθαι γὰρ τοὺς ἀςραγάλους.] Ὁ Λατῖνος, nam jactam esse aleam, ὁ Ἰταλὸς, perocché allora gittato già era il dado, ἐκδεξάμενοι δηλονότι τὸ, Βεβλῆσθαι τοὺς ἀςραγάλους, ἐπὶ τῆς αὐτῆς σημασίας τοῦ, Ἀνεῤῥίφθαι τὸν κύβον· οὐκ ὀρθῶς, οἶμαι. Σημαίνει γὰρ ἐνθάδε τὸ τετρῶσθαι τοὺς ἀςραγάλους, ὥσπερ ἡρμήνευσε καὶ ὁ Α, pour ce qu' il estoit blécé aux talons. Ἡ παρ' ἡμῖν συνήθεια, Ἀςράγαλον, ὁμοίως καὶ Ἀςραγάλιον, ὀνομάζει τοῦ ποδὸς τὸ μέρος, ὃ οἱ τουρκοχυδαΐζοντες, Κότσι, καλοῦσιν, παρὰ τὸ, Κοττίον ἴσως καὶ τοῦτο, διὰ τὴν δι' ἀςτραγάλων παιδιὰν, ἀναλογοῦσάν πως τῇ κυβείᾳ. Κόττον γὰρ ἐκάλουν οἱ Βυζαντινοὶ συγγραφεῖς τὸν Κύβον, καὶ Κοττίζειν, τὸ Κυβεύειν.—στ. 20, Λυσιάδῃ.] ΔΓ, Λυδιάδῃ· περὶ ἧς ἔπιθι Πλουτάρχ. Ε, σελ. 358.—στ. 29, Μεταβαλλόμενος.] Ἴσ. γρ. Μεταβαλόμενος.

ΣΕΛΙΔ. 259, στ. 2, Μετεκόσμησεν.] ΔΓ, Μετεκόμησεν.—στ. 6, Παρήγγελλεν.] Ἐκ ΔΓ, ΑΤ, Παρήγγειλεν.—στ. 11, Ἦρχεν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἦρχε μέν.—στ. 15, Κόκκυγι.] « Κόκκυξ (φησὶ Σουΐδας), εἶδος ὀρνέου, ὁ παρ' ἡμῖν, Κοῦκκος ». Τὸν δὲ μῦθον κατεχώρησα ἐν τῇ Μύθων Αἰσωπείων συναγωγῇ (σελ. 210).—στ. 18, Ἐκ τῆς τυραννίδος.] Ἐκ ΔΓ προσέθηκα τὸ ἄρθρον. —Πίστιν.] Ἐκ ΔΓ, ΑΤ, Φύσιν.—στ. 23, Ἀφικομένου.] Ἐξ ΗΔ, ΑΤ, Ἀφικνουμένου.—στ. 25, Καὶ σκώμματα.] Περιττὸς ἔδοξεν ὁ σύνδεσμος τοῖς ΠΡ, καὶ ἡμῖν συνδοκεῖ.

ΣΕΛΙΔ. 260, στ. 4, Ἐν ταῖς οἰκίαις, ἦσαν ἐξωθοῦντες ἀλλήλους

καὶ διαμαχόμενοι. ] Λείπει τὸ Η σ α ν ἔν τινι τῶν ἀντιγράφων· καὶ ἡ ἔλλειψις ὑπονοεῖν παρέχει γραφὴν ἑτέραν ταύτην, Ἐ ν τ α ῖ ς ο ἰ κ ί α ι ς, ἀ ν τ ε ξ ώ θ ο υ ν ἀ λ λ ή λ ο υ ς δ ι α μ α χ ό μ ε ν ο ι, καίπερ οὔπω καταχωρισθέντος ἐν τοῖς Λεξικοῖς τοῦ, Ἀ ν τ ε ξ ω θ ε ῖ ν. — στ. 18, Αὐτί. ] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Α ὖ τ η.— στ. 26, Τρέπεσθαι.] Ἴσως ἐγέγραπτο, Τ ρ α π έ σ θ α ι.— στ. 27, Βρέτας.] « Βρέτας (φησὶν Ἡσύχιος), ξόανον, » εἴδωλον, ὁμοίωμά τι, παρὰ τὸ βροτῷ ἐοικέναι· ὅπερ φασὶν οἱ νεώ- » τεροι Δ ε ί κ ε λ ο ν ». Τί δὲ ποιήσομεν τῷ ὑπὸ τοῦ αὐτοῦ Λεξικογράφου λεγομένῳ, « ΒΡΕΝΤΑΓΙΟΡ, εἰκών, ὁμοίωμα »; Ἆρά γε γραπτέον, ΒΡΕΤΑΛΙΓΚΙΟΝ, οἱονεὶ βροτῷ ἀλίγκιον, τουτέστιν ὅμοιον; Ἐπέχειν ἄμεινον. Οἶδεν ἡ συνήθεια καὶ τὸ Εἴδωλον, καὶ τὸ Ξόανον, ἐπὶ τῆς αὐτῆς σημασίας· Ξόανον δὲ πρὸς τούτοις μεταφορικῶς ὀνομάζει καὶ τὸν μωρόν, ὥσπερ πάλαι καὶ οἱ κατὰ Κυρήνην Ἕλληνες Βρέτας ἐκάλουν τὸν ἀναίσθητον (Ἐτυμολογικ. σελ. 213).

ΣΕΛΙΔ. 261, στ. 1, Ἀλλὰ καὶ δένδρα.] ΠΡΔ ἡ προσθήκη τοῦ δευτέρου συνδέσμου.— Καρποὺς ἀπαμβλίσκειν.] Ἀτελεσφορίτους ποιεῖν. Ἡ μεταφορὰ ἀπὸ τῶν ἀπαμβλισκουσῶν γυναικῶν. Καρποὺς δὲ τοὺς σιτικοὺς λέγει, ἀντιδιεσταλμένως πρὸς τὰ δένδρα, περὶ ὧν ἀλλαχοῦ (Πλουτάρχ. Ε, σελ. 351-352) διὰ μακρῶν δεδήλωται. — στ. 10, Δυναςῶν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Δ υ ν α τ ῶ ν.— στ. 20, Προσβαλόντα.] Ἐξ ΗΔ, ΑΤ, Π ρ ο σ β ά λ λ ο ν τ α. — στ. 21, Ὀνομάζειν καὶ καλεῖν συνεχῶς Ἄρατον.] Ἐκ ΔΓ, ΑΤ, Ὀ ν ο μ ά ζ ε ι ν Ἄ ρ α τ ο ν, κ α ὶ κ α λ ε ῖ ν σ υ ν ε χ ῶ ς.

ΣΕΛΙΔ. 262, στ. 1, Τῶν ἐλπίδων. ] Ἐκ ΔΓ, ΑΤ, Τ ὴ ν ἐ λ π ί δ α. — στ. 23, Δι' ἀῤῥωςίαν τινὰ μακράν.] ΔΓ, ἀ ῤ ῥ ω ς ί ᾳ μ α κ ρ ᾷ.

ΣΕΛΙΔ. 263, στ. 4, Ὑπόθεσιν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ὑ π ό σ χ ε σ ι ν. — στ. 10, Αὐτῷ πεντήκοντα.] Ἐξ ΕΔ, ΑΤ, Α ὐ τ ῷ τ ὰ π ε ν τ ή κ ο ν τ α.

ΣΕΛΙΔ. 264, στ. 26, Ὁπλίτας. ] Ἐξ ΕΔ, ΑΤ, Π ο λ ί τ α ς.— στ. 28, Ἀνεκαλεῖτο τοὺς ἱππεῖς ὡς αὐτόν, ἀξιῶν ἐπιφανῆναι κ. τ. λ. ] Ἐξ ΗΔ καὶ ἡ γραφὴ καὶ ἡ ςίξις ΑΤ, Ἀ ν ε κ α λ ε ῖ τ ο τ ο ὺ ς ἱ π π ε ῖ ς, ὡ ς α ὐ τ ὸ ς ἀ ξ ι ῶ ν ἐ π ι φ α ν ῆ ν α ι. Ὁ νοῦς, Ἐκάλει πρὸς ἑαυτὸν τοὺς ὑπὸ τῷ Ἀράτῳ ἱππεῖς, δεόμενος αὐτῶν ἐπιφανῆναι κ. τ. λ.— στ. 30, Αὐτόν.] Τὸν Λυσιάδην.

ΣΕΛΙΔ. 265, στ. 3, Ἀταμιεύτως. ] Ἀφειδῶς, ἀπὸ μεταφορᾶς τῶν μὴ ταμιευόντων, οἷοί εἰσιν ὡς ἐπὶ τὸ πολὺ οἱ μὴ φειδόμενοι δαπάνης, οἱ ἄσωτοι. Ἴσως ἦν ἄμεινον γράφειν, Ἀ τ α μ ι ε ύ τ ο υ, πρὸς τό, Θ υ μ ο ῦ

καὶ φιλοτιμίας.—στ. 4, Αὖθις.] Ἐξ ΗΔ, ΑΤ, Ἐν οἷς· ὃ οἱ ΠΡ διορθοῦντες ἔτρεψαν εἰς τὸ Εὐθύς. Νῦν δὲ οὐδετέρα τῶν διορθώσεων ἀρέσκει με. Κατὰ χώραν ἐῶντα τὸ, Ἐν οἷς, διαγράφειν χρὴ τὸν ἀνωτέρω σύνδεσμον, Δὲ, τὸν μετὰ τὸ, Θυμοῦ, καὶ μεταβαλόντα τὴν στίξιν, οὕτως συναρτᾶν τὸ χωρίον· « Ἐδίωκεν, ὑπὸ θυμοῦ καὶ φιλοτι- » μίας ἀταμιεύτου ἐπισπασθεὶς εἰς χωρία σκολιά...ἐν οἷς ἐπιθεμένου » τοῦ Κλεομένους, ἔπεσε ».—στ. 8, Ἀνέπλησαν.] ΔΓ, Ἐνέπλησαν. —στ. 17, Πρὸς Μεγιστόνουν.] Ἐκ ΔΓ, ΑΤ, Πρὸς τὸν Μεγιστόνουν.—στ. 28, Εὐθύς.] Ἴσ. γρ. Αὖθις.

ΣΕΛΙΔ. 266, στ. 1, Προϊέμενον.] Ἐκ ΔΓ, ΑΤ, Προϊέμενον.— στ. 2, Κοινόν. Εἰ δ' ἀπεγνώκει.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Κοινὸν, ἀπεγνώκει.—στ. 5, Μηδέ.] Ἐξ ΗΔ, ΑΤ, Μήτε.—στ. 6, Γαλατικῶν.] Τῶν ΠΡ τις παρῄνει τρέπειν ἐνθάδε τε καὶ ἐν τῇ Κλεομένους καὶ Γράκχου συγκρίσει (§ 2, Μέρ. Ε, σελ. 197) εἰς τὸ Αἰτωλικῶν. Μὴ μετακίνει τὴν γραφήν. Γαλάτας γὰρ ἐνθάδε νοητέον τοὺς εἰς Ἰλλυρίαν ἐκ τῆς Κελτικῆς μετοικίσαντας καὶ μισθοῦ στρατευομένους τοῖς Μακεδόνων βασιλεῦσιν· ὥσπερ καὶ οἱ ἐν Φρυγίᾳ Γαλάται, τοῖς τὴν Ἀσίαν κατέχουσιν Ἀλεξάνδρου διαδόχοις πρότερον, ἔπειτα δὲ καὶ τοῖς Ῥωμαίοις, ὅτε μὲν συνεμάχουν, ὅτε δ' ἐπολέμουν. Χωρὶς δὲ τούτων, ἱκανὸς πιστώσασθαι τὸ περὶ Γαλατῶν ὁ Πολύβιος (Β, 65), διαῤῥήδην λέγων, ὡς Ἀντίοχος Ἰλλυριοὺς καὶ Γαλάτας σὺν τοῖς ἄλλοις ἐπήγετο ἐν τῷ κατὰ Κλεομένους πολέμῳ. — στ. 8, Ὑποκοριζόμενον.] Ἐκ ΔΓ, ΑΤ, Ὑποκοριζόμενος.—στ. 11, Ἄξιον ἦν.] Ἐξ ΗΔ, ΑΤ, Ἠξίουν. ΔΓ, Ἠξίου. Οἱ ΠΡ, Ἠξίουν ἄν· ἕτερος δέ τις παρῄνει γράφειν μόνον, Ἄξιον.—στ. 18, Τὸν Αἰσώπου μιμησάμενος κυνηγόν.] Ἔπιθι τὴν Μύθων Αἰσωπείων συναγωγὴν (Μύθ. 313, σελ. 206).— στ. 27, Ἐπιέζοντο τῷ πολέμῳ μάλιστα, συνεχῶς ἄγοντος κ. τ. λ.] Ἐκ ΔΓ, ΑΤ, Ἐπιέζοντο μάλιστα συνεχῶς τῷ πολέμῳ, ἄγοντος.

ΣΕΛΙΔ. 267, στ. 8, Ἀπέστειλε.] ΔΓ, Ἀπέστελλε.—στ. 23, Ἄνω.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἄνω.—στ. 26, Ἠτρέμει.] ΔΓ, Ἠρέμει.

ΣΕΛΙΔ. 268, στ. 9, Ἐκέλευε.] Ἐκ ΔΓ, ΑΤ, Ἐκέλευσε.—στ. 13, Ἀπολλώνιον.] ΔΓ, Ἀπολλώνειον· ἣν προείλοντο οἱ ΠΡ, μηδὲν δέον. Ἴδε τὸν Εὐστάθιον ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν (σελ. 1562).— στ. 19, Ἀφίππευσεν.] Ἐκ ΔΓ, ΑΤ, Ἀφίππασεν.—στ. 21, Ὅσον διήμαρτεν, ἀφέντων Ἄρατον.] ΔΓ, Ὅσον διήμαρτον ἀφέντες τὸν Ἄρατον.—στ. 22, Αὐτῷ.] ΔΓ, Αὐτόθι. — Τὴν λεγομένην Ἀκτήν.] Τὴν πρὸς ἕω παραλίαν τῆς Πελοποννήσου.—στ. 25, Τῶν Ἀχαιῶν

οἱ πολλοί. ] ΔΓ (ὀρθωτέρα ἴσως), Τῶν Ἀχαιῶν οὐ πολλοί.— στ. 30, Συντετριμμένος.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Συνετριμμένος.

ΣΕΛΙΔ. 269, στ. 15, Κατειρωνεύεσθαι. ] Ἐκ ΔΓ, ΑΤ, Κατειρωνεύσασθαι.— στ. 18, Δέξαιτο. ] ΔΓ, Δέξεται.

ΣΕΛΙΔ. 270, στ. 6, Χιλίους καὶ τετρακοσίους. ] ΔΓ, Χιλίους καὶ τριακοσίους. Ἔπιθι τὸν Πολύβιον (Β, 65,) περὶ τοῦ σύμπαντος ἀριθμοῦ τῆς Ἀντιγόνου δυνάμεως. — στ. 7, Μετὰ τῶν δημιουργῶν.] Μετὰ τῶν ἀρχόντων. Ἴδε Ἡσύχιον (λέξ. Δημιουργός). — στ. 11, Πρὸς Ἀντίγονον. ] Ἐκ ΔΓ, ΑΤ, Πρὸς τὸν Ἀντίγονον.— στ. 17, Καὶ κατὰ τἄλλα. ] ΔΓ, Καὶ κατ' ἄλλα. Γραπτέον δίχα τῆς προθέσεως, Καὶ τἄλλα.—στ. 23, Τῶν σὺν αὐτῷ, πάντων μάλιστα χρώμενος κ. τ. λ. ] Ἐξ ΗΔ, ΑΤ, Τῶν σὺν αὐτῷ, πάντα χρώμενος. Τὸ ἑξῆς, Χρώμενος ἐκείνῳ διετέλει πάντων μάλιστα, οὐ μόνον Ἀχαιῶν, ἀλλὰ καὶ Μακεδόνων τῶν σὺν αὐτῷ. Παρῄνεσον καὶ οἱ ΠΡ τὴν προσθήκην τοῦ Μάλιστα, ἀλλ' ἀνωτέρω εἰς οὐ προσήκοντα τόπον.— στ. 28, Παρήνεγκε τὸ ῥηθέν. ] Παρῆλθε τὸ ῥηθέν, οὐκ ἐφρόντισε τοῦ ῥηθέντος· Καὶ ἔστιν ἡ φράσις τοῦ παρακμάζοντος Ἑλληνισμοῦ. Οὐδετέρως γὰρ χρῶνται τῷ Παρενεγκεῖν οἱ δόκιμοι, ἡνίκα σημαίνει τὸ Παρελθεῖν, οἷον, « Ἡμέρας οὐ πολλὰς παρενεγκούσας » (Θουκυδ. έ, 26).

ΣΕΛΙΔ. 271, στ. 6, Περιέβαλον. ] ΔΓ, Περιέβαλλον.— στ. 7, Γέλως ἔλαβε. ] Παραπλησίως τῷ ἐν τῇ συνηθείᾳ, Τὸν ἐπῆραν τὰ γέλια.

ΣΕΛΙΔ. 272, στ. 2, Καὶ κεχρημένον. ] Λείπει ὁ σύνδεσμος ἔν τινι τῶν ἀντιγράφων.— στ. 3, Περιιδών. ] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Περιιδόντα. — στ. 11, Σπουδάς. ] ΔΓ, Πομπάς.— στ. 13, Ἠτιῶντο τούτων. ] Ἐξ ΕΔ προσέθηκα τὴν ἀντωνυμίαν.— στ. 17, Φανερῶς γε. ] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Φανερῶς τε.— Πολλὰ τῶν πραττομένων ἐλύπει τὸν Ἄρατον. ] Ἐκ ΔΓ, ΑΤ, Τῶν πραττομένων πολλὰ τὸν Ἄρατον ἐλύπει.— στ. 22, Διωκῆσθαι. ] ΠΡΔ, ΑΤ, Διακεῖσθαι. ΔΓ, Διῳκεῖσθαι: Διοικεῖσθαι.

ΣΕΛΙΔ. 273, στ. 9, Ἐρατεινὴ Μαντίνεια. ] Αἰνίττεται τὸ Ὁμηρικὸν (Ἰλιάδ. β´, 607),

Καὶ Τεγέην εἶχον καὶ Μαντινέην ἐρατεινήν.

Καὶ δικαίως αἰτιᾶται τὸν Ἄρατον, ἀπὸ τοῦ ἀπολέσαντος τοὺς πολίτας ἐπονομάσαι τὴν πόλιν Ἀντιγόνειαν, καταφρονήσαντα τοῦ πατρίου ὀνόματος. Παραπλήσιόν τι ποιοῦσιν οἱ Ῥωμαῖοι ἀντὶ Γραικῶν

καλεῖσθαι προαιρούμενοι· τῶν γὰρ Ῥωμαίων πρώτων δουλωσαμένων τοὺς ἡμετέρους προγόνους, τὸ ἀπ' ἐκείνων ἐθέλειν ὀνομάζεσθαι, τὰ τῆς δουλείας στίγματα ἐπὶ τοῦ μετώπου καταφανῆ φέρειν ἐςὶν ἐθέλοντος. — στ. 13, Πάντα τὰ δίκαια.] Ἐκ ΔΓ προσέθηκα τὸ ἄρθρον. — στ. 24, Ὑπεσταλκότες.] Ὑποκεκρυμμένοι. — στ. 26, Δυμαίων.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Κυμαίων. — στ. 27, Μεσσήνην.] Ἐκ ΔΓ, ΑΤ, Μεσήνην· ὥσπερ καὶ ἐν τοῖς ἑξῆς Μεσσηνίοις, ΑΤ, Μεσηνίοις.

ΣΕΛΙΔ. 274, στ. 11, Πρὸς Ἄρατον.] ΔΓ, Πρὸς τὸν Ἄρατον: Εἰς Ἄρατον. — στ. 18, Τελέως.] Ἐκ ΔΓ, ΑΤ, Τελείως. — στ. 22, Ἐπιδιδόντων.] Ἐκ ΔΓ, ΑΤ, Ἐπιδόντων.

ΣΕΛΙΔ. 275, στ. 1, Εὐβουλίας.] ΔΓ, Εὐλαβείας. — στ. 11, Σχηματισμόν.] Προσποίησιν, ὑπόκρισιν. — στ. 13, Ἠδίκει περὶ τὴν γυναῖκα.] Καλουμένην Πολυκράτειαν· ἐλπίδι γὰρ αὐτὴν βασιλικῶν γάμων ἀπατήσας εἰς Μακεδονίαν ἀπήγαγεν, ὥς φησιν ὁ Τίτος Λίβιος, adempta uxor nomine Polycratia, ac spe regiarum nuptiarum in Macedoniam asportata fuerat (Tit.-Liv. XXVII, 31). — στ. 15, Ἑλληνικάς.] Ἐκ ΔΓ, ΑΤ, Πολιτικάς. — στ. 20, Ἐνέβαλε.] Ἐκ ΔΓ, ΑΤ, Ἐνέβαλλε. — στ. 22, Πολλῶν.] Ἐξ ΕΔ (συνᾳδούσης τῷ Α), ΑΤ, πόλεων. — στ. 25, Ἐπελθόντες.] Ἐκ ΔΓ, ΑΤ, Ἐλθόντες.

ΣΕΛΙΔ. 276, στ. 4, Καίπερ ἐπίδοξος ὤν.] Ὑπονοητέον, Ἀντερεῖν, ἐκ τοῦ προηγουμένου, Ἀντεῖπε. — Καὶ πολλάκις κ. τ. λ.] Ὑπονοητέον, Ἄλλοτε, ἵν' ᾖ ὁ νοῦς, Τότε μὲν οὐδὲν ἀντεῖπε, καίπερ προσδοκώμενος ἀντερεῖν, καὶ πολλάκις ἄλλοτε λέγοντος ἐξυλακτήσας. — στ. 8, Προῆγεν.] ΔΓ, Προσῆγεν. — Ἰθωμάταν.] ΔΓ, Ἰθωμάνταν: Ἰθώμαν. Οὕτως καὶ ὁ Πολύβιος, Ἰθωμάτην, διαλέκτῳ μόνῃ διαφέρων, τῶν λοιπῶν, Ἰθώμην, θηλυκῶς καὶ τρισυλλάβως καλούντων τὸν τόπον· περὶ οὗ ἔπιθι τὰς εἰς τὸν Πολύβιον σημειώσεις τοῦ τελευταίου ἐκδότου (Τόμ. ς', σελ. 419). — στ. 10, Δυσεκβίαστος.] Ἐκ ΔΓ, ΑΤ, Παρεκβίαςος. — Τοῖς Προσιοῦσιν.] Ἐξ ΗΔ, ΑΤ, Προσοικοῦσιν· ὅπερ οὐκ ἔτρεψα εἰς τὸ σαφέστερον Πολυορκοῦσιν, διὰ τὸ πολὺ εἶναι τὸ διάφορον τῶν δύο γραφῶν, καὶ ὅτι καὶ τὸ Προσιέναι, τῶν τακτικῶν ἐςὶν ὀνομάτων, ἐπὶ τοῦ Προσβάλλειν τείχεσι. Ἔπιθι τὸν Ξενοφῶντος Πίνακα (λέξ. Προσιέναι). στ. 13, Τῷ τε Ἀράτῳ.] Ἐκ ΔΓ, προσέθηκα τὸν σύνδεσμον. — στ. 19, Προσλάβοι.] Ἐκ ΔΓ, ΑΤ, Προσβάλοι. — στ. 24, Καὶ

τῆς

τῆς Ἀκαρνάνων.] ΔΓ, Καὶ τῶν Ἀκαρνάνων. — στ. 30, Ταῦτα τὴν Πελοπόννησον.] ΔΓ, Ταῦτα Πελοπόννησον.

ΣΕΛΙΔ. 277, στ. 17, Αὐτός.] Ἐκ ΔΓ, οἱ ΠΡ, ΑΤ, Αὐτόν. — στ. 29, Ἀδήλῳ.] Ἐξ ΕΔ, ΑΤ, Ἐν ἀδήλῳ.

ΣΕΛΙΔ. 278, στ. 4, Φθόην.] Οὕτως ἔγραψα ΑΤ, Φθοράν· ὃ οἱ ΠΡ, εἰς τὸ Δωρικὸν Φθόαν ἔτρεψαν. « Φθόην... τὴν νῦν φθίσιν » λεγομένην, Φθόην ἔλεγον », φησὶν Ἁρποκρατίων. — στ. 5, Τὸ πάθος, ὥς δή τινα νόσον . . . διήντλει.] Ὅμοιον τῷ παρὰ Πινδάρῳ (Πυθ. δ΄, 522),

Νοῦσον διαντλήσαις ποτέ.

— στ. 9, Ἐπίχειρα.] Κέρδη, καρποί· « Ἐπίχειρα, τὰ ὑπὲρ τὸν μι- » σθὸν (γρ. ὑπὲρ τοῦ μισθοῦ) διδόμενα τοῖς χειροτέχναις » φησὶν Ἡσύχιος. — στ. 14, Ἐριέναι.] Ἐκ ΔΓ, ΑΤ, Ἀφιέναι. — στ. 17, Ἀναιρεῖ.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἀνερεῖ. — στ. 18, Βουλεύῃ.] ΔΓ, Βουλεύου. — Ζωάγριον αἶρεν.] Ἐκ ΔΓ καὶ ΕΔ, ΑΤ, Ζωάγριον αἰέν. Καὶ τὸ μέν, Αἶρεν Δωρικόν ἐστιν ἀπαρέμφατον ἀντὶ τοῦ Αἴρειν. Ἴσως μέντοι ἀσφαλέστερον ἦν τὸ κατὰ χώραν ἐᾷν τό, Αἰέν, τουτέστιν ἀεί. Τί δὲ βούλεται τό, Ζωάγριον ἐνθάδε, ἑτέρου χρησμοῦ δεῖται τοῦ φράσοντος. Ὁ Λατῖνος μεταφραστὴς ἐξεδέξατο ἐπὶ τῆς πατρίδος, καὶ ἄλλοι ἄλλως. — στ. 23, Οἱ Σικυώνιοι, μεταβαλόντες.] Ὁ μὲν νοῦς δῆλος· ἡ δὲ φράσις οὐκ εὐσυνάρτητος. Διὸ καὶ οἱ μεταφρασταὶ οὕτως ἡρμήνευσαν, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Οἱ Σικυώνιοι, οἱ μεταβαλόντες. Γράφε καὶ στίξε, Οἱ Σικυώνιοι· καὶ μεταβαλόντες. — στ. 30, Δαισίου.] Διὰ τοῦ αι, ὥσπερ καὶ ἐν τῷ Ἀλεξάνδρου βίῳ (§ 16, Μέρ. Δ, σελ. 199). ΔΓ, Δεσίου, διὰ τοῦ ε, ὥσπερ καὶ Σουίδας καὶ ὁ Ἐτυμολόγος.

ΣΕΛΙΔ. 279, στ. 3, Ὁ τοῦ Διός.] ΠΡΔ ἡ προσθήκη τοῦ πρώτου ἄρθρου. — Κατήρχετο.] Ἴδε Πλουτάρχ. Δ, σελ. 458 καὶ 499. — στ. 4, Στρόφιον οὐχ ὅλον λευκόν, ἀλλὰ μεσοπόρφυρον.] Περὶ μὲν τοῦ Στροφίου εἴρηται ἐν ἄλλοις (Πλουτάρχ. Β, σελ. 443)· περὶ δὲ τοῦ χρώματος, ἰστέον, ὅτι τῶν ἱματίων τὰ λευκὰ μέν, πεποικιλμένα δὲ πορφυροῖς σημείοις, ἐκαλεῖτο, Λευκὰ μεσοπόρφυρα· ὥσπερ αὖ τὰ πορφυρᾶν μὲν ἔχοντα τὴν ἐπιφάνειαν, διειλημμένα δὲ λευκοῖς ἐν μέσῳ ποικίλμασι, Πορφυρᾶ μεσόλευκα. Ἴδε τὸν Σαλμάσιον (Πλιν. Γυμναστ. σελ. 497). — στ. 9, Ταῖς ἡμέραις ἐκείναις ἐξοσιούμενοι.] Γραπτέον, ὥσπερ ἔδοξέ τῳ τῶν ΠΡ, Τὰς ἡμέρας ἐκείνας ἐξ-

οσιούμενοι, τουτέςιν ἁγιάζοντες, τιμῶντες, ἑορτάζοντες· τοῦτο γὰρ ἐνθάδε σημαίνει τὸ Ἐξοσιούμενοι, ὥσπερ καὶ τὸ μᾶλλον ἐν χρήσει Ἀφοσιούμενοι. «Ἀφοσιούμενοι, τιμῶντες», καὶ «Ἐξωσιούσθω, » ὅσιος γινέσθω», φησὶν Ἡσύχιος.— στ. 16, Ἐπιφορᾶς.] Ἴσως ἦν, Παραφορᾶς, τουτέστιν ἐκστάσεις τοῦ νοῦ καὶ μανίας.— στ. 28, Υἱὸν ἀρετῇ διαφέροντα.] Τὸν Δημήτριον· περὶ οὗ ἔπιθι τὸν Τίτον Λίβιον (μ΄, 24).

ΣΕΛΙΔ. 280, στ. 3, Κατέστρεψεν.] Ἐκ ΔΓ, ΑΤ, Κατέστρεφεν.

## ΓΑΛΒΑΣ.

ΣΕΛΙΔ. 281, στ. 4, Αἰωρούμενον.] Ἐξ ΕΔ, ΑΤ, Ἐρρωμένον. Αἰωρεῖσθαι λέγονται οἱ ἐν πλοίοις, φορείοις, ὀχήμασιν, ἀνηρτημένοις σκεύεσιν οἱοισοῦν, γυμνασίας, ἢ καὶ τέρψεως ἕνεκα φερόμενοι· ἀπὸ τῆς Αἰώρας, ἢ οὐ μόνον τὸ φέρον, ἀλλὰ καὶ τὴν φορὰν αὐτὴν καὶ κίνησιν σημαίνει, τὴν ἄλλως Αἰώρησιν καλουμένην· οἷόν ἐστιν ὁ Πλούταρχος ἀλλαχοῦ (Πολιτικ. παραγγελμ. § 2) εἴρηκε, «Τοῖς » ἐμβᾶσιν εἰς πλοῖον αἰώρας χάριν». Τοῖς οὖν ἀδυνάτως ἔχουσι δι' ἑαυτῶν κινεῖσθαι, χρήζουσι δὲ κινήσεως ὑγείας ἕνεκα, τὴν αἰώρησιν οἱ ἰατροὶ παραινοῦσιν, ὡς δῆλον ἔκ τε τῶν ἰατρικῶν βίβλων, καὶ ὧν φησι Πλάτων (Τιμ. σελ. 89), «Ἡ μὲν διὰ τῶν γυμνασίων [κίνησις], » ἀρίστη· δευτέρα δὲ ἡ διὰ τῶν αἰωρήσεων, κατά τε τοὺς πλοῦς, καὶ » ὅπη περ ἂν ὀχήσεις ἄκοποι γίγνωνται». Ἔστι τοίνυν ὁ νοῦς τοῦ προκειμένου χωρίου οὗτος· ὥσπερ τὰ αἰωρούμενα σώματα, οὐκ αὐτὰ κινεῖται, ἀλλ' ὅπη περ ἂν ἡ αἰώρα φέρηται, ἄνω ἢ κάτω, πρόσω ἢ ὀπίσω, ἐπὶ δεξιὰ ἢ ἐπ' ἀριστερά, συμφέρεται ταύτῃ καὶ συγκινεῖται, οὕτως χρὴ καὶ τὸ ςρατιωτικὸν σῶμα μηδεμίαν ἰδίαν ὁρμὴν ἢ κίνησιν ἔχειν, ἀλλὰ τῷ στρατηγῷ, ὅπη περ ἂν αὐτὸς ἄγῃ, συγκινεῖσθαι. — στ. 12, Φύσεώς τε ] Ἐκ ΔΓ προσέθηκα τὸν σύνδεσμον.— στ. 13, Δεῖσθαι μάλιστα, τῷ πρᾴῳ κ. τ. λ.] Οὐκ ὀρθῶς μοι δοκοῦσιν οἱ ΠΡ στίξαι μετὰ τὸ Δεῖσθαι· πρὸς τοῦτο γὰρ συνῆπται, οὐ πρὸς τὰ ἑξῆς τὸ Μάλιστα.—στ. 26, Διονύσιος.] Ὁ Σικελίας τύραννος. Εἴη δ' ἂν οὗτος ὁ πρεσβύτερος, ὁ τοῦ νεωτέρου Διονυσίου πατήρ, ὡς ἐκ τῶν ἑξῆς γενήσεται δῆλον.

ΣΕΛΙΔ. 282, στ. 1, Φεραῖον ἄρξαντα Θετταλῶν δέκα μῆνας.] Τὸ, Φεραῖον, οὐ κύριον, ἀλλ' ἐθνικόν ἐστιν ὄνομα, δηλοῦν τὸν ἐκ Φερῶν τῆς Θετταλίας· οὐδ' εἰκὸς τὸν Πλούταρχον οὕτως γράψαι, ἀλ-

λως τε καὶ οὐχ ἑνὸς ὄντος τοῦ Θετταλῶν τυραννήσαντος. Ὅθεν ὑπονοεῖν ἐστιν ἐξεῤῥυηκέναι τοῦ χωρίου τὸ κύριον ὄνομα τοῦ τυράννου. Καὶ Ἀλέξανδρον μὲν εἶναι τὸν Φεραῖον, ὥς τις ὑπέλαβε τῶν ΠΡ, τὸν ὑπὸ τῆς γυναικὸς Θήβης καταλυθέντα (Πλουτάρχ. Μέρ. Β, σελ. 187-192 καὶ 198), οὐ συγχωροῦσιν οἱ χρόνοι. Ὁ δὲ πρὸ τοῦ Κλαυερίου τὴν Γαλλικὴν Πλουτάρχου μετάφρασιν ἐκδοὺς, Πολύφρονα ἡγήσατο εἶναι τὸν τυραννήσαντα ἐνιαυτὸν ἕνα Θεσσαλῶν, ὃν ἀπέκτεινε καὶ διεδέξατο ὁ Φεραῖος Ἀλέξανδρος, ὥς φησι Ξενοφῶν (Ἑλληνικ. στ΄, δ΄, § 34). Καὶ τοῦτο μὲν ἀμωσγέπως πιθανὸν διὰ τὴν παρὰ μικρὸν ἰσότητα τῆς ἐνιαυσιαίας πρὸς τὴν δεκαμηνιαίαν ἀρχὴν τοῦ τυράννου. Ἴσως μέντοι πιθανώτερον Λυκόφρονα, τὸν ὁμοῦ τι τεσσαράκοντα ἔτεσι Πολύφρονος ἀρχαιότερον, εἶναι· περὶ οὗ ἱστόρηκεν ὁ Ξενοφῶν (Ἑλληνικ. Β, γ΄, § 4) ἐν τοῖς τῶν Ἀθήνησι τριάκοντα τυράννων χρόνοις, «Κατὰ δὲ τοῦτον » τὸν καιρὸν, περὶ ἡλίου ἔκλειψιν, Λυκόφρων ὁ Φεραῖος, βουλόμενος » ἄρξαι ὅλης τῆς Θετταλίας, τοὺς ἐναντιουμένους αὐτῷ τῶν Θετ- » ταλῶν...ἀπέκτεινεν. Ἐν δὲ τῷ αὐτῷ χρόνῳ, καὶ Διονύσιος, ὁ Συ- » ρακούσιος τύραννος, μάχῃ ἡττηθεὶς ὑπὸ Καρχηδονίων, Γέλαν καὶ » Καμαρίναν ἀπώλεσεν». Ὁ γὰρ ἡττηθεὶς ὑπὸ Καρχηδονίων Διονύσιος ὁ πρεσβύτερος ἦν· ἡττήθη δὲ τῷ τετάρτῳ ἔτει τῆς ἐνενηκοστῆς τρίτης Ὀλυμπιάδος, ἐν ᾧ καὶ Λυκόφρων ἐτυράννησε τῶν Θεσσαλῶν.—στ. 2, Τὸν τραγικὸν ἀνεκάλει τύραννον.] Πρὸς βραχὺ γὰρ τῆς τυραννίδος ἀπέλαυσε, παραπλησίως τῷ ὑποκρινομένῳ τύραννον τραγῳδῷ· καὶ οὗτος γὰρ Ἀγαμέμνων, εἰ τύχοι, ἢ Αἴγισθος, καλεῖται ἕως Αἰγίσθου ἢ Ἀγαμέμνονος φέρει πρόσωπον ἐπὶ τῆς σκηνῆς· οὐ φθάνει δ' ἐξελθὼν αὐτῆς καὶ εἰς ἣν πρὸ τοῦ εἰσελθεῖν ἐτέτακτο χώραν τῶν ἰδιωτευόντων ἀποκαθίσταται.—στ. 11, Ἀποστασίαν.] Οὐ καλῶς ἐτόλμησαν οἱ ΠΡ τρέψαι τοὔνομα εἰς τὸ Ἀπόστασιν. Ἔστι γὰρ τὰ πολλὰ τῶν ἀπὸ τῶν εἰς ις εἰς ια σχηματιζόμενα θηλυκὰ τοῦ παρακμάζοντος ἑλληνισμοῦ, ὥσπερ ἐν ἄλλοις (Ἡλιοδώρ. Β, σελ. 316) ἐδείξαμεν, οὐ γραφικὰ ἁμαρτήματα. Εἰ δέ τις, τὴν διόρθωσιν ἐθέλων πιστώσασθαι, φήσειεν, ὅτι μικρὸν ὑποβὰς, ἐν τῇ αὐτῇ ταύτῃ σελίδι, Πλούταρχος, Ἀποστάσεσι, ἐρεῖ, καὶ οὐκ Ἀποστασίαις, ἀντερεῖν ἐστιν, ὡς τοῦτο μάλιστα τὸ ποικίλον τε καὶ ἀνώμαλον παρακμαζούσης φωνῆς σαφὴς ἐστιν ἔλεγχος. Οὐ μὴν ἀλλὰ καὶ μαρτύρια ἔχοι τις ἂν ἐξ αὐτοῦ Πλουτάρχου προχειρίσασθαι τῆς τοιαύτης καταλήξεως· οἷόν ἐστιν οὐ μόνον αὐτὸ τοῦτο τὸ, Ἀποστασία (Γυναικ. ἀρετ. Πλουτάρχ. Τομ. ζ΄, σελ. 37, ἐκδ. Ῥεϊσκ.) ἀλλὰ καὶ τὸ Κλισία ἀντὶ τοῦ Κλίσις (Πλουτάρχ. Μέρ. Δ, σελ. 336,

ἐμ. ἐκδ.). — στ. 12, Ὥσπερ εἴρηται.] Ἐκ τούτου συνεπέραναν εἰκότως οἱ ΠΡ, καὶ τὸν Νέρωνος, καὶ τοὺς τῶν πρὸ τοῦ Νέρωνος, ἴσως δὲ καὶ τῶν μετὰ Νέρωνα Αὐτοκρατόρων, βίους μέχρι Τραϊανοῦ γεγραφέναι τὸν Πλούταρχον.

ΣΕΛΙΔ. 283, στ. 2, Κάτλου.] Ἴδε τὸν Πομπηίου βίον (§ 25, Πλουτάρχ. Μέρ. Δ, σελ. 123). — στ. 10, Μικρολογίας, ἣν κ. τ. λ.] Τῶν ΠΡ τις παρῄνει γράφειν, Μικρολογίας, δι' ἥν, ὥσπερ ἡρμήνευσαν καὶ οἱ μεταφρασαί. — στ. 15, Ἐπιτρόπων.] Ἐξ ΕΔ (συναδούσης τῷ Α) οἱ ΠΡ, ΑΤ, Ἐπίτροπος ὤν. — στ. 16, Ἐκείνῳ.] Τῷ Νέρωνι. ΠΡΔ (συνᾴδουσα τῷ Α), ΑΤ, Ἐκείνων. — στ. 17, Αὐτῷ δὲ τῷ φανερὸς εἶναι κ.τ.λ.] Ἐξ ΠΔ, ΑΤ, Αὐτὸ δὲ τὸ φανερῶς εἶναι. Ὁ νοῦς, Διὰ τοῦ φαίνεσθαι συναλγῶν καὶ τρόπον τινὰ συναδικούμενος παραμυθίαν τινὰ παρεῖχε τοῖς ἀδικουμένοις. — στ. 19, Παρέσχε.] Ὤφειλον καὶ τοῦτο τρέψαι εἰς τὸ Παρεῖχε, ὥσπερ ἡρμήνευσεν ὁ Λατῖνος μεταφραστής. — στ. 20, Περιφερομένων.] ΔΓ, Φερομένων.

ΣΕΛΙΔ. 284, στ. 7, Οὐίνιος.] Ἐξ ΕΔ (ἐνθάδε τε καὶ ἐν τοῖς ἑξῆς), ΑΤ, Οὐίννιος. Ἔστι γὰρ ῥωμαϊστὶ Vinius, ὅπερ, εἰωθότος Πλουτάρχου τὸ ῥωμαϊκὸν V ὁτὲ μὲν εἰς τὸ Β, ὁτὲ δὲ εἰς τὴν ΟΥ δίφθογγον τρέπειν, οὐκ ἄλλως ἐξενεγκεῖν ἐστιν, ἢ διὰ τοῦ, Βίνιος, ἢ τοῦ, Οὐίνιος, ὥσπερ καὶ Βεσπεσιανὸς καὶ Οὐεσπεσιανὸς, ὁ Vespasianus, καὶ Βαλέριος καὶ Οὐαλέριος, ὁ Valerius, καὶ ἄλλα πλεῖστα. — στ. 8, Βουλεύῃ.] Ἐξ ΠΔ (συνᾳδούσης τῷ Α), ΑΤ, Βουλεύεσθε. — στ. 9, Μένοιμεν.] Ἴσ. γρ. Μενοῦμεν. — Μὴ μενόντων.] Ἐξ ΕΔ προσέθηκα τὴν ἀπαγόρευσιν. Ὁ νοῦς, Περιττὸν τὸ ζητεῖν καὶ βουλεύεσθαι εἰ μενοῦμεν πιστοὶ τῷ Νέρωνι· καὶ γὰρ αὐτὴ ἡ περὶ τούτου ζήτησις, ἀνθρώπων ἐστὶν ἐγνωκότων ἤδη μὴ μένειν. — στ. 15, Ἀποδώσοι.] Ἐκ ΔΓ, ΑΤ, Ἀποδώσει. — στ. 16, Ἤθροιζε.] ΔΓ, Ἤθροισε. — στ. 18, Ὁμοφώνως.] ΔΓ, Ὁμοφρόνως. — στ. 27, Ἅμα τῷ πυθέσθαι... ἀνέτρεψε τὴν τράπεζαν.] Οὐ μόνον τὴν τράπεζαν ἀνέτρεψεν, ἀλλὰ καὶ τὰς δοθείσας αὐτῷ ἐπιστολὰς ἔσχισε, καὶ δύο σκύφους καλοὺς, οὓς Ὁμηρικοὺς ἀπὸ τῶν ἐντετορευμένων αὐτοῖς Ὁμηρικῶν ἐπῶν ἐκάλει, τῷ ἐδάφει προσήραξε, ὥς φησιν ὁ Συετώνιος, Literas prandenti sibi redditas concerpsit, mensam subvertit; duos scyphos gratissimi usus, quos Homericos a caelatura carminum Homeri vocabat, solo allisit (Sueton. Ner. cap. 47).

ΣΕΛΙΔ. 285, στ. 1, Οὐ φαύλην ἔφη πρόῤῥησιν ἐμπεπτωκέναι λογισμοῦ δεομένῳ χρημάτων αὐτῷ.] Ἐκ ΔΓ οἱ ΠΡ, τὸ Δεομένῳ ΑΤ, Δεομένων. Παρῄνουν δὲ καὶ μετὰ προθέσεως, Ἐκ λογισμοῦ, γράφειν, καὶ Πρόφασιν ΑΤ, Πρόῤῥησιν. Ὅλον μέντοι τὸ προκείμενον ἀσαφὲς καὶ σκοτεινόν ἐστιν, διὰ τὸ ἐξεῤῥυηκέναι ἴσως λέξιν, ἢ καὶ φράσιν τινά, τοῦ χωρίου. Δῆλον δὲ καὶ ἐκ τῶν μεταφραστῶν· μὴ γὰρ δυνάμενοι συνιδεῖν τί βούλεται ἐνθάδε ἡ Πρόῤῥησις, ὁ μὲν Α, Ἀγγελίαν (nouvelle) ἡρμήνευσεν, ὁ δὲ Λατῖνος μεταφραστής, Πρόφασιν, ἢ μᾶλλον Ἀφορμήν, occasionem· ᾧ συνηγορεῖν πως ἔοικεν ὅ φησιν ὁ Συετώνιος, ut gaudentis etiam suspicionem præberet, tamquam occasione nota spoliandarum jure belli opulentissimarum provinciarum (Sueton. Ner. cap. 40). Ἴσως μὲν οὖν ἐγέγραπτο, Οὐ φαύλην ἔφη πρόφασιν ἐμπεπτωκέναι χρηματισμοῦ δεομένῳ χρημάτων αὐτῷ· ἀλλὰ τὸ μηδὲν ὅλως εἰκάζειν ἐν τοῖς ἀνεικάστοις ἀσφαλέστερον, οἷόν ἐστι καὶ τὸ ἑξῆς. —στ. 3, Λαφυραγωγήσεσθαι καὶ λίαν.] Ὡς ὑπόπτους τὰς δύο τελευταίας λέξεις ἀστερίσκοις διείληφα, ἃς καὶ ὁ Λατῖνος μεταφραστὴς παρέλιπε. Ὤφειλε γὰρ εἶναι, Λαφυραγωγήσεσθαι πολέμου νόμῳ, ὡς ὑποδηλοῖ τὸ ἀνωτέρω παρατεθὲν ἐκ τοῦ Συετωνίου jure belli. Ἀλλ' ἡ τοιαύτη διόρθωσις ἀπαράδεκτος εἰκότως ἂν λογισθείη, διὰ τὸ μακρὰν ἀπεσχοινίσθαι τοῦ κειμένου. Μήποτε οὖν γραπτέον, Λαφυραγωγήσεσθαι δικαίως. Ὁ γοῦν Α τοῦτό τε καὶ τὸ Πολέμου νόμῳ συνθεὶς εἰς ἓν ἀμωσγέπως ἐξέφρασεν, il auroit les biens de tous les Gaulois, comme butin de juste guerre. Ὀρθὴ δ' ἐστὶν ἴσως, καὶ ἣν τῶν ΠΡ τις εἴκασε διόρθωσιν· οὐ μὴν ὡς παρῄνει γράφειν, Λαφυραγωγήσεσθαι καὶ λείαν ποιήσεσθαι, ἀλλα, Λάφυρα ποιήσεσθαι καὶ λείαν, ἢ, Λαφυραγωγήσεσθαι καὶ λείαν ἐλάσειν.—στ. 7, Ὠνητάς.] Ἐξ ΕΔ, (συνᾳδούσης τῷ Λατίνῳ μεταφραστῇ καὶ τῷ Α), ΑΤ, Ὄντας.—στ. 9. Μάκρος.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Μαῦρος. Μάκρον δὲ καλοῦσι καὶ οἱ μεταφρασταί, ὥσπερ καὶ οἱ Ῥωμαῖοι συγγραφεῖς, καὶ αὐτὸς ἐν τοῖς ἑξῆς (§ 13, σελ. 291) ὁ Πλούταρχος.—στ. 21, Ὥσπερ τοὺς ἡνιόχους κ. τ. λ.] Διάγραφε τὸ ἄρθρον· οὐ γὰρ πάντες οἱ ἡνίοχοι κρατῆσαι χαλινῶν οὐ δύνανται, ἀλλὰ τινὲς τῶν ἡνιόχων, οἱ ἡνιοχίας ἄπειροι δηλονότι, ἢ ἐξαγριωθεῖσιν ἵπποις χρώμενοι.—στ. 25, Μεταβαλουμένων.] Ἐξ ΕΔ, ΑΤ, Μεταβαλλομένων.—στ. 29, Κλουνίαν.] Ἐξ ΕΔ, ΑΤ, Κο-

λουνίαν. Οὕτως δὲ καὶ Συετώνιος Cluniam τὴν πόλιν ὀνομάζει (Sueton. Galb. cap. 9).

ΣΕΛΙΔ. 286, στ. 4, Ἴκελος.] Ἐξ ΕΔ (συναδούσης τοῖς Ῥωμαϊκοῖς συγγραφεῦσι) ΑΤ, Σικελός.—στ. 9, Ἀναγορεύσειεν.] Ἴσως γραπτέον, Ἀναγορεύσειαν.—στ. 14, Ὑπ' αὐτοῦ.] Ἴσως γρ. Ἐπ' αὐτῷ, τῷ Γάλβᾳ δηλονότι. Τῶν ΠΡ τις εἴκαζε γραπτέον εἶναι, Ὑπὲρ αὐτοῦ. —στ. 15, Δυσὶν ἡμέραις ὕστερον.] Προσέθηκα τὴν τελευταίαν λέξιν, ἣν καὶ ὁ Α καὶ ὁ Λατῖνος μεταφραστὴς, ὡς ἀναγκαίαν ἐξέφρασαν. —Πολλὰ τῶν ἀπὸ στρατοπέδου κ. τ. λ.] Διέγραψα τὰς πρώτας δύο λέξεις, ὡς οὐ μόνον οὐδὲν ὧδε σημαινούσας, ἀλλὰ καὶ τὸν εἱρμὸν τῶν λεγομένων συγχεούσας, ὥσπερ ἔδοξε καὶ τοῖς ΠΡ.—στ. 19, Μαρκιανὸς Ἴκελος.] Ἐξ ΕΔ (ὥσπερ ἀνωτέρω), ΑΤ, Μαρκιανὸς Οὐίκελλος. Πιστοῦται δὲ τὴν διόρθωσιν ὁ Συετώνιος, λέγων, libertus Icelus . . . annulis aureis et Marciani cognomine ornatus (Sueton. Galb. cap. 14)· ἔνθα καὶ σημείωσίς ἐστι τοῦ Κασωβῶνος, ἐν ᾗ τὸ προκείμενον Πλουτάρχου χωρίον γράφεται, Μαρκιανὸς ὁ Ἴκελος.

ΣΕΛΙΔ. 287, στ. 7, Αὐτόν.] ΠΡΔ, ΑΤ, Ἑαυτόν.—στ. 10, Διπλώματα.] Ἑλληνικὴ μὲν ἡ λέξις, οὐ μὴν ὑφ' Ἑλλήνων, ἀλλ' ὑπὸ Ῥωμαίων πρώτων, παρ' ὧν καὶ οἱ ἡμέτεροι Βυζαντινοὶ συγγραφεῖς ἔλαβον, ἐπὶ ταύτης τεταγμένη τῆς σημασίας. Σημαίνει δὲ ἐν γένει μὲν βασιλέως ἔγγραφον δόγμα, εἰδικῶς δὲ κέλευσιν πράξεως, ἢ δωρεὰν, ἢ προνόμιον διδόμενόν τινι ὑπὸ τοῦ Ἡγεμόνος, οἷά εἰσι τὰ Χρυσόβουλα καλούμενα, ἢ ὁδοῦ ἄδειαν, οἷα τὰ διαβατήρια (passeports) λεγόμενα γράμματα, καὶ ἄλλα τοιαῦτα.—στ. 11, Ἐν ταῖς τῶν ὀχημάτων ἀμοιβαῖς.] Φαίη ἂν ὀρθῶς ἡ παρ' ἡμῖν συνήθεια διὰ μιᾶς λέξεως Ἀλλαγὰς τὰς τῶν ὀχημάτων ἀμοιβὰς, ὥσπερ ἔλεγον οἱ Βυζαντινοὶ συγγραφεῖς, χαίρειν φράσασα τῷ Ἰταλογαλλικῷ, Πόστας.— στ. 17, Σπῖκλον.] Κατὰ συγκοπὴν τοῦ Σπικίλλου Spicillus· οὕτως γὰρ αὐτὸν ὀνομάζει ὁ Συετώνιος (Sueton. Ner. cap. 30).—στ. 19, Κατηγορικῶν.] Κατηγορικοὶ ἐνθάδε, οὓς ἀνωτέρω (σελ. 155) Προσαγωγέας ἐκάλεσε.—στ. 27, Ἐκ δ' ἀκεστρίας...γεγεννημένην.] Τοῦθ' οὕτως ἐξεδέξαντο οἱ μεταφρασταί· τεχθεῖσαν ἐξ ἀκεστρίας, ἣν εἶχε Κάλλιστος ἐπὶ μισθῷ, τουτέστι, θυγατέρα Καλλίστου καί τινος ἀκεστρίας συνούσης τῷ Καλλίστῳ. Μήποτε δ' ἕτερόν τι λέγειν ὁ Πλούταρχος βούλεται τοιοῦτον· Αὐτὴν τὴν Νυμφιδίαν (οὐ τὴν ταύτης μητέρα) ἀκέστριαν οὖσαν πρότερον γενέσθαι Καλλίστῳ ἐπὶ μισθῷ. Τοῦτο γὰρ μᾶλλον ὑπονοεῖν παρέχει καὶ ἡ Ἑλληνικὴ φράσις, Γίνεσθαί

τινι ἐπὶ μισθῷ, καὶ πιςοῦταί πως ὁ Ῥωμαῖος Τάκιτος, λέγων περὶ τῆς Νυμφιδίας, ὅτι εὐειδὴς οὖσα συνεγίνετο τοῖς τῶν αὐτοκρατόρων οἰκέταις τε καὶ ἀπελευθέροις, quæ corpus decorum inter servos libertosque principum vulgaverat (Tacit. Annal. lib. XV, cap. 72). Εἰ δὲ βούλει πάντως τὸ Ἀκεςρίας πρὸς τὴν μητέρα τῆς Νυμφιδίας ἀνάγειν, ἐξερρυηκέναι τοῦ χωρίου τὸ Συνούσης, ἢ ἕτερόν τι τοιοῦτον, ὑποληπτέον, ἵν' ᾖ, Τὴν Νυμφιδίαν γεγεννημένην, τουτέστι τεχθεῖσαν, ἐξ ἀκεστρίας συνούσης ἐπὶ μισθῷ Καλλίςῳ τῷ Καίσαρος ἀπελευθέρῳ. Ἦν δ' ἀπελεύθερος Γαΐου καίσαρος, τοῦ ἐπονομασθέντος Καλιγόλου, ὁ Κάλλιστος οὗτος· οὗ μνημονεύει καὶ Δίων ὁ Κάσσιος (νθ', 19 καὶ 29).

ΣΕΛΙΔ. 288, στ. 6, Τὸ Σπόρῳ.] ΠΡΔ, ΑΤ, Τῷ Σπόρῳ. Νέρων, τελευτησάσης Σαβίνης τῆς γυναικὸς, ἧ αὐτὸς αἴτιος ἐγεγόνει τοῦ θανάτου, κυούσῃ λὰξ ἐνθορὼν, τοσοῦτον ἔσχε πόθον αὐτῆς, ὥςε Σπόρον τὸν ἀπελεύθερον, δόξαντα προσεοικέναι τῇ Σαβίνῃ τὴν ὄψιν, ἐκτεμὼν, ὡς γυναικὶ αὐτῷ ἐχρῆτο, καὶ προϊόντος τοῦ χρόνου ἔγημεν αὐτὸν, ὥς φησι Δίων ὁ Κάσσιος (ξϛ', 28). Καὶ ταῦτα μὲν τὰ καὶ λέγειν αἰσχρὰ αἰσχρουργῷ τυράννῳ τῷ Νέρωνι καὶ πάνυ πρέποντα ἦν. Ἃ δὲ μηδὲ λέγειν ὅλως ἐχρῆν, εἰ μὴ ἡ τῶν προγεγενημένων ἱςορία ὠφελεῖν ἡμᾶς εἶχεν εἰς τὰ παρόντα, τὰ προσιστορούμενα τούτοις ὑπὸ τοῦ Δίωνός (ξγ', 13) ἐστι· « Καὶ τούς τε γάμους αὐτῶν πάντες οἱ Ἕλ- » ληνες ἑώρτασαν, τά τε ἄλλα (οἷα εἰκὸς ἦν) ἐπιλέγοντες, καὶ γνη- » σίους σφίσι παῖδας γεννηθῆναι εὐχόμενοι ». Ὦ Ἑλλὰς Ἑλλὰς, ἐξ οἵων εἰς οἷα! — στ. 8, Ποππαίαν.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ποππαῖον. Ἦν δὲ τοῦτο θάτερον τῶν ὀνομάτων τῆς ἀποθανούσης Νέρωνος γυναικὸς, Ποππαίας Σαβίνης, καλουμένης. Ἴδε τὰς εἰς τὸν Συετώνιον (Sueton. Ner. cap. 28) σημειώσεις τοῦ Κασωβῶνος. — στ. 12, Ἔπεμψε, Γάλβαν, ἢ παρείκοι, κατασκεψόμενον.] Ἐξ ΗΔ, ΑΤ, Ἔπεμψε καὶ παρείκει κατασκεψόμενον. Καὶ ἕτεροι μὲν συντομώτερον (ἴσως δὲ καὶ ὀρθότερον) παρῄνουν γράφειν, Ἔπεμψε τὰ ἐκεῖ κατασκεψόμενον. Ἡμῖν δὲ καὶ τὸ Παρείκει τηρῆσαι, καὶ τὸ Γάλβα ὄνομα προσθεῖναι δεῖν ἔδοξεν ἐνθυμηθεῖσι τὰ ἑξῆς (§ 13, σελ. 290) ῥηθησόμενα, « Γελλιανοῦ ... ὃν ἔπεμψε τοῦ Γάλβα τρόπον » τινὰ κατάσκοπον ». Ὁ νοῦς, Ἔπεμψε τὸν Γελλιανὸν, κατασκεψόμενον τὰς πράξεις τοῦ Γάλβα, ἢ παρείκοι· ὅπερ ἐν ἄλλοις (Περὶ παίδ. ἀγωγ. § 10) Κατὰ τὸ παρεῖκον τῶν καιρῶν (τουτέςι, Καθ' ὅσον ὁ καιρὸς συγχωρεῖ, εἰς ὅσον οἷόν τ' ἐστὶν ἢ ἐνδέχεται), εἴρηκε.

— στ. 14, Προσεχώρει.] Ἐξ ΗΔ ἡ προσθήκη τῆς προθέσεως· σημαίνει δὲ, πρὸς αὐτὸν ἐχώρει, προσεγίνετο, μετέβαινεν, αὐτῷ συνεμάχει, ἐφ' ἧς ἐννοίας καὶ ἐν τῷ Ἀντωνίου βίῳ (§ 71, ἀνωτέρ. σελ. 117) εἴρηκε, « Ἡρώδην . . . ἤκουσε Καίσαρι προσκεχωρηκέναι ». — στ. 16, Πολλῆς μαχιμωτάτης.] Ἴσ. γρ. Πολλῆς καὶ μαχιμωτάτης, καθάπερ ἡρμήνευσαν καὶ οἱ μεταφρασταί. — στ. 21, Μεγίστη ῥοπὴ τοῖς Ῥωμαίων πράγμασι, τυραννίδος...ἀπαλλαγῇ, γενόμενος.] Ἐξ ΗΔ ἡ μεταλλαγὴ τῶν πτώσεων, ΑΤ, Μεγίστη ῥοπὴ τοῖς Ῥωμαίων πράγμασι, τυραννίδος ... ἀπαλλαγὴ γενόμενος. Ὁ νοῦς, Μεγίστη κλίσις ἐπὶ τὸ βέλτιον καὶ βοήθεια γενόμενος τοῖς Ῥωμαίοις διὰ τοῦ ἀπαλλάξαι αὐτοὺς τυραννίδος χαλεπῆς καὶ πολέμων Γαλατικῶν. Τὴν ἡμετέραν δὲ διόρθωσιν ὑπενόησαν ἐκ μέρους καὶ οἱ ΗΡ, καὶ ἐξέφρασαν ὁλοσχερῶς οἱ μεταφρασταί.

ΣΕΛΙΔ. 289, στ. 2, Ἀνειπεῖν.] Ἐξ ΕΔ, ΑΤ, Εἰπεῖν. — στ. 4, Συνανέστρεφεν.] Ἀντὶ τοῦ μέσου Συνανεστρέφετο, ὅπερ οἶδε καὶ ἡ παρ' ἡμῖν συνήθεια, καὶ προθετικῶς, οἷον Συναναστρέφομαι μὲ τὸν δεῖνα, καὶ ἀπροθέτως, οἷον Μὴ συναναστρέφεσαι τοὺς ἐχθροὺς τῆς παιδείας. — στ. 7, Τὸν Οὐεργίνιον.] Ἐξ ΗΔ, ΑΤ, Τοῦ Οὐεργινίου. — Οἰόμενος μέν.] Ἴσως διαγραπτέον τὸν σύνδεσμον. — Κολούειν.] Ἐξ ΕΔ οἱ ΗΡ, ΑΤ, Κωλύειν. — στ. 8, Χρηστῷ δαίμονι.] Χρηστῇ τύχῃ· παραπλησίως τῷ ἐν τῇ συνηθείᾳ, οἷόν ἐστιν, Ἡ καλή σου τύχη. — στ. 17, Βασιλικῆς.] Ἐξ ΕΔ, ΑΤ, Ἡλικῆς. — Ἦν ἐκ τῶν.] Ἐξ ΕΔ οἱ ΗΡ, ΑΤ, Ἦν ἐκ τοῦ. — στ. 18, Προσέπεμψεν.] Ἴσ. γρ. Προέπεμψεν. — στ. 21, Δημαγωγίαν... καὶ κομψότητα μεγάλων ἀπαξιοῦσαν αὐτήν.] Ταὐτὸν ὡσπερανεὶ ἔλεγε, Τὰ τοιαῦτα δημαγωγοῦ ἐστι πανούργως ἑαυτὸν ἀποξιοῦντος τῶν μεγάλων, τουτέστι προσποιουμένου τὰ μικρὰ, ἵνα εὐχερέστερον τῶν μεγάλων τύχῃ· ἐπὶ κακοῦ γὰρ ἐνθάδε ἡ Κομψότης. « Κομψευόμενος, πανουργευόμενος· ἐπεὶ καὶ οἱ Ἀττικοὶ τὴν πανουργίαν Κομψείαν καλοῦσι, » καὶ τὸ στρεβλὸν, Κομψὸν, ὡς καὶ Εὐριπίδης », φησὶν ὁ Ἐρωτιανός. Ὁ γοῦν Διομήδης παρ' Εὐριπίδῃ (Ῥησ. 625) λέγει πρὸς τὸν πανοῦργον Ὀδυσσέα,

Τρίβων γὰρ εἶ τὰ κομψὰ, καὶ νοεῖν σοφός.

ΣΕΛΙΔ. 290, στ. 1, Ἃ Πριγκίπια καλοῦσι Ῥωμαῖοι.] Ἔπιθι τὰ διὰ μακρῶν εἰρημένα περὶ τῶν Πριγκιπίων (Principia) ἐν ταῖς εἰς τὸν Συετώνιον σημειώσεσι τῶν κριτικῶν (Sueton. Oth. cap. 1). Τὴν

δὲ τῆς τοῦ Καλβισίου γυναικὸς μοιχείαν ἱστόρηκεν ὁ Τάκιτος, Cujus (Calvisii) uxor, mala cupidine visendi situm castrorum per noctem militari habitu ingressa, cum vigilias et cetera militiæ munia eadem lascivia temerasset, in ipsis PRINCIPIIS stuprum ausa; et criminis hujus reus T. Vinius arguebatur (Tacit. Histor. lib. 1, cap. 48). — στ. 4, Ποτήριον ἀργυροῦν ὑφείλετο.] Servili deinceps probro respersus est, tamquam Scyphum aureum in convivio Claudii furatus: et Claudius postera die soli omnium Vinio fictilibus ministrari jussit, φησὶν ὁ Τάκιτος (Tacit. ibid.). Ἱστόρηκε δὲ καὶ Συετώνιος (in Tib. Claud. Cæs. cap. 32) τὴν κλοπὴν τοῦ ποτηρίου, σιγήσας τοῦ κλέψαντος τοὔνομα.—στ. 16, Κορνήλιον Λάκωνα.. Οὐϊνίου.] Ὑπὸ τριῶν γὰρ (φησιν ὁ Συετώνιος) διῳκεῖτο Γάλβας τούτων, τοῦ Κορνηλίου, τοῦ Οὐϊνίου, καὶ τοῦ ἀνωτέρω (§ 7, σελ. 286) μνημονευθέντος Ἰκέλου, οὓς καὶ Παιδαγωγοὺς τοῦ Γάλβα, σκώπτοντες ἐκάλουν, Regebatur trium arbitrio . . . quos Pædagogos vulgo vocabant; hi erant T. Vinius, legatus ejus in Hispania, cupiditatis immensæ, Cornelius Laco . . . libertus Icelus. (Sueton. Galb. cap. 14). — στ. 24, Πεμπτέον εἶναι δεῖν.] Τὸ Δεῖν, οἱ μὲν διαγράφειν, οἱ δὲ εἰς τὸ Δοκεῖν, τρέπειν παρῄνεσαν.—στ. 29, Ῥυθμίζειν.] « Ῥυθμίζει, κανονίζει » φησὶν Ἡσύχιος· παρὰ τὸ, Ῥυθμὸς, ὃν ὁ αὐτὸς Λεξικογράφος διὰ τοῦ «Κανὼν, μέτρον, τρόπος κ.τ.λ.». Ἔστι γὰρ καὶ τοῦ τρόπος συνώνυμον τὸ Ῥυθμὸς, ὡς ἐδήλωσεν Εὐριπίδης (Ἠλέκτρ. 772),

Ποίῳ τρόπῳ δὲ, καὶ τίνι ῥυθμῷ φόνου;

τουτέστι ποίῳ εἴδει ἢ γένει φόνου. Διορθούσθω κατὰ πάρεργον καὶ τὸ ἐν τῇ αὐτῇ σελίδι τοῦ Ἡσυχίου μήπω διορθωθὲν ὑπὸ τῶν κριτικῶν· « Ῥυκάνη, ἈΛΘΗΤΗΡΙΟΝ, ΧΕΙΡΟΜΗΡΙΟΝ, ἈΜΥΝΤΗΡΙΟΝ, τεκ» τονικὸν ἐργαλεῖον ». Γραπτέον γὰρ, ὥς γ' ἐμοὶ δοκεῖ, Ῥυκάνη, ἈΛΕΤΗΡΙΟΝ, ΧΕΙΡΟΜΥΛΙΟΝ, ἈΜΗΤΗΡΙΟΝ κ. τ. λ. Καὶ ἐπὶ μὲν τοῦ τεκτονικοῦ ἐργαλείου ἔσωσεν ἡ συνήθεια τὴν λέξιν, Ῥουκάνιον οὐδετέρως καλοῦσα τὴν Ῥυκάνην (Γαλλ. Rabot), καὶ τὴν ἐνέργειαν ταύτης, Ῥουκανίζω, ἀντὶ τοῦ ἀρχαίου Ῥυκανίζω (Γαλ. Raboter)· ἔταξε δὲ καὶ ἐπὶ τοῦ ἐργαλείου, ᾧ παίζουσιν οἱ παρ' ἡμῖν παῖδες κατὰ τὴν τῶν Βαΐων ἑορτὴν, Ῥουκάναν (θηλυκῶς) ὀνομάσασα, διὰ τὴν ὁμοιότητα. Οἱ δὲ παλαιοὶ, ὡς ἡμᾶς διδάσκει Ἡσύχιος, καὶ ἐπὶ τοῦ

Ἀλετήριον ἢ Χειρομύλιον ἔταττον τὴν Ῥυκάνην, πρὸς δὲ καὶ ἐπὶ τοῦ Ἀμητήριον, τουτέστι, Θεριστήριον, ἢ ΔΡΕΠΑΝΟΝ. Καὶ πιστοῦται τὴν ἡμετέραν διόρθωσιν ἐπὶ μὲν τοῦ πρώτου ὁ ἐν τῇ συνηθείᾳ Χερόμυλος· ἐπὶ δὲ τοῦ δευτέρου, τοῦτο μὲν Ἡσύχιος λέγων, « Ξίφαι, τὰ ἐν ταῖς ῥυκάναις ΔΡΕΠΑΝΑ, ἢ σιδήρια », τοῦτο δὲ ἡ παρὰ Ῥωμαίοις Runcina, προδήλως παρὰ τὴν Ῥυκάνην πλασθεῖσα, καὶ σημαίνουσα οὐ μόνον τὸ τεκτονικὸν ἐργαλεῖον, ἀλλὰ καὶ τὴν ἐπιςατοῦσαν τοῖς θεριζομένοις καρποῖς Θεάν, καθά φησιν Αὐγουςῖνος ἐν τῷ Περὶ Πόλεως Θεοῦ (De civit. Dei, lib. IV. cap. 8). Ἴσως δὲ καὶ πλείω τούτων ἐσήμαινεν ἡ Ῥυκάνη. Παρὰ μὲν γὰρ Ῥωμαίοις τὸ πρωτότυπον Runca ἐσήμαινε καὶ τὴν σκαλίδα, τουτέςι τὸ γεωργικὸν ἐργαλεῖον, ᾧ τὰς ἀχρείας βοτάνας ἐκκαθαίρουσι τῶν λῃίων, ἣν καὶ ἡ συνήθεια Σκαλίδα (Γαλλ. Sarcloir,) καλεῖ· ἔστι δὲ καὶ παρ' Ἡσυχίῳ, « ΚΑΛΛΑΔΙΑ, ῥυκάνη », ὅπερ ἴσως ἦν ΚΑΛΑΔΙΑ, γεωργικὸν ἕτερον, ἐργαλεῖον τὸ συνηθεςέρως καλούμενον Κλαδευτήριον καὶ τοῖς πάλαι, καὶ τοῖς νῦν οὖσιν ἡμῖν. — Ἑτέραν ὁδὸν τραπόμενος.] Καὶ ἡ συνήθεια ὁμοίως, καὶ κυριολεκτοῦσα, καὶ μεταφορᾷ χρωμένη Ἐπίασεν, ἢ, Ἐπῆρεν ἄλλον δρόμον. Προσσημειωτέα δὲ καὶ ἡ φράσις, Ἔξω τοῦ δρόμου, ἐπὶ τῶν ἀτόπων ἢ τῶν ἀκαίρων, ἢ τῶν ἔξω τοῦ προκειμένου, λεγομένη, οἷον, Ἐλάλησεν, ἢ Ἔπραξεν ἔξω τοῦ δρόμου, ἧς συνώνυμος ἡ χυδαιοτέρα, Ἔξω τῆς ςράτας, ἢ διὰ μιᾶς λέξεως ἐπιρρηματικῆς, Παράςρατα, ὃ Γραικικώτερον ἄν τις φαίη Παράδρομα. Τῇ αὐτῇ μεταφορᾷ κεχρημένους ἐςὶν ἰδεῖν καὶ τοὺς ἀρχαίους· αὐτίκα Αἰσχύλος (Χοηφορ. 511),

——— Πυθέσθαι δ' οὐδὲν ἐς' ἔξω δρόμου,

τουτέστιν, ὡς ἂν ἡμεῖς φαίμεν, Δὲν εἶναι ἔξω τοῦ δρόμου νὰ σ' ἐρωτήσω. Λέγει δέ που καὶ Πλάτων (Κρατύλ. σελ. 425), «Ἄλλως » δὲ συνείρειν μὴ φαῦλον ἢ καὶ οὐ καθ' ὁδὸν » · οὗ τὸ ἐναντίον ἐν ἄλλοις (Πολιτ. Δ, σελ. 435) οὕτως ἐξήνεγκεν, « Καθ' ὁδόν τε λέγεις, » καὶ ποιεῖν χρὴ οὕτως » τουτέςιν ἐν τῇ καθ' ἡμᾶς φωνῇ, « Ὁλόγος σου εἶναι τοῦ δρόμου, καὶ πρέπει νὰ κάμωμεν » ὡς λέγεις ».

ΣΕΛΙΔ. 291, στ. 8, Ἀλλὰ πολλοί.] Γραπτέον, οἶμαι, Ἀλλ' οἱ πολλοί. — στ. 9, Κατεγέλων.] Τοῦ Γάλβα, ὥσπερ ἔδοξέ τινι τῶν ΠΡ, καὶ ἡρμήνευσεν ὁ Α· ἢ τοῦ Κλωδίου, τουτέςιν ὧν συνεβούλευε Κλώδιος, ὡς ὑπείληφεν ἕτερος, καὶ ἡρμήνευσεν ὁ Λατῖνος μεταφραςής. — στ. 22,

Ποίαν αἰδουμένους Θυμέλην, ἢ τραγῳδίαν τοῦ Αὐτοκράτορος;] Ὁ γὰρ Νέρων πρὸς ταῖς ἄλλαις παραφοραῖς τῆς διανοίας, καὶ ἐπὶ σκηνῆς πολλάκις καὶ ᾖσε καὶ ὑπεκρίνατο, ὡς ἐϛι μαθεῖν ἐκ τοῦ Τακίτου, τοῦ Συετωνίου καὶ ἑτέρων.—στ. 23. Ἀλλ' οὐδ' ἐκεῖνον κ. τ. λ.] Ἀλλ' οὐδὲ τὸν Νέρωνα ἐγκατελίπομεν, διὰ τὰς ἐπὶ σκηνῆς αὐτοῦ γελοίας προόδους, καίπερ αἰσχυνόμενοι δι' αὐτάς· ἀλλὰ διότι ἠπατημένοι ὑπὸ τοῦ Νυμφιδίου ἐπείσθημεν, ὅτι πρῶτος ἡμᾶς ὁ Νέρων ἐγκατέλιπεν ἀποδρὰς εἰς Αἴγυπτον.

ΣΕΛΙΔ. 292, στ. 13, Εὐθύς.] Ἐξ ΗΔ (συνᾳδούσης τῷ Α), ΑΤ, Αὐτός.—στ. 14, Καὶ τὴν μέν.] Ἐξ ΗΔ, ΑΤ, Καὶ αὐτὴν μέν.—στ. 21, Δι' αὐτόν.] Διὰ τὸν Νυμφίδιον· εἰκὸς γὰρ καί τινας ἄλλους τῶν συνεισελθόντων τῷ Νυμφιδίῳ εἰς τὸ ϛρατόπεδον φονευθῆναι. Τῶν ΠΡ τις παρῄνει γράφειν, Δι' αὐτῶν, ἵν' ᾖ ὁ νοῦς, ὅσοι μὴ αὐτοὶ ἑαυτοὺς διεχρήσαντο. — στ. 22, Ἔδοξε μὴ νομίμως . . . πρὸ κρίσεως κ. τ. λ.] Οὕτως περὶ αὐτῶν ὁ Τάκιτος, inauditi atque indefensi, tamquam innocentes perierant (Tacit. Histor. lib. 1, cap. 6.) — 27, Τουρπιλιανός.] Ἐξ ΕΔ, ΑΤ, Τερτουλιανός. Τουρπιλιανὸν γὰρ αὐτὸν ὀνομάζει ὁ Τάκιτος.—στ. 28, Μάκρωνα.] Ὁ αὐτὸς καὶ ὃν ἀνωτέρω (§ 13, σελ. 291) Μάκρον· ἀλλ' οὐ διὰ τοῦτο εἰς τὸν Μάκρον τρεπτέον τὸν Μάκρωνα. Ἔϛι γὰρ οὐ γραφέων τὸ ἁμάρτημα· ἀλλὰ ποικιλία οὐκ ἐπαινετὴ Πλουτάρχου. Ὃ γὰρ ἐσημειωσάμεθα (Προδ. Ἑλλ. Βιβλιοθ. σελ. 378) διττοῦν τῆς καταλήξεως, εἰς ος καὶ ων, τινῶν ἐπιθέτων καὶ προσηγορικῶν, τοῦτο καὶ ἐπὶ κυρίων ὀνομάτων συμβαίνει. Τοιοῦτόν ἐϛι τὸ παρὰ τῷ Στράβωνι (σελ. 648) Σίμος καὶ Σίμων. — Φουτήϊον.] Καὶ τοῦτο οὕτως ἐπείσθην γράφειν ἐκ τοῦ Τακίτου παραινέσαντί τινι τῶν ΠΡ, ΑΤ, Φροντήϊον.—στ. 30, Τερτουλιανόν.] Τὸ οὕτως παρ' ἅπασι φερόμενον, ἐπελαθόμην ὧδε τρέψαι, ὡς μικρὸν ἀνωτέρω ἔτρεψα, εἰς τὸ, Τουρπιλιανόν. Διώρθου τοίνυν αὐτὸ, ὥσπερ τυπογραφικὸν ἁμάρτημα.

ΣΕΛΙΔ. 293, στ. 1, Εἴ τις ἣν ἐπαγγέλλεται.] Ἄμεινον ἂν ἐγράφετο, Εἰ ἣν ἐπηγγέλλετο, ὥσπερ ἡρμήνευσαν καὶ οἱ μεταφρασταί.—στ. 2, Τοῖς πράγμασιν.] Παρῄνει τις τῶν ΠΡ γράφειν, Ἐν τοῖς πράγμασιν. Ἀλλ' εἴτε προθετικῶς, εἴτε δίχα προθέσεως γράφοις, οὐδὲν ἧττον ὕποπτον τὸ Πράγμασιν, διὰ τὸ ἑπόμενον Ἔργῳ. Ἴσως γραπτέον, Γράμμασιν, οἷς ἔγραφε δηλονότι πρὸς τὴν σύγκλητον πρὸ τοῦ παραγενέσθαι εἰς Ῥώμην.—στ. 7, Συλλοχίσας.] ΠΡΔ, ΑΤ, Συλλοχήσας. — Παρόντος.] Οἱ μὲν εἰς τὸ Παρὸν, οἱ δὲ (τοῖς

μεταφρασταῖς συνᾴδοντες) εἰς τὸ Π α ρ α κ α λ ο ῦ ν τ ε ς, τρέπειν παρῄνεσαν.—στ. 11, Παρείκειν.] Ἐξ ΗΔ (ἐπὶ τοῦ Παραχωρεῖν), ΑΤ, Π ά λ ι ν ε ἴ κ ε ι ν. « Παρεῖξαι, παραχωρῆσαι» φησὶν Ἡσύχιος.—στ. 22, Αὐτῷ.] Ἐξ ΕΔ οἱ ΗΡ, ΑΤ, Α ὐ λ ῷ.—στ. 25, Χρυσοῦς τινας... ἐκ τῶν ἰδίων, οὐκ ἐκ τῶν δημοσίων χαρίζεσθαι.] Πέντε δηνάρια ἐπιδοῦναι τῷ Κάνῳ τὸν Γάλβαν φησὶν ὁ Συετώνιος, Cano autem coraulæ, mire placenti, denarios quinque donasse, prolatos manu sua e peculiaribus loculis suis (Sueton. Galb. cap. 12). Ἐμνημόνευσε τοῦ Κάνου τούτου Πλούταρχος καὶ ἀλλαχοῦ (Εἰ πρεσβυτ. πολιτευτ. § 5), λέγων, « Κάνος δὲ ὁ αὐλητὴς . . . ἔλεγεν ἀγνοεῖν » τοὺς ἀνθρώπους, ὅσῳ μᾶλλον αὐτὸν αὐλῶν, ἢ ἑτέρους, εὐφραίνει· » λαμβάνειν γὰρ ἂν μισθὸν, οὐ διδόναι, τοὺς ἀκούειν ἐθέλοντας ».

ΣΕΛΙΔ. 294, στ. 8, Ἀρχομένου τε κ. τ. λ. ] Ἐκ τῶν Ἡσιόδου Ἐργ. καὶ ἡμερ. 368, ὅπου γράφεται, Ἀρχομένου δέ.—στ. 10, Ἐνεπίμπλατο.] Ἐξ ΕΔ οἱ ΗΡ, ΑΤ, Ἐ ν ε π ί μ π λ α.—στ. 15, Ἡλεῖος.] Ἥ λ ι ο ς γράφεται παρὰ Δίωνι τῷ Κασσίῳ (ξγ´, 12). Ἀπελεύθερος δ' ἦν, ὥσπερ καὶ οἱ ἑξῆς καταλεγόμενοι. Τὸν Ἡλεῖον τοῦτον ἀπέλιπε διοικητὴν τῆς πόλεως ἀποδημῶν εἰς τὴν Ἑλλάδα ὁ Νέρων, καὶ ἐπιστέλλοντι ἐπανιέναι τὴν ταχίστην, ὡς χρῃζόντων τῆς αὐτοῦ παρουσίας τῶν ἐν Ῥώμῃ πραγμάτων, μουσικοὺς ἀγῶνας ἀγωνιζόμενος ἐν Ἑλλάδι τηνικαῦτα ὁ μωρὸς τύραννος, ἀντεπέστελλε γράφων, ὡς, ἀντὶ τοῦ συμβουλεύειν αὐτῷ τὴν ταχεῖαν ἐπάνοδον, ὤφειλε μᾶλλον Ἡλεῖος τοῦτ' εὔχεσθαι καὶ τούτου φροντίζειν, ὅπως ὁ Νέρων ἄξιος Νέρωνος ἐπανήξει, Quamvis nunc tuum consilium sit et votum celeriter reverti me; tamen suadere et optare potius debes, ut Nerone dignus revertar (Sueton. Ner. cap. 23).—Πολύκλειτος, καὶ Πετῖνος, καὶ Πατρόβιος.] Μνημονεύουσι τούτων, πλὴν τοῦ Πετίνου, καὶ Δίων ὁ Κάσσιος, καὶ Τάκιτος, καὶ Συετώνιος.—στ. 21, Τερτουλιανός.] Γράφε κἀνταῦθα, ὥσπερ ἀνωτέρω (σελ. 292), Τ ο υ ρ π ι λ ι α ν ό ς.—Τὸν ἡγεμόνα.] Τὸν Νέρωνα.—στ. 24, Προδοὺς.] Ἐκ ΔΓ οἱ ΗΡ, ΑΤ, Π ρ ο δ ι δ ο ῦ ς. —στ. 28, Ἐν πᾶσι θεάτροις.] ΔΓ, Ἐ ν θ ε ά τ ρ ο ι ς.—στ. 29, Ἐπεπλήχθη.] Ἐκ ΔΓ οἱ ΗΡ, ΑΤ, Ἐ π λ ή χ θ η.

ΣΕΛΙΔ. 295, στ. 1, Παραιτουμένου.] Ἐκ ΔΓ (συνᾳδούσης τῷ Α), ΑΤ, Π α ρ α ι τ ο υ μ έ ν ο υ ς.—στ. 8, Περιδέραιον.] Ἐξ ΕΔ, ΑΤ, Π ε ρ ι δ έ ῤ ῥ α ι ο ν. —στ. 11, Πρὸς τοὺς Γαλάτας.] ΔΓ, Π ρ ὸ ς Γ α λ ά τ α ς. —στ. 19, Πυθομένοις... εἰσῆλθε.] Γράφε, Π υ θ ο μ έ ν ο υ ς ε ἰ σ ῆ λ θ ε. Κομψότερον γὰρ τὸ μετὰ αἰτιατικῆς· ᾧ καὶ ἀλλαχοῦ (Παραμυθ. πρὸς

Ἀπολλών. Τομ. ϛʹ, σελ. 415, ἐκδ. Ῥεϊσκ.) Πλούταρχος ἐχρήσατο, » Τὸν οὖν Ἡλίσιον εἰσελθεῖν, ὅπερ ἴσως κἂν ἄλλον εἰσῆλθεν ». — στ. 22, Τῶν μὲν ἐν.] Ἐξ ΕΔ (συναδούσης τῷ Α), ΑΤ, Τὸ μὲν ἐν. — στ. 24, Τῷ νεωτερισμῷ.] Ἐξ ΕΔ, ΑΤ, Τῶν νεωτερισμῶν. — στ. 28, Αὐτούς.] Ἐξ ΕΔ, ΑΤ, Αὐτούς.

ΣΕΛΙΔ. 296, στ. 6, Εἰ ἄξιος.] Ἐκ ΔΓ (συναδούσης τῷ Α), ΑΤ, Οὐκ ἄξιος. — στ. 11, Νεανίσκων.] Ἐξ ΕΔ, ΑΤ, Νεανίσκον. — στ. 17, Ποππαίας.] Ἐκ ΔΓ οἱ ΗΡ, ὧδέ τε καὶ ἐν τοῖς ἑξῆς, ΑΤ, Πομπαίας. — στ. 23, Χρισαμένου.] Ἐκ ΔΓ, ΑΤ, Χρησαμένου — στ. 25, Προβαλεῖν.] Ἐξ ΗΔ, ΑΤ, Προβάλλειν.

ΣΕΛΙΔ. 297, στ. 12, Δεδομένην.] Ἐξ ΕΔ (συναδούσης τῷ Α), ΑΤ, Διδομένην. — Αὐτῷ.] Ἐξ ΓΔ, ΑΤ, Αὐτός. — στ. 19, Ἐν δὲ τῇ συνοδίᾳ καὶ ἡ συνήθεια τὸν Οὐΐνιον κ. τ. λ.] Ἄμεινον ἂν ἐγράφετο, δύο λέξεων περιαιρέσει (ἃς καὶ ὁ Α παρῆκε), Ἐν δὲ τῇ συνοδίᾳ καὶ τὸν Οὐΐνιον. — στ. 21, Τό γε μετ'.] Ἐξ ΕΔ, ΑΤ, Τὸ δὲ μετ'. — στ. 27, Ἴκελον.] Ἐξ ΗΔ (συναδούσης τοῖς μεταφρασταῖς, καὶ τοῖς Ῥωμαίοις ἱστοριογράφοις), ΑΤ, Σικέλιον. Ἔπειθι τὰ ἀνωτέρω (σελ. 454) σημειωθέντα. — Ἀσιατικόν.] Τοῦτον ὁ Τάκιτος, Οὐϊτελλίου ἀπελεύθερον ὄντα, τοῦ μετὰ τὸν Ὄθωνα βασιλεύσαντος, ἐν τῇ τοῦ Οὐϊτελλίου αὐλῇ, οὐκ ἐν τῇ τοῦ Γάλβα, μέγα δυνηθῆναί φησι, οὐδὲν ἧττον Πολυκλείτου καὶ Πατροβίου μιαρὸν γενόμενον, Libertus Vitellii Asiaticus, Polycletos, Patrobios, et vetera odiorum nomina æquabat (Tacit. Histor. lib. II, cap. 95). Μνημονικὸν οὖν ἂν εἴη Πλουτάρχου ἁμάρτημα ὁ Ἀσιατικὸς ἐνθάδε· καὶ οὐ θαυμαστόν, εἰ, ἐν οὐδὲ ὅλῳ ἔτει τοσούτων κακῶν φορᾶς καὶ διαδοχῆς καταλαβούσης τὴν Ῥώμην, τὰς τελευταίας χήρας ταῖς πρώταις συνῆψε· Magna et misera civitas, eodem anno Othonem Vitelliumque passa, inter Vinios, Fabios, Icelos, Asiaticos, varia et pudenda sorte agebat (Tacit. ibid.).

ΣΕΛΙΔ. 298, στ. 6, Γαμεῖν.] Ἴσ. γρ. Γαμήσειν. — στ. 13, Διάθεσιν] Διαθήκην. — Αὐτόν.] Ἐξ ΕΔ, ΑΤ, Αὐτόν. Ὁ νοῦς, Ἀποδείξας ἑαυτὸν ὕπατον, καὶ ἑαυτῷ συνάρχοντα τὸν Οὐΐνιον. — στ. 15, Ἡδέως εἶχε τὸν Ὄθωνα... ἀναγορευθῆναι] Καινῶς εἰρημένον ἀντὶ τοῦ, Ἥδιστ' ἂν ἐθεάσατο τὸν Ὄθωνα ἀνηγορευμένον, ἢ ἥδιον ἂν εἶδε τὸν Ὄθωνα, ἢ ἄλλον τινά, ἀνηγορευμένον.

ΣΕΛΙΔ. 299, στ. 21, Οἴνου διάπλεων καὶ τροφῆς μεσημβρινῆς.] Οὐκ ἀργῶς προστέθειται τὸ Μεσημβρινῆς· ἔθους γὰρ ὄντος μεθ'

ἡμέραν τοῖς σπουδαίοις σχολάζειν, δείλης δ' ὀψίας τοῦ δειπνεῖν καὶ δαψιλέστερον οἰνοποτεῖν ἀπὸ τῶν πραγμάτων γενομένους συγκεχωρημένου, τὸ μέσης ἡμέρας ταῦτα ποιεῖν ἀμελήσαντα τῶν σπουδαίων, ἀνδρός ἐστιν ἐν τῇ γαςρὶ τὴν εὐδαιμονίαν ὁριζομένου. Ὅτι δὲ τοιοῦτος ἦν ὁ Οὐϊτέλλιος, μαρτυροῦσι καὶ τὰ παρ' ἄλλοις ἱςορημένα. Φησὶ γοῦν ὁ Τάκιτος περὶ αὐτοῦ, fortunam principatus inerti luxu ac prodigis epulis præsumebat, MEDIO DIEI temulentus et sagina gravis (Tacit. Histor. lib. I, cap. 62). Ἐνεφορεῖτο δὲ βρώσεως ὁ χοιρόβιος οὗτος Οὐϊτέλλιος τετράκις τῆς ἡμέρας, καὶ ὁπότε μηκέτι φαγεῖν ἢ πιεῖν διὰ τὸν κόρον δύναιτο, πλησμονῆς εἶχε φάρμακον τὸν ἔμετον, μεθ' ὃν μηδὲν μελλήσας ἐπὶ τὴν τράπεζαν αὖθις ἐτρέπετο, ὥς φησι Δίων ὁ Κάσσιος (ξέ, 2) « Τὸ πλεῖστον καὶ τῆς » ἡμέρας καὶ τῆς νυκτὸς ἐδαπάνα ἀπλήστως τε ἐμφορούμενος, καὶ » συνεχῶς πάντα ἐξεμῶν, ὡς μόνῃ τῇ παρόδῳ τῶν σιτίων τρέφεσθαι· » ἀφ' οὗπερ καὶ ἀνταρκεῖν ἠδύνατο ». Συνῳδὰ τούτοις καὶ τὰ τοῦ Συετωνίου, Epulas trifariam semper, interdum quadrifariam disbertiebat: in jentacula, et prandia, et cœnas, comissationesque; facile omnibus sufficiens, vomitandi consuetudine (Sueton. Vitel. cap. 13). — στ. 22, Γερμανικὸν . . . οὐ προσδεξάμενον.] Ἔπιδε τὸν Συετώνιον (Vitel. cap. 8) καὶ τὸν Τάκιτον (Histor. lib. I, cap. 62). — στ. 29, Ἀνεβάλετο.] Ἐξ ΗΔ, ΑΤ, Ἀ ν ε β ά λ λ ε τ ο.

ΣΕΛΙΔ. 300, στ. 2, Σκριβωνίας.] Ἐξ ΕΔ, ΑΤ, Κ ρ η τ ί ω ν ο ς. ΔΓ, Κ ρ ι τ ί ω ν ο ς: Κ ρ ι β ί ω ν ο ς. Καὶ οἱ μὲν τρέπειν παραινέσαντες εἰς τὸ Σ κ ρ ι β ω ν ί α ς, τὸ Ἔ κ γ ο ν ο ν ἐπὶ τοῦ υἱοῦ ἐξεδέξαντο, καὶ τὸν Τάκιτον παρέχονται μάρτυρα τῆς διορθώσεως λέγοντα περὶ τοῦ Πείσωνος, Piso M. Crasso et Scribonia genitus, nobilis utrinque, vultu habituque moris antiqui et æstimatione recta severus (Tacit. Histor. lib. I, cap. 14). Ἕτεροι δὲ οὐδ' οὕτως τεθεραπεῦσθαι τὸ Πλουτάρχειον τόδε χωρίον ὑπειλήφασι· τὴν γὰρ Σκριβωνίαν μετὰ τοῦ ἀνδρὸς Κράσσου, οὐχ ὑπὸ Νέρωνος, ἀλλ' ὑπὸ Κλαυδίου ἀνῃρῆσθαι· περὶ ὧν ἔπιδε τὰς εἰς τὸ προτεθὲν Τακίτου χωρίον σημειώσεις τῶν κριτικῶν. Τῶν δὲ τὸ Ἔ κ γ ο ν ο ν ἐπὶ τοῦ ἀπόγονου ἐκδεξαμένων, οἱ μὲν τὸ Κ ρ η τ ί ω ν ο ς εἰς τὸ Π ε ί σ ω ν ο ς ἔτρεψαν, ὥσπερ ὁ Λατῖνος καὶ ὁ Γάλλος μεταφραςής, οἱ δὲ εἰς τὸ Σ κ ρ ι β ω ν ί ο υ τρέπειν παρῄνεσαν, Σκριβώνιον, ὡς ἔοικε τὸν τῆς Σκριβωνίας πατέρα νοοῦντες. Τοῦτο γὰρ καὶ ὁ πατὴρ καὶ οἱ ἀδελφοὶ αὐτῆς ἐκαλοῦντο.

—στ. 6, Διοσημεῖαι.] Τῶν μεταγενεστέρων ἔοικεν εἶναι ἡ διά διφθόγγου γραφή. Διοσημίαι γάρ ἐλέγοντο τοῖς ἀρχαίοις, τά ἐκ Διός ἤτοι τοῦ ἀέρος σημεῖα· οἷον (Ἀριστοφάν. Ἀχαρν. 171),

Διοσημί' ἐστι, καὶ ῥανὶς βέβληκέ με.

Τὸ δὲ οὐδέτερον Διοσημεῖον ὕποπτός ἐστι σχηματισμὸς τῆς λέξεως, γραφικοῖς μόνον ἴσως ἐπερειδόμενος ἁμαρτήμασι.—στ. 15, Ἀνεκπλήκτως.] Ἐξ ΗΔ, ΑΤ, Ἀνεμπλήκτως. Καὶ μαρτυρεῖ μου τῇ διορθώσει ὁ Τάκιτος, Pisonem ferunt statim intuentibus, et mox conjectis in eum omnium oculis, nullum turbati, aut exultantis animi motum prodidisse (Tacit. Histor. lib. I, cap. 17). — στ. 24, Πτολεμαῖος. ] Οὕτως ὀνομάζει τὸν μάντιν καὶ Τάκιτος (ibid. cap. 22). Ὁ δὲ Συετώνιος (Oth. cap. 4 et 6), Σέλευκον. —στ. 29, Πλεῖστοι δὲ καί τῶν.] Ἐξ ΗΔ ἡ προσθήκη τοῦ δευτέρου συνδέσμου, ὃν ἐξέφραсε καὶ ὁ Α.

ΣΕΛΙΔ. 301, στ. 3, Οὐετούριος.] Ἐξ ΕΔ (συνᾳδούσης τοῖς μεταφρασταῖς), ΑΤ, Ἰτούριος. — Ὀπτίων, ὁ δὲ Τεσσεράριος.] Ἐξ ΕΔ (συνᾳδούσης τοῖς μεταφρασταῖς) ΑΤ, Ὀπίων, ὁ δὲ Τεσσενάριος. Πιστοῦται δὲ τὰς διορθώσεις ταύτας ὁ Τάκιτος, E libertis Onomastum futuro sceleri præfecit, a quo Barbium Proculum, tesserarium speculatorum, et Veturium optionem eorumdem perductos, etc. (Tacit. Histor. lib. I, cap. 25). — στ. 4, Οὕτω γάρ καλοῦνται οἱ διαγγέλων καὶ διοπτήρων ὑπηρεσίας τελοῦντες.] Ἐξ ΕΔ οἱ ΗΡ, ΑΤ, Δι ἀγγέλων καὶ δι ὀπτήρων. Ἡ δὲ Πλουτάρχειος ἐξήγησις τῶν Ῥωμαϊκῶν ὀνομάτων λείπεται τῆς ἀκριβείας, ὃ καὶ πρὸ ἡμῶν ἕτεροι ἐσημειώσαντο (ἴδε τὰς εἰς τὸν Sueton. Oth. cap. 6, pag. 167, σημειώσεις τῶν κριτικῶν). Τῶν παρὰ Ῥωμαίοις ἐκλεγομένων ταξιαρχῶν ἕκαστος προσεξελέγετο ἐπίκουρον καὶ τοποτηρητήν τινα, τὸν καὶ διὰ τὴν ἐκλογὴν ταύτην Ὀπτίωνα καλούμενον (σημαίνει γὰρ ἡ optio τὴν ἐκλογήν). Τοῦτον, Οὐραγὸν ὁ Πολύβιος (ϛ′, 24) ὀνομάζει· ὀνομάσαις δ' ἂν καὶ, Ὑποταξίαρχον· ἀναλογεῖ γὰρ πως τῷ νῦν καλουμένῳ lieutenant. Εἶχε δὲ ἑκάστη τάξις, παρὰ τοὺς δύο τούτους, καὶ τὸν λαμβάνοντα παρὰ τοῦ ταξιάρχου τὸ σύνθημα (le mot du guet) καὶ διαδιδόντα τοῖς λοιποῖς, ὃς ἐκαλεῖτο, Τεσσεράριος, Tesserarius, ὥσπερ ἂν εἴποις Συνθηματοφόρος, παρὰ τὸ Tessera, τὸ σημαῖνον τὸ σύνθημα. Τῶν τάξεων τούτων μία ἦν καὶ οἱ καλούμενοι Speculatores, τουτέστι κατάσκοποι, οὓς

ὁ Πλούταρχος Διαγγέλους καὶ διοπτῆρας, Δίων δ' ὁ Κάσσιος (οή, 14) Διόπτας καὶ ἐρευνητάς, ὀνομάζει· καὶ ταύτης τῆς τάξεως ἦν Ὀπτίων μὲν, ὁ Βετούριος, Τεσσεράριος δὲ, ὁ Βάρβιος, ὡς δεδήλωκε τὸ προτεθὲν Τακίτου μαρτύριον. Διὸ οὐκ ἀλόγως ὑπενόησεν ὁ Σαλμάσιος (Not. in Æl, Spartian. pag. 29) ἐξεῤῥυηκέναι τὴν Ῥωμαϊκὴν λέξιν, Σπεκουλατόρων, τοῦ Πλουταρχείου χωρίου, οὕτως ἔχοντος πάλαι· «Οὐετούριος καὶ Βάρβιος, ὁ μὲν Ὀπτίων, ὁ δὲ Τεσ» σεράριος σπεκουλατόρων (οὕτω γὰρ καλοῦνται οἱ διαγγέλοι κ.τ.λ.)». —στ. 6, Ἐπιφοιτῶντες.] Ἐξ ΗΔ (συνᾳδούσης τῷ Α), ΑΤ, Ἐπιφοιτῶν. Οὗτοι γὰρ οἱ δύο ἦσαν οἱ μάλιστα τὴν ἀπόστασιν τοῦ στρατοπέδου κατορθώσαντες, περὶ ὧν φησὶ δεινοπαθῶν ὁ Τάκιτος, ὅτι δύο Μανιπουλάριοι ὑπέστησαν τὴν ἡγεμονίαν τοῦ δήμου Ῥωμαίων μεταγαγεῖν εἰς ἕτερον, καὶ μετήγαγον, Suscepere [duo manipulares Imperium Populi Romani transferendum, et transtulerunt (Tacit. ibid), Μανιπουλαρίους καλῶν τοὺς κατειλεγμένους ἐν Μανιπούλῳ (Manipulus), ὅπερ ἦν τάγμα ἐκ διακοσίων στρατιωτῶν συγκείμενον.—στ. 8, Ὑγιαίνοντος στρατοπέδου μεταστῆσαι πᾶσιν.] Τὴν ἡμαρτημένην λέξιν, Πᾶσιν, οἱ μὲν εἰς τὸ Στάσιν, οἱ δὲ πιθανώτερον εἰς τὸ, Πίστιν τρεπτέον εἶναι ἡγήσαντο. Ἢ τοίνυν ταύτην ἀποδεκτέον τὴν διόρθωσιν, ἢ διαγράφοντας ὡς νόθον τὴν λέξιν τὰ λοιπὰ γραπτέον, Ὑγιαῖνον στρατόπεδον μεταστῆσαι.—στ. 11, Φεβρουαρίων.] Ἐξ ΗΔ, ΑΤ, Φευρουαρίων.—στ. 14, Προσιδεῖν.] Ἐξ ΗΔ, ΑΤ, Προϊδών· ἀνθ' οὗ οἱ ΠΡ προείλοντο γράφειν Προσιδών. Προέχει μέντοι τὸ ἀπαρέμφατον διὰ τὸν Καὶ σύνδεσμον, καὶ τὴν πρὸς τὸ Ἅμα συνάρτησιν. Οὕτως δ' ἐξέφρασε καὶ ὁ Α.—στ. 15, Ἔφη σημεῖα...τῷ Αὐτοκράτορι.] Ἄμεινον ἂν ἐλέγετο μετὰ τοῦ ἀπαρεμφάτου, Ὁρᾷν, μετὰ τὴν δευτέραν, ἢ γοῦν τὴν τελευταίαν λέξιν, προστιθεμένου, ὥς τις εἴκασε τῶν ΠΡ, καὶ ἐξέφρασεν ὁ Α, il dit.. qu' il voyoit des signes, etc.—στ. 21, Αὐτόν.] Ἐξ ΕΔ (συνᾳδούσης τοῖς μεταφρασταῖς), ΑΤ, Αὐτῷ.—στ. 24, Πωληταῖς.] ΠΡΔ, ΑΤ, Πολίταις. Ὁ νοῦς ἑρμηνευτέος ἐκ τοῦ Τακίτου τε (I, 27) καὶ Συετωνίου (Oth. cap. 6), ὡς παρήνεσαν ἄλλοι τε καὶ ὁ φίλος Κλαυέριος ἐν ταῖς εἰς τὴν Ἀμιότου μετάφρασιν σημειώσεσιν· Ἐωνημένος παλαιὰν οἰκίαν, βούλεται παροῦσι τοῖς πωληταῖς ἐρευνήσας διὰ τῶν ἀρχιτεκτόνων δεῖξαι τὰ ὕποπτα τῆς οἰκίας, πρὸ τοῦ καταβαλεῖν τὴν τιμήν.—στ. 30, Οὐ κατὰ τὴν τοῦ σώματος μαλακίαν καὶ θηλύτητα τῆς ψυχῆς διατεθρυμμένος.] Οὕτως ἅπαντες καὶ οἱ ἐκδόται καὶ οἱ μεταφρασταί·

μεταφρασαί· ἀλλὰ τρέπειν τὸ, Τῆς ψυχῆς εἰς τὸ, τῇ ψυχῇ, καὶ ὁ λόγος αἱρεῖ καὶ ὁ Τάκιτος ἀναγκάζει. Ὁ γὰρ νοῦς, Οὐχ ὥσπερ ἦν μαλακὸς καὶ ἐκτεθηλυμένος τῷ σώματι ὁ Ὄθων, οὕτως ἦν καὶ τῇ ψυχῇ διατεθρυμμένος, Non erat Othonis mollis et corpori similis animus (Tacit. Histor. lib I, cap. 22).

ΣΕΛΙΔ. 302, στ. 5, Φορειοφόρους.] Ἐξ ΕΔ. ΑΤ, Φορεαφόρους. Σημαίνει γὰρ τοὺς τὰ φορεῖα φέροντας.—στ. 18, Τοιαῦτα.] ΠΡΔ, ΑΤ, Τοσαῦτα.] Δυσπειθῶς καὶ ἀτενῶς ἔχοντας.] Ἐξ ΗΔ, ΑΤ, Δυσπειθῶς καὶ ἀγεννῶς ἔχοντας. Τὸ μὲν γὰρ Ἀγεννῶς οὐδὲν ἔχειν ὧδε σημαίνειν, καὶ οἱ ΠΡ συνῆκαν, καὶ οἱ μεταφρασαὶ ὡς ἀσήμαντον παρέλιπον· τὸ δὲ ἡμέτερον Ἀτενῶς συνώνυμον εἶναι τῷ Δυσπειθῶς, δηλοῖ καὶ ὁ Κωμικὸς (Ὄρν. 729), λέγων,

Πιθοῦ, πιθοῦ λόγοισι, μηδ' ἄφρων γένῃ,
Μηδ' ΑΤΕΝΗΣ ἄγαν ἀτεράμων τ' ἀνήρ.

—στ. 24, Παστάδι Βιψανίᾳ.] Ἐξ ΕΔ, ΑΤ, Παστάδι Βαψανίᾳ. Ἔστι δὲ, Στοὰ τῇ Βιψανίου, Missus et Celsus Marius ad electos Illyrici exercitus, Vipsanii in porticu tendentes (Tacit. Histor. lib. I, cap. 31) — στ. 26, Βουλευομένου.] Εἰς τὸ Βουλομένου, μηδὲν δέον, ἔτρεψαν οἱ ΠΡ. Τὸ Βουλευομένου γὰρ ἐξέφρασε καὶ Τάκιτος (Histor I, 32) διὰ τοῦ, Interim Galbam duo sententiæ distinebant.—στ. 30, Ἀττίκιος.] Γράφε, Ἀττικὸς, ἐκ τοῦ Τακίτου (Histor. I, 35).

ΣΕΛΙΔ. 303, στ. 8, Τροπαῖα]. Ἔπιθι τὰ ἀλλαχοῦ (Πλουτάρχ. Γ, σελ. 363] σημειωθέντα.—στ. 12, Κἀκεῖσε.] ΠΡΔ, ΑΤ, Κἀκεῖ.—στ. 17, Ἀτιλίου δὲ Βεργιλίωνος.] Ἐκ τοῦ Τακίτου (Histor. I, 41) διώρθωκα (δόξαν τοῦτο καὶ τοῖς ΠΡ), ΑΤ, Αἰτιλλίου δὲ Σερκέλλωνος.—στ. 22, Σεμπρώνιος Ἴνδιστρος.] ΔΓ... Ἴνδιστρος: Ἴνδιρσος. Σεμπρώνιος Δῆνσος, Sempronius Densus, ὀνομάζεται οὗτος τῷ Τακίτῳ (Histor. I, 43).—Στ. 24, Τὸ κλῆμα... ᾧ κολάζουσιν ἑκατοντάρχαι.] Οὐ μόνον ἑκατοντάρχαι, ἀλλὰ καὶ στρατηγοὶ κλῆμα φέρειν εἰώθεσαν, ἢ δῆλον ἐξ ὧν ὁ Πολύβιος (κθ', 11) φησὶ περὶ Ποπιλλίου τοῦ Ῥωμαίων στρατηγοῦ, «Ἔχων γὰρ προχείρως ἀμ» πελίνην βακτηρίαν, περιέγραψε τῷ κλήματι τὸν Ἀντίοχον· ἐν τούτῳ » τε τῷ γύρῳ τὴν ἀπόφασιν ἐκέλευσε δοῦναι κ. τ. λ. ».—Στ. 28, Τυφθείς.] Ἐκ ΔΓ, ΑΤ, Ὑφείς.—Στ. 30, Ἀποκλιθέντος.] ΔΓ, Ἀποκλινθέντος.

ΣΕΛΙΔ. 304, στ. 1, Κουρτίου καλούμενον λάκκον.] Τοῦτον Ῥωμαῖοι καὶ Gurtii lacum, Κουρτίου λίμνην καὶ Curtium lacum, Κουρτίαν λίμνην, καλοῦσιν· οἱ δ' ἡμέτεροι Λάκκον εἶπον τὴν Λίμνην, ὥσπερ ὁ Πλούταρχος ἐνθάδε, καὶ ὁ Ξενοκράτης ἐν τῷ Περὶ τῆς ἀπὸ ἐνύδρων τροφῆς (τμ. 43 καὶ 53 ἐμ. ἐκδ. Λουκρῖνον Λάκκον κἀκεῖνος ὀνομάσας τὴν Λουκρίνην λίμνην (Lucrinum lacum), οὐχ ὡς ταὐτὸ σημαινουσῶν τῶν λέξεων, ἀλλ' ὡς προδήλως τοῦ Ῥωμαϊκοῦ Lacus παρὰ τὸ Ἑλληνικὸν Λάκκος τὴν γένεσιν ἔχοντος.—στ. 5, Καμούριος... Τερέντιον, ΟΙ Δ' ἈΡΚΑΔΙΟΝ.] Ἴσως γραπτέον, ΟΙ ΔΕ ΛΕΚΑΝΙΟΝ. Οὕτως γὰρ παρὰ τῷ Τακίτῳ, quidam Terentium evocatum, alii Lecanium, crebrior fama tradidit Camurium quintæ decimæ legionis militem (Tacit Histor. lib. I, cap. 41.) —στ. 8, Ἀποκόψαντα] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἀποκρύψαντα.—στ. 18, Μούρκου.] Ἐξ ΕΔ (συναδούσης Τακίτῳ Histor. I, 43) ΑΤ, Μάρκου.—στ. 28, Εἴκοσι γὰρ καὶ ἑκατὸν κ. τ. λ.] Ἐπιθι τὸν Τάκιτον (Histor I, 44).

ΣΕΛΙΔ. 305, στ. 8, Γεγονότων.] Ἐκ ΔΓ, οἱ ΠΡ, ΑΤ, Γεγονότες. —στ. 14, Οὐερανία.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Οὐερανίου.—στ. 15, Καὶ Οὐϊτελλίου.] Διαγράφειν τινὲς τὰς λέξεις ταύτας παρῄνεσαν, ὅτι καὶ Συετώνιος καὶ Τάκιτος Πατροβίου μόνου μνημονεύουσιν ἐνθάδε. Ἴσως γραπτέον, Καὶ Ἡλείου· ὃν ὁ Πλούταρχος ἀνωτέρω (§ 17, σ. λ. 294) τῷ Πατροβίῳ συγκατέλεξεν, ἀπελευθέρων ὄντων ἀμφοῖν τοῦ Νέρωνος.—Ἐδωρήσαντο.] Ἐπώλησαν μὲν οὖν ἑκατὸν χρυσῶν, ὡς φησι Συετώνιος, Ab is Patrobii Neroniani libertus cen tum aureis redemtum, eo loco, ubi jussu Galbæ animadversum in patronum fuerat, abjecit (Sueton. Galb. cap. 20) —στ. 18, Σηστέρτιον.] Ἴδε τὰς εἰς τὸν Συετώνιον (Sueton. Galb. cap. 20, Tom. II, pag. 157) σημειώσεις τῶν κριτικῶν.—στ. 17, Θανατοῦσιν.] Θάπτουσι, γραπτέον εἶναι ὑπενόησέ τις τῶν ΠΡ, οὐκ ἀλόγως.—στ. 18, Πρίσκος Ἑλβίδιος.] Ἔστιν οὗτος (Priscus Helvidius), ὃν ὁ μετὰ Οὐϊτέλλιον ἄρξας Οὐεσπασιανὸς ἀνελεῖν ἠβουλήθη, ὥς φησιν ὁ Συετώνιος (Vespas. cap. 15). Ὅτι δὲ τὸ σῶμα τοῦ Γάλβα ἀνείλετο, οὔθ' οὗτος λέγει, οὔθ' ὁ Τάκιτος. —στ. 19, Ἔθαψε... Ἀργεῖος.] Εὑρὼν καὶ λαβὼν ἅμα καὶ τὴν κεφαλὴν ὁ πιστὸς οὗτος ἀπελεύθερος. Ἴδε Συετώνιον (Galb. cap. 20). — στ. 24, Ὥστε... ΚΑΘΕΛΩΝ Νέρωνα, ΤΩΝ συνεπιτιθεμένων τότε.] Οὐκ ἔῤῥωται τὸ χωρίον. Γραπτέον ἴσως καὶ στικτέον, Ὥστε...ΚΑΘΕΛΕΙΝ Νέρωνα. ΤΩΝ ΓΑΡ (ἢ ΤΩΝ

ΔΕ) συνεπιτιθεμένων τότε, ὥσπερ ἡρμήνευσαν καὶ οἱ μεταφρασταί. — στ. 26, Οἱ δ' αὐτοὶ ἑαυτοὺς ἠξίωσαν. ] Οὕτως ἔγραφα ΑΤ, Οἱ δ' ἑαυτοὺς ἠξίωσαν. Αἰνίττεται δὲ τὸν Νυμφίδιον, περὶ οὗ ἔπιθι τὰ ἀνωτέρω (§ 8, σελ. 286). Ἕτεροι δὲ παρῄνουν γράφειν, Οἱ δ' ἑαυτοὺς οὐκ ἠξίωσαν, ἤ, Οἱ δ' ἑαυτοὺς ἀπηξίωσαν, πρὸς τὸν Οὐεργίνιον (§ 6, σελ. 285) ἀναφέροντες. Ἴσ. γρ. Οἱ δ' αὐτὸν ἠξίωσαν, ἵν' ᾖ ὁ νοῦς, Τῶν συνεπιθεμένων οἱ μὲν ὑπ' οὐδενὸς ἐκρίθησαν ἄξιοι τῆς Ῥωμαϊκῆς ἡγεμονίας, οἱ δ' αὐτὸν τὸν Γάλβαν ἔκριναν ἄξιον.

ΣΕΛΙΔ. 306, στ. 3, Φαβρίκιος. ] Ἐξ ΕΔ, ΑΤ, Φαυρίκιος. — στ. 4, Ὑπερειπόμενος. ] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ὑπερειδόμενος.

## ΟΘΩΝ.

ΣΕΛΙΔ. 307, στ. 6, Αὐτοῦ. ] Οὐκ ἀπιθάνως τις παρῄνει τῶν ΠΡ τρέπειν εἰς τὸ Αὐτό, ἵν' ᾖ, Καὶ αὐτὸ τὸ ἔγκλημα πιστοῦσθαι τὸν τρόπον τοῦ ἐγκαλουμένου. — στ. 7, Ἐγκεκλῆσθαι. ] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἐκλελῆσθαι. — στ. 25, Αὐτάς τε. ] Ἐξ ΗΔ, ΑΤ, Αὐτοῦ τε. ΔΓ, Αὐτός τε. Ὁ νοῦς καὶ ἡ συνάρτησις τῆς μικρᾶς ταύτης περιόδου, Ἐλελήθει ὁ Τιγέλλινος κολαζόμενος αὐτῷ τῷ φόβῳ τῆς κολάσεως, καὶ νοσήμασιν ἀνηκέστοις· οἵ τε σωφρονοῦντες ἐσχάτην καὶ πολλῶν θανάτων ἀνταξίαν τιμωρίαν αὐτοῦ ἐλογίζοντο αὐτὰς αὐτοῦ τὰς ἀνοσίους ἐν γυναιξὶ πόρναις ἐγκυλινδήσεις, αἷς ἔτι προσέσπαιρεν ἐπιθραττομένη ἡ ἀκολασία αὐτοῦ δυσθανατοῦντος.

ΣΕΛΙΔ. 308, στ. 2, Ἀνταξίαν. ] Ἐξ ΕΔ, ΑΤ, Ἀντάξια. — στ. 7, Παρεῖναι. ] Ἐᾶσαι φυγεῖν. — Πεισθέντι. ] Ἐξ ΗΔ, ΑΤ, Πεισθέντα. — στ. 9, Λαβών. ] Ἢ προσθετέον, ἢ γοῦν ἐκ τοῦ προσεχοῦς, Ἀποξύρηται, προσυπακουστέον, Ξυρόν. — στ. 15, Κλαύδιος. ] Γραπτέον εἶναι ἐσημειώσαντο οἱ ΠΡ, ἐκ τοῦ Τακίτου, Κλούβιος, ἢ Κλυούϊος (Cluvius) — στ. 17, Θετόν. ] Ἐξ ΕΔ, ΑΤ, Θεῖον. Ἔπιθι τὰς εἰς τὸν Συετώνιον (Sueton. Oth. cap. 7, Tom II, pag. 151) σημειώσεις τῶν κριτικῶν. — στ. 22, Κολούειν. ] Ἐξ ΕΔ, ΑΤ, Κωλύειν. — στ. 25, Σπεῖραν ἐξ Ὠστίας ἄξοντα. ] Ἐξ ΕΔ, (συναδούσης Τακίτῳ) οἱ ΠΡ, ΑΤ, Σπεῖραν ὥς τινας ἄξοντα.

ΣΕΛΙΔ. 309, στ. 3, Διασκευασάμενοι. ] Ὁπλισάμενοι· ἐφ' ἧς ἐννοίας ἔταξε τὴν λέξιν καὶ ἀλλαχοῦ (Ἀριστεῖδ. § 14, Πλουτάρχ. Β, σελ. 254). — στ. 19, Ἀπέπεμψεν. ] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ὑπέπεμψε.

ψεν.—Στ. 23. Ὑποικουρεῖν.] Λάθρα μηχανᾶσθαι ὑποκρυπτόμενον· ἐφ' ἧς ἐννοίας καὶ ὁ Κωμικὸς (Θεσμοφορ. 1168) εἴρηκεν·

Ἃ νῦν ὑποικουρεῖτε, τοῖσιν ἀνδράσιν
Ἀπὸ τῆς στρατιᾶς παροῦσιν ὑμῶν διαβαλῶ.

Τὸ δὲ παρ' Ἡσυχίῳ, «Ὑποικουρεῖ, ἀντὶ τοῦ συνέστη· αἱ γεγ[ρ]αμμέναι» ἀπορίαν ἔχει, καὶ σκοπητέον μήποτε δεῖ τρέπειν εἰς τὸ, Ὑποικουρεῖ, συνέστηκεν, ἐγκάθηται· οἱ γὰρ μετὰ δόλου συνιστάμενοι κατά τινος, καὶ ἐγκαθήμενοι, τουτέστιν ἐνεδρεύοντες, οὐκ ἀπεικότως ἂν ὑποικουρεῖν λέγοιντο.—Στ. 30, Αὐτούς.] Ἐξ ΕΔ, ΑΤ, Αὐτοῦ.

ΣΕΛΙΔ. 310, στ. 2, Πτεροφόροι.] Ἡμεροδρόμοι· κατὰ μὲν τινας, (Casaub. In Sueton. Oct. Aug. cap. 27) ματαφορικῶς οὕτω κληθέντες, διὰ τὸ τάχος τοῦ δρόμου, ὥσπερ ἂν εἰ καὶ πτερωτοὶ ἦσαν· ὡς δ' ἕτεροι (Salmas. in Æl. Lamprid. pag. 235), κυρίως, ἀπὸ τοῦ πτερὰ φέρειν ἐπ' ἄκρων τῶν δοράτων τοὺς παρὰ Ῥωμαίοις γραμματοφόρους. Ἡσύχιος δὲ φησι, «Πτεροφόροι, τέλος τι » στρατιωτικὸν, ἢ ὡς (γρ. ἤγουν) διὰ τὴν ἐν τοῖς λόφοις πτέρω» σιν κ. τ. λ». —Στ. 8, Στρατιωτικὰ φρονεῖν.] Τρέπειν παρῄνεσαν τῶν ΠΡ, οἱ μὲν εἰς τὸ Στασιωτικὰ μὴ φρονεῖν ἢ Ἀσωτικὰ μὴ φρονεῖν, οἱ δὲ εἰς τὸ, Εἰρηνικὰ φρονεῖν, ἢ Μὴ στρατιωτικὰ φρονεῖν (ἰδ. καὶ τὰς εἰς τὸν Sueton. Oth. cap. 8, σημειώσ.). Οὐδεμία τῶν διορθώσεων τούτων ἀρέσκει μοι, καίπερ οὐδὲ τῆς φερομένης γραφῆς ἀρεστῆς οὔσης. Τοσοῦτον γὰρ ἀπέσχεν Ὄθων τοῦ ὑβριστικῶς ἐν ἀρχῇ ἐπιστεῖλαι τῷ Οὐϊτελλίῳ, ὥστε καὶ συνάρχοντα καὶ κηδεστὴν αὐτῷ ἑαυτὸν γενήσεσθαι δι' ἐπιστολῶν ἐπηγγείλατο, ὥς φησιν ὁ Συετώνιος, per internuntios ac litteras, consortem Imperii generumque se Vitellio obtulit (Suet. Oth. cap. 8).—Στ. 15, Καὶ τῶν πρόσθεν ἐπὶ πενίᾳ καὶ χρεῶν κ. τ. λ.] Τὸν πρῶτον, Καὶ, διαγράφειν παρῄνεσαν τις τῶν ΠΡ· ἡμῖν δ' ἔδοξεν ὁ δεύτερος μᾶλλον περιττός. Ὁ νοῦς καὶ ἡ συνάρτησις, Ἔργον εἰπεῖν ὁποτέρῳ τῶν δύο μετῆν μεῖον ἀσωτίας καὶ μαλακίας καὶ ἀπειρίας πολέμων, καὶ τῶν πρὸ τῆς αὐτοκρατορικῆς ἀρχῆς πολλῶν χρεῶν διὰ πενίαν.—Στ. 20, Ἐν μεσοποταμίᾳ νήσῳ.] Ἡ αὐτὴ ἔοικεν εἶναι ἣν ἀλλαχοῦ (Πλουτάρχ. Α, σελ. 184, Ποπλικ. § 8) Μέσην δυοῖν γεφυρῶν ὠνόμασε.—Στ. 24, Ἀνδριάντα .. μεταστραφέντα πρὸς τὰς ἀνατολάς.] Ἱστόρηκε τοῦτο καὶ ὁ Συετώνιος (Sueton. Vespas. cap. 5). Ἀλλὰ κἂν ἅπαντες ἁπλῶς οἱ συγγραφεῖς μαρτυρήσωσι περὶ τούτου, οὔτε πρὸς τὰς ἀνατολὰς οὔτε

πρὸς τὰς δύσεις ἀνδριάς ποτε μεταστραφήσεται, μηδενὸς μεταστρέφοντος. —στ. 29, Ἐν ᾧ τὸν ἐπὶ πράσει διαπωλοῦσι σῖτον.] Οὕτως γεγραφέναι Πλούταρχον οὐδ' αὐτὸς ἂν οὐδένα πείσειε Πλούταρχος. Διὸ καὶ τῶν ΠΡ τις παρῄνει (οὐδὲν μᾶλλον πιθανῶς) τρέπειν τὸ, Διαπωλοῦσι, εἰς τὸ Διεμπολῶσι. Γραπτέον οἶμαι, Ἐν ᾧ τὸν ἐπὶ πράσει διατηροῦσι σῖτον.

ΣΕΛΙΔ. 311, στ. 2, Καικίνας.] Ἐξ ΗΔ ὧδε τε καὶ ἐν τοῖς ἑξῆς δι' ὅλου τοῦδε τοῦ Βίου (ἐκ τοῦ Ῥωμ. Cæcina), ΑΤ, Κεκίνας. — Δολοβέλλας.] Ὀρθότερον ἀνωτέρω (Γάλβ. § 23, σελ. 299) εἴρηκεν ἢ ὁ Πλούταρχος, ἢ ὁ τὰ Πλουτάρχου ἀντιγράψας, Δολαβέλλας (ἐκ τοῦ Ῥωμ. Dolabella). Οὐδὲν ἧττον ὅμως διὰ τοῦ ο φέρεται ἡ δευτέρα καὶ παρὰ τῷ Ἀππιανῷ καὶ παρὰ τῷ Δίωνι καὶ παρ' ἑτέροις. Κατημέληται γὰρ ἡ ὀρθὴ γραφὴ τῶν ξενικῶν ὀνομάτων παρὰ τοῖς Ἕλλησιν· ἧς ἀμελείας παράδειγμα πρὸς πολλοῖς τοῖς ἄλλοις παρά τε Πλουτάρχῳ καὶ παρ' ἑτέροις ὁ Οὐεσπεσιανὸς ἀντὶ τοῦ Οὐεσπασιανὸς (Vespasianus). — στ. 14, Βριξίλλῳ.] Ἐξ ΗΔ. (ἐκ τοῦ Ῥωμ. Brixillum), ΑΤ, Βριξίλῳ. Ἡ δὲ μᾶλλον ἐν χρήσει γραφὴ παρὰ Ῥωμαίοις Brixellum (Βρίξελλον) ἐστί· ὀνομάζεται δὲ νῦν τῇ τῶν Ἰταλῶν φωνῇ, Bersello. — στ. 18, Ἐπὶ τῶν.] Ἐξ ΗΔ, ΑΤ, Ὑπὸ τῶν. — στ. 24, Ἐμπειρίᾳ γε.] Ἐξ ΕΔ, ΑΤ, Ἐμπειρίᾳ τε. — Τὸ κάμνειν.] Ἐξ ΗΔ, ΑΤ, Τοῦ κάμνειν. — στ. 27, Ὕβρει δὲ καὶ κόμπῳ ἐπαμπέχειν ἐβούλοντο, προσποιήσασθαι... ἀπαξιοῦντες.] Ἔχει τι ἡ φράσις ἀκατάλληλον. Διὸ καὶ τῶν ΠΡ τις τὸ μὲν Ἐπαμπέχειν, εἰς τὸ, Ἐπ' ἀμπεχόνῃ, τὸ δὲ, Προσποιήσασθαι, εἰς τὸ, Πρόσω ποιήσασθαι, εἴκασεν εἶναι τρεπτέον, οὐκ ἐπιτυχεῖ, ἔμοιγε δοκεῖν, εἰκασμῷ. Ἴσως ἐξεῤῥύηκέ τι τοῦ χωρίου. Ὁ νοῦς, Ἐβούλοντο περικαλύπτειν τὴν αὐτῶν μαλακίαν διὰ τῆς ὕβρεως καὶ τοῦ κόμπου, ἀπαξιοῦντες προσποιήσασθαι (τουτέστι, λέγοντες μὴ προσήκειν αὐτοῖς) τὰς λειτουργίας, ὡς οὖσι τῶν ἄλλων κρείττοσιν.

ΣΕΛΙΔ. 312, στ. 13, Ἀλλόκοτος σώματος μεγάλου.] Οὐκ ἔῤῥωται τὸ χωρίον, οὐδ' ἐξαρκεῖ τὸ προσυπακούειν τὴν, Ἕνεκα, πρόθεσιν, ἢ τὸ προστιθέναι τὴν, Ἐκ, ὡς εἴκασέ τις τῶν ΠΡ. Ἴσως ἐξεῤῥύη τι ἕτερον τοῦ χωρίου· ὅπως δέ ποτ' ἂν ἔχῃ, ὁ νοῦς ἐστι πρόδηλος, καὶ τοιοῦτος, οἷον ἐξέφρασε σαφέστερον ὁ Πολύαινος (Στρατηγημ. Η, ά, 1), περὶ Κίμβρων καὶ Τευτόνων τὸν λόγον ποιούμενος· « Ἀγρίων ἀνθρώπων, μεγάλων, τὰς ὄψεις ἀλλοκότων, θηριώδη τὴν » φωνὴν ἐχόντων». — στ. 24, Χειρίσιν.] Σάγοις χειριδωτοῖς,

des Sayes à manches ἐξέφρασεν ὁ Λ, οὐκ ἐν τῷ Πλουτάρχου χωρίῳ τῷδε εὑρών, ἀλλὰ τὰ Πλουτάρχου τοῖς τοῦ Τακίτου εἰς ἓν συνθείς, quod versicolore sagulo, bracas tegmen barbarum indutus, togatos adloqueretur (Tacit. Histor. lib. II, cap. 20). --- στ. 26, Λογάδην ἱππεῖς.] Κάλλιον καὶ συνηθέστερον ἂν εἶπε, Λογάδες ἱππεῖς.

ΣΕΛΙΔ. 313, στ. 12, Τοὺς ἱππεῖς.] Ἐξ ΗΔ (συνᾳδούσης τῷ Λ) ἡ προσθήκη τοῦ ἄρθρου.—στ. 16, Καὶ οὗτος μέν.] Ἐξ ΕΔ, ΑΤ, Καὶ τοὺς μέν.— στ. 21, Ἐπισπόμενοι.] Ἐξ ΕΔ, ΑΤ, Ἐπισπώμενοι.

ΣΕΛΙΔ. 314, στ. 6, Αὐτὸν βάλλειν.] Ἐξ ΕΔ (συνᾳδούσης τῷ Λ), ΑΤ, Αὐτοὺς βάλλειν.—στ. 8, Βητριακόν.] Διαπεφώνηται καὶ ἐν τοῖς τῶν Ῥωμαίων συγγράμμασιν ἡ γραφή· οἱ μὲν γὰρ Bedriacum, Βηδριακόν, οἱ δὲ Bebriacum, Βηβριακόν, ὀνομάζουσι τὴν πολίχνην τήνδε.—στ. 22, Πρὸς αὐτῶν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Πρὸς αὐτόν.

ΣΕΛΙΔ. 315, στ. 7, Τοὺς ... ἐκλογισμούς.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Τοῖς ... ἐκλογισμοῖς.—στ. 12, Ὡς εἰς ταὐτό.] Περιαιρετέον, οἶμαι, τὴν πρώτην λέξιν. — στ. 15, Καθίσαντας.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Καθιςάντας.—στ. 18, Τοῖς γνησίοις.] Ἐξ ΗΔ ἡ προσθήκη τοῦ ἄρθρου.—στ. 24, Τοὺς περὶ τὸν Κέλσον.] Τοὺς ςρατηγοὺς φησὶ Τάκιτος τοῦ Ὄθωνος, μάλιςα δὲ τὸν Παυλῖνον, Duces Othonianos spatium ac moras suasisse; præcipue Paullinum (Tacit. Histor. II, 37).—στ. 28, Βριξίλλον.] Ἐξ ΗΔ, ΑΤ, Βριξίλον. — στ. 24, Ἐμβαλεῖν.] ΠΡΔ, ΑΤ, Ἐμβάλλειν. — στ. 29, Τοῦτο.] Διαγραπτέον τὴν λέξιν ἔδοξε τοῖς ΠΡ, καὶ ἡμῖν συνδοκεῖ.

ΣΕΛΙΔ. 316, στ. 2, Σῶμα.] Ἴσως ἐγέγραπτο, Ὄμμα.—στ. 6, Πλοῖα.] Ἐξ ΕΔ (συνᾳδούσης τοῖς μεταφρασταῖς), ΑΤ, Ὅπλα.

ΣΕΛΙΔ. 317, στ. 12, Τοῖς μέν.] Ἐκ ΔΓ προσέθηκαν τὸν σύνδεσμον οἱ ΠΡ.—στ. 22, Μόνιμον.] Ἐξ ΗΔ, ΑΤ, Νόμιμον. Καὶ τὴν διόρθωσιν πιστοῦται μὲν καὶ τὰ ἀντικείμενα, Φύρδην καὶ κατὰ μέρη κ. τ. λ., πιστώσεται δὲ μᾶλλον ἃ παραθήσομαι ἐν αἷς μέλλω γράφειν Δευτέραις φροντίσιν.

ΣΕΛΙΔ. 318, στ. 2, Ἀλφῆνος.] Ἐξ ΗΔ, ΑΤ, Ἄλφηνος.—στ. 3, Βατάβους.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Βατάλους. — στ. 4, Τούτους.] ΠΡΔ, ΑΤ, Τούτοις.—Ὀλίγοι μὲν τῶν.] ΔΓ, Ὀλίγοι τῶν. — στ. 14, Συνειςελθεῖν.] Εἰς τὸ στρατόπεδον. Καὶ προέχειν ταύτην τῆς

ἑτέρας γραφῆς, Συνελθεῖν, συνῆκε μὲν καὶ ὁ τελευταῖος Πλουτάρχου ἐκδότης, Ὑττήνιος, ηὐλαβήθη δὲ εἰς τὸ κείμενον καταχωρίσαι. — στ. 18, Ἀγχωμάλου.] ΔΓ, Ἀγχωμάχου. « Ἀγχωμάλου, τῆς » ἴσης, τῆς ἐγγὺς τοῦ ὁμαλοῦ » φησὶ Φώτιος. — στ. 19, Κεκρατηκότας.] Ἐξ ΕΔ (συνᾳδούσης τοῖς μεταφρασταῖς) οἱ ΠΡ, ΑΤ, Κεκρατηκότες.

ΣΕΛΙΔ. 319, στ. 27, Μέστριος Φλῶρος.] Ῥωμ. Mestrius Florus. Τὸν Φλῶρον τοῦτον ζηλωτὴν ὄντα τοῦ καθαρῶς Ῥωμαΐζειν τὴν φωνήν, τό τε τὴν ἅμαξαν δηλοῦν ὄνομα, Plaustrum (Πλαῦστρον) τοὺς προφέροντας Plostrum (Πλῶστρον) ὡς βαρβαρίζοντας αἰτιώμενον, ὁ μετὰ τὸν Οὐϊτέλλιον μοναρχήσας Οὐεσπασιανὸς σκώπτων, Flaurum (Φλαῦρον) προσηγόρευσεν, ἀντὶ Florum (Φλῶρον), αἰνιττόμενος δηλονότι τὸ ἑλληνικὸν σημαινόμενον τοῦ Φλαῦρος ἐπιθέτου (Ἴδε Sueton. Vesp. cap. 22). — στ. 29, Νεών.] Τουτέστι, ναόν. ΠΡΔ, ΑΤ, Νέων· ὃ κακῶς οἱ μεταφρασταὶ ἐφ' ἡλικίας (παρὰ τὴν Νέος εὐθεῖαν) ἐκδεξάμενοι συνέχεαν τῶν λεγομένων τὸν νοῦν. — Στ. 30, Ὥστε τοὺς ἐπιπολῆς ἅπτεσθαι τῶν ἐναντίων.] Οὐκ ἔῤῥωται τὸ χωρίον. Τῶν ΠΡ τις ἐξηγήσατο Τοὺς ἐπιπολῆς, τοὺς ἐπὶ τοῦ τέγους τοῦ ναοῦ ἱσταμένους· ἄμεινον οἱ μεταφρασταὶ καὶ ἀληθέστερον, τοὺς ἐπιπολῆς νεκρούς, τοὺς ἀνωτάτω τοῦ σωροῦ νεκροὺς ἐξέλαβον, οὐδ' ἔστιν ἄλλως ἐκδέξασθαι. Ἀλλὰ τίνων ἐναντίων ἥπτοντο οἱ ἐπιπολῆς οὗτοι νεκροί; ὁ Α ἐξέφρασεν que ceulx qui estoient au dessus, arrivoient à la haulteur de ceulx qui en approchoient, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Ὥστε τοὺς ἐπιπολῆς ἅπτεσθαι τῶν πλησίον, ἤ, τῶν πλησιαζόντων· κατὰ δὲ τὸν Λατῖνον μεταφραστήν, οἱ ἐπιπολῆς τοῦ σωροῦ νεκροὶ ἥπτοντο τῶν ἐχθρῶν, δηλονότι τῶν φονευσάντων αὐτούς· κατὰ δὲ τὸν ἡγησάμενον τοὺς ἐπιπολῆς τοὺς αὐτοὺς εἶναι τοῖς ἐπὶ τοῦ τέγους ἱσταμένοις, οἱ ἐπὶ τοῦ τέγους οὗτοι ἥπτοντο τῶν ἐξ ἀμφοτέρων τῶν στρατευμάτων νεκρῶν, ὧν ὁ σωρὸς ἐξίσωτο τῷ τοῦ ναοῦ τέγει. Τούτων οὕτως ἐχόντων, ὥρα καὶ ἡμᾶς εἰκάσαι τι, τολμηρὸν μὲν ἴσως, οὐ μὴν τῶν παντάπασιν ἀτόπων. Καὶ πρῶτον μὲν τῶν πάνυ μοι πιθανῶν εἶναι δοκεῖ ὑπὸ τῇ λέξει, ἘΝΑΝΤΊΩΝ, τοιοῦτον λανθάνειν ὄνομα, οἷον μέρος τι δηλοῦν τοῦ ναοῦ· τοῦτο δ' ἂν εἴη αὐτὸς ὁ τοῦ ναοῦ ὄροφος (εἰ καὶ καθ' ὑπερβολὴν εἰρῆσθαι δοκεῖ τὸ μέχρις ὀρόφου τὸν σωρὸν ἐξικέσθαι). Ἴσως τοίνυν ὁ τῷ Πλουτάρχῳ διηγούμενος τὴν πληθὺν τῶν νεκρῶν εἴρηκεν, Ὥστε τοὺς ἐπιπολῆς ἅπτεσθαι τῶν ἈΕΤΩ͂Ν, ἢ ἈΙΕΤΩ͂Ν. Ὅτι δὲ αἱ τῶν ναῶν στέγαι Ἀετοὶ

ἐκαλοῦντο, ἐδηλώσαμεν ἐν ἄλλοις (Πλουτάρχ. Δ. σελ. 498), καὶ ἔςι πιςώσασθαι ἐκ πολλῶν τοῦ Παυσανίου μαρτυρίων ἑτέρων· οἷόν ἐςιν ὃ περὶ τοῦ Παρθενῶνος λέγει (Α, 24, § 5), « Ἐς δὲ τὸν ναὸν...ἐσιοῦσιν, » ὁπόσα ἐν τοῖς καλουμένοις ἀ ε τ ο ῖ ς κεῖται, ἐς τὴν Ἀθηνᾶς ἔχει » γένεσιν ». Καὶ ἴσως οὐκ ἐνθάδε μόνον, ἀλλὰ καὶ ἀλλαχοῦ τῶν Πλουταρχείων βίβλων συγκέχυται τὸ Ἀ ε τ ο ῖ ς τῷ Ἐ ν α ν τ ί ο ι ς. Ἐν γὰρ τῷ τέλει τοῦ τετάρτου τῶν Συμποσιακῶν (Πλουτάρχ. Τομ. Γ, σελ. 747 ἐκδ. Βυτεμβάχ.) ὅπου φέρεται, «Ὡς καὶ παρ' ἡμῖν ψόφοις χρῶνται περὶ » τα Νυκτέλια, καὶ χαλκοδρυτὰς τοῦ θεοῦ (ἴσ. γρ. καὶ χαλκοκρό- » τιδας τὰς τοῦ θεοῦ) τιθήνας προσαγορεύουσι, καὶ ὁ δεικνύμενος » ἐν τοῖς ἘΝΑΝΤΊΟΙΣ ΤΟΥ͂ ΜΕΤΕΏΡΟΥ θύρσος ἐντετυπωμένος καὶ » τύμπανα », παραπλησίας διορθώσεως ἔοικε χρήζειν τὰ τελευταῖα, τρεπόμενα εἰς τὸ ἈΕΤΟΙ͂Σ ΤΟΥ͂ ΜΕΓΆΡΟΥ. Δ ι ο ν ύ σ ο υ μ έ γ α ρ ο ν μνημονευόμενον εὑρήσεις παρὰ τῷ Παυσανίᾳ (Η, 6. § 2).

ΣΕΛΙΔ. 320, στ. 5. Ἐπὶ τοσοῦτον.] Προσυπάκουε τὸ, Ὕ ψ ο ς. Ἐξ ΗΔ, ΑΤ, Ἐ π ὶ τ ο ῦ τ ο· ἀνθ' οὗ οἱ ΠΡ, διορθοῦντες κἀκεῖνοι, ἔγραψαν, Ἐ π ὶ τ ο ύ τ ο υ, προσυπακούοντες τὸ Π ο λ έ μ ο υ. Ἕτεροι παρῄνουν γράφειν, Ἐ π ὶ τ α ὐ τ ὸ, προσυπακουομένου τοῦ, Χωρίου. —στ. 7, Ὥσπερ εἰώθε.] Ἐξ ΗΔ, ΑΤ, Ὥ σ π ε ρ ε ἰ ώ θ ε ι. Ἔςι δὲ τὸ, Ὥ π ε ρ ε ἴ ω θ ε (ἀπροσώπως), ὥσπερ φιλεῖ συμβαίνειν, ἢ γίγνεσθαι. Ἴδε τὸν Μαρκέλλου βίον (§ 23, Πλουτάρχ. Β, σελ. 225).—στ. 12, Οὐδ' ὤφθη.] ΠΡΔ, ΑΤ, Ο ὐ κ ὤ φ θ η.—στ. 14, Θύρας.] ΠΡΔ, ΑΤ, Θ ύ ρ α ι ς.—στ. 15, Προσελθόντες.] Ἐξ ΕΔ, ΑΤ, Π ρ ο σ ε λ θ ό ν τ ε ς. Οἱ δὲ μεταφρασαὶ ἡρμήνευσαν, Π ρ ο σ ε λ θ ό ν τ ο ς, τοῦ Ὄ θ ω ν ο ς δηλαδή.—Ἐγίνοντο προστρόπαιοι.] Ἐξ ΗΔ, ΑΤ (ἀδιανοήτου), Ἐ γ ί ν ο ν τ ο τ ρ ό π α ι α· ὃ τῶν ΠΡ ἄλλοι ἄλλως διορθοῦν, ἢ ἐξηγεῖσθαι, ἐπεβάλοντο οὐκ ἐπιτυχῶς, ἐμοὶ δοκεῖν. Περὶ δὲ τοῦ Π ρ ο ς ρ ό π α ι ο ι, ἔπιθι τὰ ἀλλαχοῦ, (Πλουτάρχ. Ε, σελ. 370) σημειωθέντα.—στ. 17, Μηδὲ προδοῦναι.] Ἐξ ΗΔ, ΑΤ, Μὴ π ρ ο δ ο ῦ ν α ι.—στ. 30, Οὐδὲ βεβαίαν, οὐδ' ἰσχυράν.] Γραπτέον, Οὐ β ε β α ί α ν, ο ὐ δ' ἰ σ χ υ ρ ά ν, ἢ, ο ὔ τ ε β ε β α ί α ν, ο ὔ τ' ἰ σ χ υ ρ ά ν.

ΣΕΛΙΔ. 321, στ. 1, Ἀπέχειν ἤδη καταβαίνουσαν ἐπὶ τὸν Ἀδρίαν. Ἀσία κ. τ. λ.] Ἐξ ΕΔ καὶ ἡ ςίξις καὶ ἡ γραφὴ, ΑΤ, Ἀ π έ χ ε ι ν ἤ δ η· κ α τ α β α ί ν ο υ σ ι ν ἐ π ὶ τ ὸ ν Ἀ δ ρ ί α ν Ἀ σ ί α.—στ. 9, Πολλάκις.] Ἄλλοι ἄλλως διορθῶσαι καὶ ἐξηγήσασθαι ἐπεβάλοντο τὸ παράσιτον τοῦτο Π ο λ λ ά κ ι ς, ὃ μήτε νοῆσαι, μήτε διορθῶσαι δυνάμενος, ἀςερίσκοις τέως διείληφα.—στ. 11, Ἐπιδούς.] ΔΓ, Ἐ π ι δ ι δ ο ύ ς.—

στ. 15, Τοῖς τε φίλοις.] ΠΡΔ, ΑΤ, Τοὺς τε φίλους.—στ. 17, ΤΟΙΣ ΔΕ ΑΠΙΟΥΣΙΝ ἐπέστελλε καὶ γράμματα πρὸς τὰς πόλεις.] Ἐξ ΗΔ, ΑΤ, Τοῖς δὲ μὴ παροῦσιν κ. τ. λ. Ὁ νοῦς ἐπέστελλε πρὸς τὰς πόλεις ἕνεκα τῶν ἀπιόντων, χαριζόμενος τοῖς ἀπιοῦσιν, ὅπως παρακομισθῶσι κ. τ. λ. — στ. 18, Προσαγαγόμενος.] Ἐξ ΗΔ, ΑΤ, Προσαγόμενος.—στ. 19, Κοκκήϊον.] Κοκκηϊανὸν (Cocceianum) τοῦτον ὁ Τάκιτος καὶ ὁ Συετώνιος καλοῦσι.— στ. 20, Οὐ καὶ μητέρα.] ΠΡΔ, ἡ τῆς ἀντωνυμίας προσθήκη.—στ. 21, Διεφύλαξε.] Ἐξ ΗΔ, ΑΤ, Διαφυλάξαι.—στ. 22, Διὰ τοῦτο . . . ἀναβαλέσθαι ΜΝΗΜΟΝΕΥΕΙΝ, ΟΤΙ ΚΑΙΣΑΡ ΑΘΕΤΕΙ ΤΗΝ ΕΙΣΠΟΙΗΣΙΝ, ὅπως συνάρχοι κ. τ. λ.] Εἰς τί χρήσιμα ὧδε τὰ κεφαλαίοις γράμμασι σεσημειωμένα, οὐκ εὐχερὲς συνιδεῖν· καὶ δίχα γὰρ τούτων καὶ ὁ νοῦς δῆλος, καὶ ἡ συνάρτησις κατάλληλος. Διὰ τοῦτο ἀναβαλέσθαι τὴν εἰσποίησιν τοῦ Κοκκηΐου τέως, ἕως αὐτὸς ἐγκρατὴς γένηται τῶν πραγμάτων, ὅπως συνάρχοι κρατοῦντι τῷ Ὄθωνι, μηδὲ συναπόλοιτο κρατηθέντι. Ἀλλ' εἰκὸς ἐξεῤῥυηκέναι τι ἕτερον τοῦ χωρίου, πρὸς ὅπερ ἦν συνάπτειν τὸ, Μνημονεύειν κ. τ. λ. — στ. 26, Μήτ' ἐπιλαθέσθαι παντάπασι, μήτ' ἄγαν μνημονεύειν, ὅτι Καίσαρα θεῖον ἔσχες.] Οὕτως ὁ Τάκιτος, neu patruum sibi Othonem fuisse, aut oblivisceretur unquam, aut nimium meminisset (Tacit. Histor. II, 48)- —στ. 28, Ἐπὶ θύραις.] ΠΡΔ, ΑΤ, Ἐπὶ θύρας.

ΣΕΛΙΔ. 322, στ. 2, Δεκτικὸς, οὐδὲ πρᾶος.] Ἄμεινον ἂν γράφοις, Δεκτικῶς, οὐδὲ πρᾴως.—στ. 6, Κατεμάνθανε τὸ σπάσμα.] Ἔπιθι τὰ ἀλλαχοῦ (Πλουτάρχ. Ε, σελ. 453) σημειωθέντα.—στ. 8, Προσεκαλεῖτο.] ΠΡΔ, ΑΤ, Προσεκαλεῖτο.—στ, 13, Βαθέως.] Ἐξ ΕΔ, ΑΤ, Βαρέως.—στ. 14, Τῶν κατ' αὐτόν.] Ἐξ ΗΔ, ΑΤ, Τῶν καθ' ἑαυτόν. Ὁ νοῦς, Οὐδεὶς τῶν αὐτοῦ στρατιωτῶν.

ΣΕΛΙΔ. 323, στ. 2, Ὑφέντες.] Ἐξ ΕΔ, ΑΤ, Ἀφέντες.—στ. 13, Βοιξίλλῳ.] Ἐξ ΗΔ, ΑΤ, Βριξιάλῳ.— στ 14, Δηλώσει Μάρκου Ὄθωνος.] Εἰς δήλωσιν ἢ μνήμην τοῦ Μάρκου Ὄθωνος, ὡς ἐξηγήσαντο οἱ ΠΡ.— στ. 27, Πρὸς Γερμανούς.] ΔΓ, Πρὸς τοὺς Γερμανούς.

# ΔΕΥΤΕΡΑΙ ΦΡΟΝΤΙΔΕΣ

ΕΙΣ ΤΟΥΣ ΠΑΡΑΛΛΗΛΟΥΣ

# ΠΛΟΥΤΑΡΧΟΥ

ΒΙΟΥΣ.

## ΜΕΡΟΣ ΠΡΩΤΟΝ.

ΣΕΛΙΔΙ 2, στ. 18, Μετὰ τοῦ δυνατοῦ τὸ συνετὸν ἔχοντες.] Περὶ Θησέως τὸν λόγον ποιούμενος ὁ Πλούταρχος, τοῖς αὐτοῖς ἐχρήσατο Θουκυδίδου ῥήμασι τοῖς περὶ τοῦ Θησέως, μικρὸν παραλλάξας· «Ἐπει-» δὴ δὲ Θησεὺς ἐβασίλευσε, γενόμενος μετὰ τοῦ ξυνετοῦ καὶ » δυνατὸς, τά τε ἄλλα διεκόσμησε τὴν χώραν κ. τ. λ. (Θου-» κυδ. β', 15)».

ΣΕΛΙΔ. 22, στ. 19, Γῆς τῆς Ὀλυμπίας.] Ὀλυμπίαν εἰκὸς τὴν Γῆν ἐπωνομάσθαι, διὰ τὸ τὴν Δήμητρα, τὴν αὐτὴν οὖσαν τῇ Γῇ, ἀδελφὴν νενομίσθαι τοῦ Διὸς, Ὀλυμπίου καὶ αὐτοῦ προσαγορευομένου, καὶ Μητέρα Μακάρων, θνητῶν τ' ἀνθρώπων (Ὀρφ. ὕμν. 25) καλεῖσθαι, ὥσπερ καὶ τὸν Δία, Πατέρα ἀνδρῶν τε θεῶν τε (Ἰλιάδ. α', 544). Διὸ καὶ ἐν τοῖς πρώτοις θεοῖς τὴν Γῆν καὶ τὸν Δία καταλέγει Οὐάῤῥων· Duo hi parentes magni dicuntur: Juppiter, pater appellatur; Tellus, terra mater (Varr. de re rust. lib. I, cap. 1). Ἑτέρωθι δὲ Πλούταρχος (Περὶ τοῦ ἐμφαιν. προσώπ. τῷ κύκλ. τῆς σελήν. § 21, καὶ περὶ τῶν ἐκλελοιπ. χρηστηρ. § 13), τὴν Σελήνην, Γῆν Ὀλυμπίαν καλεῖσθαί φησι.

ΣΕΛΙΔ. 51, στ. 21, Δεινὸν ἰδεῖν θέαμα καὶ λόγου κρείττων ὄψις.] Πιστοῦται πως τὴν ἡμετέραν τοῦ Εὐριπιδείου ΔΕΡΓΜΑΤΩΝ εἰς τὸ ΛΕΓΜΑΤΩΝ τροπὴν (σελ. 372) καὶ ὁ Ἡσύχιος, παρ' ᾧ φέρεται τὸ μήπω καταχωρισθὲν ἐν τοῖς Λεξικοῖς, «Λέγμα, τὸ εἰπεῖν».

ΣΕΛΙΔ. 57, στ. 29, Ἐνέδρας... θέμενον αὐτοῖς.] Πάνθ' ὅσα ἐσημειωσάμην (Μέρ. Α, σελ. 375) ἀπὸ τοῦ, Ὤφειλε, μέχρι τοῦ, ΠΕΠΟΙΗΚΥΙΑΙ, διάγραφε, ὡς οὐκ ἀκριβῶς εἰρημένα μοι.

ΣΕΛΙΔ. 80, στ. 23, Ὡς φησὶ Κριτίας.] Ὁ γράψας Περὶ τῆς Λακεδαιμονίων πολιτείας, οὗ καὶ τὴν ῥῆσιν ἐκ τοῦ Ἀθηναίου (ιά, σελ. 483) παραθέσθαι, οὐκ ἀλλότριον ἂν εἴη τοῦ προκειμένου· « Κώθων Λακωνικὸς, ἔκπωμα ἐπιτηδειότατον εἰς στρατείαν, καὶ εὐ-» φορώτατον ἐν γυλίῳ. Οὗ δὲ ἕνεκα ΣΤΡΑΤΙΩΤΙΚΟΝ πολλάκις ἀνάγκη » ὕδωρ πίνειν οὐ καθαρὸν, πρῶτον μὲν οὖν ΤΟ μὴ λίαν κατάδηλον » εἶναι τὸ πόμα, εἶτα ἄμβωνας ὁ κώθων ἔχων ὑπολείπει τὸ οὐ κα-» θαρὸν ἐν αὐτῷ ». Ἀσυνάρτητα ταῦτα, καὶ τῇ γραφῇ ἡμαρτημένα εἶναι καὶ ὁ Κασωβὼν καὶ ὁ τελευταῖος τοῦ Ἀθηναίου ἐκδότης (Σημ. εἰς τὸν Ἀθήν. Τόμ. ϛ', σελ. 180-185) ἀπεφήναντο, ἑκάτερος τὰ δοκοῦντα εἰς διόρθωσιν συμβαλλόμενοι. Ἐφείσθω δὲ καὶ ἡμῖν μετ' ἐκείνους τὸ παριστάμενον περὶ τῆς γραφῆς καὶ στίξεως τοῦ χωρίου, οὕτως ἔχον προθέσθαι... « Οὗ δὲ ἕνεκα· ΣΤΡΑΤΙΩΤΙΚΩ (Ἴσ. ΣΤΡΑΤΙΩΤΗ) » πολλάκις ἀνάγκη ὕδωρ πίνειν οὐ καθαρὸν· πρῶτον μὲν οὖν ΤΟΥ μὴ » λίαν κατάδηλον κ. τ. λ. » Ὁ νοῦς, Οὗ δὲ ἕνεκα ἐπιτηδειότατον εἰς στρατείαν εἴρηκα τὸν Λακωνικὸν κώθωνα, τοῦτό ἐστι· στρατιωτικῷ (τουτέστι στρατιώτῃ) πολλάκις ἀνάγκη ὕδωρ πίνειν οὐ καθαρόν· πρῶτον μὲν οὖν ἐπιτετήδευται καὶ κατεσκεύασται τοιοῦτον τὸ ἔκπωμα ἕνεκα τοῦ μὴ κατάδηλον εἶναι λίαν τὸ πόμα κ. τ. λ. Καὶ τοῦτο μὲν οὕτως ὑπείληφα διορθωτέον εἶναι τὸ χωρίον· οὗ δὲ ἑξῆς ἐκ τοῦ κωμικοῦ Θεοπόμπου ἐπιφέρει ὁ Ἀθήναιος μαρτυρίου,

Ἐγὼ ΓΑΡ κώθωνος ἐκ στρεψαύχενος
Πιοίμαν, τὸν τράχηλον ἀνακεκλασμένη!

τὸν μὲν τελευταῖον στίχον καλῶς παραινεῖ ὁ σοφὸς ἐκδότης τοῦ Ἀθηναίου διορθοῦν τρέποντας τὸ Πιοίμαν εἰς τὸ Πίοιμι· λείπεται δ' ὁ πρῶτος, ὃν εὐχερῶς εἰς τὸ ὀρθὸν ἐπανάξεις γράφων·

Ἐγὼ ΓΑΡ ΑΝ κώθωνος ἐκ στρεψαύχενος.

ΣΕΛΙΔ. 102, στ. 2, Τοῖς ἀγροῖς ἐπιπορευόμενοι.] Τὸ παρ' ἅπασι τοῖς ΠΡ καταλειφθὲν σόλοικον τοῦτο, διώρθου τρέπων εἰς τὸ, Τοὺς ἀγροὺς ἐπιπορευόμενοι, ὥσπερ ἐσημειωσάμην καὶ ἀλλαχοῦ (Πλουτάρχ. Β, σελ. 415).

ΣΕΛΙΔ. 120, στ. 9, Καλεῖται δὲ χῶμα διαλέκτῳ τῇ Λατίνων.] Οὐδὲν ἐξέῤῥυη τοῦ χωρίου· ἀλλ' ἔστιν ἀμελῶς ἐκπεφρασμένον, οἵοις οὐκ ὀλίγοις τοιούτοις ἐντυχεῖν ἐστι παρὰ τῷ Πλουτάρχῳ. Ταὐτὸ γὰρ δύναται ὥσπερ ἂν εἰ ἔλεγε, Καλεῖται δὲ Λατινικῷ ὀνόματι

δηλοῦντι τὸ παρὰ τοῖς Ἕλλησι χῶμα· καὶ ἔστι παραπλήσιον ὧ λέγει ἐν τῷ Ποπλικόλα βίῳ (§ 8, Μέρος Α, σελ. 484), « Καλεῖται » δὲ τῇ Λατίνων φωνῇ, Μέση δυοῖν γεφυρῶν » τουτέστιν, ὀνόματι Λατινικῷ, σημαίνοντι, Μέση δυοῖν γεφυρῶν. Οἷς δ' ἐσημειωσάμην (Μέρ. Α, σελ. 399) περὶ τοῦ, Ἄγερ (Agger), προστίθει ὅτι καὶ Τέῤῥα ἀγγέστα (Terra aggesta) τουτέστι γῆ συμπεφορημένη καὶ σεσωρευμένη ἐκαλεῖτο τοῖς Ῥωμαίοις τὸ χῶμα. Τούτου τὸ τελευταῖον ἐπίθετον aggesta εἰς οὐσιαστικὸν μεταποιήσαντες οἱ Βυζαντινοὶ συγγραφεῖς, Ἀγέσταν ὠνόμαζον. « Ἄγεστα (γρ. 'Αγέστα) πολε» μικὸν μηχάνημα ἐκ λίθων καὶ ξύλων καὶ χοῦ ἐγειρόμενον » φησὶν ὁ Σουΐδας. Λέγει δὲ καὶ ὁ Εὐάγριος (παρὰ τῷ Δουκαγγίῳ λέξ. Ἄγεστα) « 'Αντικρὺ τοῦ χώματος, ὅπερ 'Αγέστα πρὸς Ῥωμαίων κέκληται ».

ΣΕΛΙΔ. 122, στ. 1, Εἰρήνην Ἕλληνες καλοῦσιν ὅταν λόγῳ κ. τ. λ.] Τοῖς σημειωθεῖσι (Μέρ. Α, σελ. 400) προστιθέναι ἔχεις καὶ τὰ ἐκ τοῦ Κορνούτου (Περὶ τῆς τῶν θεῶν φύσ. κεφ. 29) τάδε· « Ἡ δὲ εἰρήνη, ἀπὸ » τοῦ διὰ λόγου, καὶ οὐ δι᾿ ὅπλων, διακρίνεσθαι ποιεῖν· ἐκάλουν γὰρ » τὸν λόγον ΕἸΡΗΝΗΝ », ὅπου γραπτέον ... Ἐκάλουν γὰρ τὸν λόγον ΕἼΡΗΝ, καὶ καταχωριστέον (μήπω καταχωρισθὲν ἐπὶ ταύτης τῆς σημασίας) ἐν τοῖς Λεξικοῖς τὸ θηλυκὸν Εἴρη, τὸ σημαῖνον τὸν λόγον· ἐπεὶ καὶ παρ' Ὁμήρῳ ἡ Εἴρη ἐπὶ τῆς ἐκκλησίας τέτακται (Ἰλιάδ. Σ, 531),

Εἰράων προπάροιθε καθήμενοι· ————————

ὅπερ ἐξηγούμενος Ἡσύχιός φησιν, « Εἰράων, ἐκκλησιῶν, παρὰ τὸ » Εἴρην ἐν αὐταῖς καὶ λέγειν ». Λέγει δὲ ὁ αὐτὸς Λεξικογράφος καὶ, « Εἰρητὴς, ΑἼΤΙΟΣ », ὃ τρεπτέον εἶναι εἰς τὸ, ΛΌΓΙΟΣ, δηλοῖ καὶ τὸ παρὰ τῷ αὐτῷ συνώνυμον, « Ἐπητὴς... λόγιος κ. τ. λ. » Εἰ δέ τις ἐπισταμένως ἐπίοι τὰ περὶ τῶν παρὰ Λακεδαιμονίοις Εἰρένων εἰρημένα τῷ Πλουτάρχῳ (Μέρ. Α, σελ. 90-92), εἰκότως ἂν ὑπολάβοι, ὅτι καὶ ὁ Εἴρην τοιαύτης ἔτυχε τῆς προσηγορίας, διὰ τὸ λόγῳ καὶ φρονήσει διαφέρειν τῶν παίδων, ἢ καὶ διὰ τὸ ἐρωτᾶν τοὺς παῖδας· (ἴδ. ἀνωτέρ. σελ. 91, § 18)· δύναται γὰρ καὶ τοῦτο ἡ λέξις. « Εἴρη, » ἐρώτησις κ. τ. λ. » φησὶν Ἡσύχιος, καὶ, « Εἴροντες, λέγοντες, » ΣΠΕΙΡΟΝΤΕΣ » ὃ μεθαρμοστέον εἰς τὸ ΣΥΝΕΙΡΟΝΤΕΣ. Πολλάκις γὰρ τὰ ἁπλᾶ διὰ τῶν συνθέτων ἑρμηνεύει, οἷόν ἐστι τὸ « Ἅπτει, » συνάπτει » καὶ ἕτερα οὐκ ὀλίγα.

ΣΕΛΙΔ. 125, στ. 14, 'Απέστραπται τὰς ἀνατολάς.] Τοῦτό τε καὶ

τὰ ἐχόμενα τούτου οὕτως ἐξεδέξαντο καὶ οἱ μεταφρασαὶ καὶ οἱ ὑπομνηματισαὶ, ὥσπερ ἡρμήνευσα (Μέρος Α, σελ. 401) κἀγὼ, τουτέςι, τῶν ἱερῶν τὴν πύλην πρὸς ἀνατολὰς βλέπειν, ὥςτ' ἐπάναγκες τὸν εἰσιόντα, τὰς μὲν ἀνατολὰς ὄπισθεν ἔχειν, ἐπὶ δὲ δυσμὰς βλέπειν. Ἀπόχρη μόνην Ἀμιότου τὴν μετάφρασιν παραθέσθαι, ἐπεὶ πασῶν ὁ αὐτός ἐςι νοῦς· Mais il me sembleroit plus tost que ce seroit, pour ce qu' estans les temples tournez vers le soleil levant, l' adorateur en y entrant monstre le dos à l' orient, à ceste cause se tourne vers celle part, et puis se retourne devers le dieu, faisant le tour entier, et parachevant la consommation de sa prière par ceste double adoration qu' il fait devant et derrière. Ἀλλὰ νῦν ἐπέχω περὶ τῆς τοιαύτης ἑρμηνείας, ὡς ὑπεναντιουμένης ἔθει ἀρχαίῳ τῆς τῶν ἱερῶν κατασκευῆς· πρὸς ἕω γὰρ αὐτῶν βλεπόντων, ἡ εἴσοδος πρὸς δύσιν ἀνέῳκτο, καὶ ὁ Θεὸς αὐτὸς πρὸς τὴν εἴσοδον, καὶ ἑπομένως πρὸς δύσιν, ἐςραμμένον εἶχε τὸ πρόσωπον, ὥσπερ πρὸς ἀνατολὰς τὰ νῶτα, ὥστε τοὺς προσιόντας εἰς προσκύνησιν, καὶ τοῦ Θεοῦ τὸ πρόσωπον ὁρῶντας, πρὸς ἀνατολὰς ἔχειν τὸ πρόσωπον, καὶ πρὸς δύσιν τὰ νῶτα, ἵνα, ὥς φησιν ὁ Οὐϊτρούϊος (IV, 5), τὰ ἀγάλματα τοῦ ἀνατέλλειν καὶ αὐτὰ ἐξ ἕω, καθὰ καὶ ὁ ἥλιος, καὶ θεωρεῖν τοὺς εὐχομένους καὶ θύοντας ἔμφασιν παρέχωσιν. Μήποτε οὖν, μικρὸν μεταποιήσαντας τὴν σημειωθεῖσαν ΔΓ, Ἀπέστραπται πρὸς τὰς ἀνατολὰς, οὕτω δεῖ γράφειν ὅλον τὸ χωρίον· « Δόξειε δ' ἂν μᾶλλον ὁ προσκυνῶν, ἐπεὶ πρὸς ἕω τῶν ἱερῶν βλεπόντων, » ΕΠΕΣΤΡΑΠΤΑΙ πρὸς τὰς ἀνατολὰς, μεταβάλλειν ἑαυτὸν ἐνταῦθα καὶ περιστρέφειν (ἴσ. γρ. ἐπιστρέφειν) ἐπὶ τὸν Θεὸν, » κύκλον ποιῶν κ. τ. λ. ». Ὧν ὁ νοῦς ἂν εἴη, Ἐπειδὴ, διὰ τὸ βλέπειν τὰ ἱερὰ πρὸς ἕω, ὁ προσκυνῶν ἐπάναγκες πρὸς ἀνατολὰς ἐπέστραπται, τουτέστι πρὸς ἕω καὶ αὐτὸς βλέπει, δόξειεν ἂν διὰ τῆς μετὰ τὴν προσκύνησιν περιστροφῆς μεταβάλλειν ἑαυτὸν αὖθις ἐνταῦθα, τουτέστι πρὸς ἀνατολὰς, καὶ ἐπιστρέφειν ἐπὶ δευτέραν προσκύνησιν τοῦ Θεοῦ, κυκλικῶς περιάγων τὸ σῶμα, καὶ τελειῶν τὴν εὐχὴν δι' ἀμφοῖν, τουτέστι διά τε τῆς πρώτης καὶ τῆς δευτέρας προσκυνήσεως. Περὶ δὲ τῆς τοιαύτης περιστροφῆς ἔπιθι καὶ τὰς εἰς τὸν Συετώνιον σημειώσεις τῶν κριτικῶν (Sueton. Vitell. cap. 2). — στ. 17, Εἰ μὴ νὴ Δία, τοῖς Αἰγυπτίοις τροχοῖς ... παραπλήσιον.] Τροχοὺς γὰρ ἢ ῥόμβους περιδινεῖν ἐν τοῖς ἱεροῖς εἰώθεσαν οἱ Αἰγύπτιοι, παρ' ὧν καὶ τοὺς Ἕλληνας παραλαβεῖν φησὶ Κλήμης ὁ Ἀλεξανδρεὺς (Στρωματ. Ε,

σελ. 568), « Ἐσήμαινον γοῦν οὐ διὰ λέξεως μόνον, ἀλλὰ καὶ διὰ συμ-
» βόλων . . . ὡς ὅτε τροχὸς ὁ στρεφόμενος ἐν τοῖς τῶν Θεῶν τεμένεσιν,
» εἱλκυσμένος παρὰ Αἰγυπτίων, κ. τ. λ » Καὶ ἀλλαχοῦ δὲ (Προτρεπτ. σελ. 12), περὶ τῆς Διονυσιακῆς τελετῆς τὸν λόγον ποιούμενος, λέγει,
« Καὶ τῆσδε ὑμῖν τῆς τελετῆς τὰ ἀχρεῖα σύμβολα . . . ἀστράγαλος,
» σφαῖρα, στρόβιλος, μῆλα, ῥόμβος, ἔσοπτρον, πόκος ».

ΣΕΛΙΔ. 132, στ. 17, Βασιλείας.] Ἴσως ἀποδεκτέον τὴν ἑτέραν γραφὴν ἢ διόρθωσιν, ἣν ἐπελαθόμην σημειῶσασθαι (Μέρ. Α, σελ. 404), Πολιτείας.

ΣΕΛΙΔ. 150, στ. 21, Κόλπος Ἀσώπιος.] Ἀνυποβλητέον ταύτῃ τῇ γραφῇ τὴν σημειωθεῖσαν (Μέρ. Α, σελ. 412), Κόλπος γε Ἀσώπιος. Τίνα δὲ λέγει Κόλπον Ἀσώπιον δυσχερές ἐστιν εἰδέναι· ἔστι γὰρ Ἀσωπὸς ποταμὸς τῆς Βοιωτίας, καὶ ἕτερος τῆς ἐν Πελοποννήσῳ Σικυωνίας· ἀλλ' οὐδέτερος τούτων ἐμβάλλει εἰς τὴν πρὸς Σαλαμῖνι θάλασσαν, ὥστε Κόλπον ὀνομάζεσθαι.

ΣΕΛΙΔ. 151, στ. 10, Ἐξαλλόμενος.] Γράφε ἐξ ΗΔ, Ἐξαλόμενος.

ΣΕΛΙΔ. 153, στ. 12, Οὕτω δὲ.] Γράφε, Οὕτω δή.

ΣΕΛΙΔ. 154, στ. 17, Ἐκτημόριοι.] Γράφε, Ἐκτήμοροι, ὡς φέρεται παρ' Ἡσυχίῳ (λέξ. Ἐκτήμοροι, καὶ Ἐπίμορτος). Εἰσὶ δὲ οἱ ἕκτῳ μέρει τὴν γῆν γεωργοῦντες, οἱ τὸ ἕκτον τῶν καρπῶν τελοῦντες.

ΣΕΛΙΔ. 157, στ. 13, Ὅρους ἀνεῖλε πολλαχῇ πεπηγότας.] Τὰς ἐπὶ χρέεσι στήλας τῶν χωρίων ἀνέσπασε. « Ἄστικτον οἱ Ἀττικοὶ ἐκάλουν
» τὸ ἐλεύθερον χωρίον, καὶ μὴ ὑποκείμενον χρήστῃ. Εἴρηται δὲ,
» ὅτι τοῖς ὑποκειμένοις χρέεσι χωρίοις εἰώθασιν ἐγκαταπηγνύειν
» στήλην, ἣν ἐκάλουν ὍΡΟΝ· ἐν ᾗ ἐκεχάρακτο τὸ χρέος καὶ ὁ χρήστης,
» ἵνα μὴ πλανηθεὶς ἕτερος ὡς ἐπὶ καθαρῷ αὐτῷ δανείσῃ ». (Ἐτυμολογικ. σελ. 159. ἴδ. καὶ σελ. 632 λέξ. Ὅρος, καὶ τὸν Ἁρποκρατίων' ἐν ταῖς αὐτ. λέξ.)

ΣΕΛΙΔ. 168, στ. 16, Φιλοκύπρου.] Κυπράνορα τοῦτον ὀνομάζει ὁ γράψας τὸν Ἀράτου βίον. Ἴδε τὴν τελευταίαν ἔκδοσιν τῶν Ἀράτου φαινομένων (Μέρ. Β, σελ. 430).

ΣΕΛΙΔ. 169, στ. 1, Τὴν πόλιν εὖ ναίοις.] Γράφε, Τὴν δὲ πόλιν ναίοις, κατὰ φέρεται παρὰ τῇ τὸν Ἀράτου βίον γράψαντι (Μέρ. Β, σελ. 430), οὗ φθὰς ἐμνήσθην.

ΣΕΛΙΔ. 175, στ. 18, Πρόθυρα μὲν . . . ΤΗ ἈΡΧΗ περιέθηκεν.] Οὐκ ἀπήλλακται τὸ χωρίον ὑποψίας. Ἴσως γραπτέον ΤΗ ΓΡΑΦΗ.

ΣΕΛΙΔ. 181, στ. 21, Οὐαλέριε.] Ὤφειλον τῆς ΔΓ (Μέρ. Α, σελ. 427)

τὸ, Τιβέριε, προελέσθαι τοῦ, Οὐαλέριε· τοῦτο γὰρ ἦν ὄνομα θατέρῳ τῶν υἱῶν Βρούτου, ἢ δῆλον ἐκ τοῦ Τίτου Λιβίου, Vitelliorum soror consuli nupta Bruto erat: jamque ex eo matrimonio adolescentis erant liberi Titus Tiberiusque (Tit. Liv. lib. II, cap. 4).

ΣΕΛΙΔ. 191, στ. 16, Βασιλικήν.] Τοῖς σημειωθεῖσι (σελ. 430) προστίθει, ὅτι καὶ τοὔνομα, Βασιλική, Basilica, Ῥωμαῖοι ἐκ τῆς Ἀθήνησι καλουμένης, Βασιλείου στοᾶς, παρέλαβον· καὶ αἱ ἐν Ῥώμῃ γὰρ Βασιλικαὶ παρὰ τὴν ἀγορὰν ᾠκοδόμηντο, ὥσπερ καὶ ἡ τῶν Ἀθηναίων Βασίλειος στοὰ τῆς ἀγορᾶς ἔκειτο πλησίον. Ἴδε τὸν Σνεϊδέρον ἐν ταῖς εἰς τὸν Οὐϊτρούϊον σημειώσεσι (Vitruv. lib. V, cap. I, § 4. — στ. 18. Ἔχεις νόσον] Ἐχρήσατο καὶ Εὐριπίδης τῇ μεταφορᾷ, ὡς διδάσκει ἡμᾶς ὁ Φώτιος. « Νόσον ἔχειν, ἀντὶ τοῦ φαῦ» λον ἔθος ἔχειν· Εὐριπίδης Ἀντιόπῃ ».

ΣΕΛΙΔ. 196, στ. 8, Κλεισίον.] Ἐπιθι τὰ πλατύτερον περὶ τοῦ Κλεισίου εἰρημένα τῷ Σνεϊδέρῳ ἐν ταῖς εἰς τὸν Οὐϊτρούϊον σημειώσεσι (Vitruv. lib. VI, cap. 7, § 1.)

ΣΕΛΙΔ. 206, στ. 26, Ἐξανισταμένη.] Νῦν πέπεισμαι γραπτέον εἶναι, ὥσπερ εἴκαζον (Μέρ. Α, σελ. 436), Ἐξισταμένη.

ΣΕΛΙΔ. 224, στ. 30, Ἀργυρίοισι σκυβαλικοῖσι.] Η ΔΓ (Μέρ. Α, σελ. 442), Ἀργυρίοισι βαλικοῖσι, ὑπονοεῖν παρέχει μή ποτε ἐγέγραπτο Ἀργυρίοισι βασιλικοῖσι. Δηλοῖ δὲ καὶ τὰ ἑπόμενα, ὅτι σκοπὸς ἦν τῷ Τιμοκρέοντι κατηγορῆσαι, ἢ μᾶλλον καταψεύσασθαι, Θεμιστοκλέους, ὡς δῶρα παρὰ τοῦ Περσῶν βασιλέως λαβόντος ἐπὶ τῷ προδοῦναι τὴν Ἑλλάδα. Ἦν γὰρ ὁ Τιμοκρέων οὗτος οὐ τῶν μῖξαι σπουδαζόντων

Τοὺς Ἕλληνας πάλιν ἐξ ἀρχῆς
Φιλίας χυλῷ, καὶ ξυγγνώμῃ
Τινὶ προτέρᾳ, ———

ἀλλὰ τῶν αὐξῆσαι τὰς κατ' ἀλλήλων ὑπονοίας ἔργον πεποιημένων· ὡς παρέχει συλλογίσασθαι καὶ τὸ ἐπὶ τοῦ τάφου αὐτοῦ ἐπίγραμμα (παρ' Ἀθην. ι, σελ. 415),

Πολλὰ πιὼν, καὶ πολλὰ φαγὼν, καὶ πολλὰ κάκ' εἰπὼν
Ἀνθρώπους, κεῖμαι Τιμοκρέων Ῥόδιος.

ΣΕΛΙΔ. 232, στ. 9, Κίθαριν.] Γράφε, Κίδαριν, ὥσπερ ἐδήλωσα ἀλλαχοῦ (Πλουτάρχ. Β, σελ. 443). — στ. 11, Κίθαρις.] Τρέπε καὶ τοῦτο εἰς τὸ, Κίδαρις. Διττὴ γὰρ μόνη φέρεται γραφὴ τοῦ ὀνόματος, ὡς φησιν Ἡσύχιος· « Κίδαρις, πῖλος βασιλικὸς, ὃν καὶ Τιάραν· ἔνιοι

» δὲ, Κίταριν, διὰ τοῦ τ, κ.τ.λ.». Ἡ δὲ Κίθαρις συνωνυμεῖ τῇ Κιθάρᾳ.

ΣΕΛΙΔ. 234, στ. 9, Ἐπέστρεψεν ] Γραπτέον, Ἐπέστρεψαν, πληθυντικῶς, διὰ τὰ προηγησάμενα, «Αἴγυπτος... καὶ τριήρεις » Ἑλληνικαὶ... καὶ Κίμων».

ΣΕΛΙΔ. 284, στ. 20, Ἐμμεμιγμένον.] Γραπτέον, Ἐν μεμιγμένοις· τὸ γὰρ Ἐμμεμιγμένον, ὥσπερ ἐσημειωσάμην (Μερ. Α, σελ. 456), οὐκ Ἀναξαγόρου, ἀλλ' ἑτέρων ἂν εἴη δόγμα φιλοσόφων, ὧν ἀλλαχοῦ καθήψατο Πλούταρχος (Πρὸς ἡγεμόν. ἀπαίδ. § 5), «Οὐ γὰρ εἰκὸς » οὐ δὲ πρέπον, ὥσπερ ἔνιοι φιλόσοφοι λέγουσι, τὸν Θεὸν ἐν ὕλῃ πάντα » πασχούσῃ... ὑπάρχειν ἀναμεμιγμένον».

ΣΕΛΙΔ. 285, στ. 4, Εἰσιέναι.] Μὴ τρέπε εἰς ὅπερ εἴκασα (Μέρ. Α, σελ. 456), Ἐξιέναι· φέρεται γὰρ πρὸς τὸν Περικλέα, Ὡς ἔμελλεν εἰσιέναι ὁ Περικλῆς, προσέταξε τινὶ τῶν οἰκετῶν, τῶν ἀκολουθούντων αὐτῷ.

ΣΕΛΙΔ. 297, στ. 14, Ἡδονὰς εὐλαβεῖς.] Γράφε, Ἡδονὰς ἀβλαβεῖς, κατὰ τὴν σημειωθεῖσαν (Μέρ. Α, σελ. 460) ἑτέρων εἰκασίαν.

ΣΕΛΙΔ. 308, στ. 30, Οὐκ ἂν μύροισι κ.τ.λ.] Τοῦθ' οὕτως ἔγραψεν Ἀρχίλοχος.

Οὐκ ἂν μύροισι γραῦς ἐοῦσ' ἠλείφετο,

ὥς φησιν ὁ Ἀθήναιος (ιέ, σελ. 688), ὃς καὶ πρῶτον τὸν Ἀρχίλοχον τῷ τοῦ Μύρου ὀνόματι χρήσασθαί φησιν, Ὁμήρου ἔλαια καλοῦντος τὰ μύρα.

ΣΕΛΙΔ. 314, στ. 13, Βασιλεῦ Σατύρων κ.τ.λ.] Τοὺς τέσσαρας πρώτους στίχους οὕτως ἔταξεν ὁ Οὐαλκενῆρος ἐν τῇ εἰς τὰ Εὐριπίδου λείψανα διατριβῇ (σελ. 222),

Βασιλεῦ Σατύρων,
Τίποτ' οὐκ ἐθέλεις δόρυ βαστάζειν,
Ἀλλὰ λόγους μὲν περὶ τοῦ πολέμου
Δεινοὺς παρέχῃ,
Ψυχὴν δὲ Τέλητος ὑπέξῃς;

ΣΕΛΙΔ. 325, στ. 9, Χρησίμων.] Χαίρειν ἐάσαντα τὰς προεκτεθείσας (Μέρ. Α, σελ. 469) εἰκασίας, ἔξι φάναι, ὅτι τὸ, Χρησίμων, ἐνδέχεται καὶ ἐπὶ τῆς ἐννοίας τετάχθαι τοῦ χρησμῳδικῶν, οὐδὲν κωλυούσης τῆς πρὸς τὸ, Χρήσιμος, τὸ δηλοῦν τὸν ὠφέλιμον, ὁμωνυμίας, ἐπεὶ καὶ τὸ ἀφ' οὗ παρῆκται ῥῆμα, Χράομαι, διττὴν ἔχει τὴν σημασίαν.

ΣΕΛΙΔ.

## ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ.

ΣΕΛΙΔ. 35, στ. 9, Ἐξελαύνωσι.] Ὅτι τρεπτέον εἰς τὸ, Ἐξάγωσι, παρὰ τὰ εἰρημένα (Μέρ. Β, σελ. 371) μαρτυρήσειεν ἂν καὶ αὐτὸς Πλούταρχος, φήσας ἀλλαχοῦ (Θεμιστοκλ. § 15, Μέρ. Α, σελ. 219), « Ἀνθρώπων ὁμοῦ πολλῶν τὸν μυστικὸν ἐξαγόντων Ἴακχον ».

ΣΕΛΙΔ. 49, στ. 28, Τίθεσθαι.] Τοῖς εἰρημένο προστίθει καὶ ἐκ τοῦ Πλάτωνος (Περὶ νόμ. ιά, σελ. 922) μαρτύριον τόδε, « Αἵ τε » τῶν τελευτᾷν μελλόντων ἐπιθυμίαι τῆς ΔΙΑΘΕΣΕΩΣ, αἵ τε τῶν » παράπαν μηδὲν διαθεμένων τύχαι... καὶ ἐναντία ΤΙΘΟΙΝΤ' ἂν » τοῖς τε νόμοις κ. τ. λ. ».

ΣΕΛΙΔ. 8, στ. 14, Παρὰ φύσιν ὙΦΕΝΤΑ τὸ φρόνημα κ. τ. λ.] Ἴσ. γρ. ὙΦΙΕΝΤΑ.

ΣΕΛΙΔ. 143, στ. 9, Ὀστρειογραφεῖς.] Ὀστρείῳ γεγραμμένας ἢ βεβαμμένας. Ὁποῖον δέ τι γένος χρώματος ἦν τὸ Ὄστρειον, οὔπω ἱκανῶς δεδήλωται· ὁ δὲ Σνεϊδέρος ἐν ταῖς εἰς τὸν Οὐϊτρούϊον, (Vitr. lib. VII, cap. 13, § 3) σημειώσεσιν εἰκάζει χρῶμά τι τῶν γεωδῶν ἢ μεταλλικῶν γεγονέναι τὸ ὄστρειον χυλῷ πορφύρας βεβαμμένον, καὶ ἐν μέλιτι πρὸς τὰς χρείας ὑπὸ τῶν ζωγράφων ἀποτιθέμενον.

ΣΕΛΙΔ. 143, στ. 8, Εὔδαιον.] Εὔλαιον τοῦτον ἀλλαχοῦ (Πῶς ἄν τις διακρ. τὸν κόλακ. τοῦ φίλ. § 43) Πλούταρχος ὀνομάζει.

ΣΕΛΙΔ. 156, στ. 9, Θαῤῥῶ καὶ νομίζω.] Προέχει τῆς ἐμῆς εἰκασίας (σελ. 417) ἡ ὑπὸ Στεφάνου προτεθεῖσα διόρθωσις τοῦ Πλατωνικοῦ χωρίου, Θαῤῥεῖ τὸ ἀποκρίνεσθαι.

ΣΕΛΙΔ. 157, στ. 1, Ἐπιδέξιον.] Οἷς ἐσημειωσάμην (σελ. 418) περὶ τοῦ ἐν τῇ συνηθείᾳ Ἐπιδεξίου τοῦ σημαίνοντος τὸ Λάσανον, προστίθει ὅτι καὶ παρὰ τοῖς Ἰταλοῖς ἐπὶ τῆς αὐτῆς σημασίας τέτακται τὸ Destro, τὸ δηλοῦν ἄλλως τὸ Δεξιόν.

ΣΕΛΙΔ. 214, στ. 17, Πραγματικῆς ἀποδείξεως.] Γραμμικῆς ἀποδείξεως, πάνυ πιθανῶς γραπτέον εἶναι ἔκρινεν ὁ Οὐαλκενῆρος ἐν τῇ εἰς τὰ τῶν Εὐριπιδείων δραμάτων λείψανα διατριβῇ (σελ. 223).

ΣΕΛΙΔ. 325, στ. 15, Τοὺς μὲν φυγάδας.] Εἰς τὴν χώραν ταύτης εἰσήγαγε ἣν ἐσημειωσάμην (σελ. 462) ΔΓ, Τὰς μὲν φυγάς. Ὡσαύτως γὰρ καὶ ἐν τοῖς ἑξῆς (Φλαμινίν. § 12, σελ. 345) ἐρεῖ, « Κατάγων δὲ τὰς φυγάς ». Ἔπιθι καὶ τὰ εἰς τὸν Ἰσοκράτην (Μέρ. Β, σελ. 141) σημειωθέντα.

## ΜΕΡΟΣ ΤΡΙΤΟΝ.

ΣΕΛΙΔ. 118, στ. 21, Ἐπαφήν.] Ἐπαφὴ, ὥσπερ καὶ ἡ μήπω κατακωρισθεῖσα ἐν τοῖς Λεξικοῖς, Ἐπάφησις (Κλίμ. Ἀλεξανδρ. Παιδαγωγ. Β, σελ. 206), κυρίως μὲν σημαίνει ὅπερ καὶ ἡ Ἀφὴ, τουτέστιν ἡ ψαῦσις· ἐνθάδε δ' ἴσον δύναται τῷ Ἐπίπληξις, ἢ ἐπιτίμησις. Καὶ ἔστιν ἡ μὲν Ἐπαφὴ, παρὰ τὸ Ἐφάπτομαι· ἡ δὲ Ἐπάφησις, παρὰ τὸ Ἐπαφῶμαι. «Ἐπαφᾶται, ψηλαφᾷ, ἐπιψαύει.—Ἐπαφησαμένη, » ἀψαμένη.—Ἐφάπτεται, προσεγγίζει » φησὶν Ἡσύχιος. Τὸ δ' ἑξῆς τοῦ αὐτοῦ Λεξικογράφου, «Ἐφαπτὸς, ὑπὸ θεοῦ ΚΕΧΑΡΙΣΜΕΝΟΣ» τρεπτέον ἴσως εἰς τὸ ΚΕΧΡΩΣΜΕΝΟΣ, τουτέστιν, οὗ ὁ θεὸς ἥψατο, ἢ εἰς τὸ ΚΕΧΡΙΣΜΕΝΟΣ.

ΣΕΛΙΔ. 125, στ. 29. Ὀρχαλίδην... Ἀλώπεκον.] Ἀρχελίδην, καὶ, Ἀλώποκον Πλούταρχος ἀλλαχοῦ (Περὶ τοῦ μὴ χρᾶν ἔμμετρ. κ. τ. λ. § 27) καλεῖ τὸν τόπον.

ΣΕΛΙΔ. 131. στ. 23, Χαλδαῖος.] Τοῖς σημειωθεῖσι (σελ. 376) παραπλήσιον ἁμάρτημα ἡμάρτηται γραφικὸν, καὶ ἐν τῷ καλουμένῳ Μεγάλῳ Ἐτυμολογικῷ (σελ. 206), « Βόττεια, πόλις Μακεδο- » νίας... οἱ οἰκοῦντες, Βοττιαῖοι· καὶ Βοττικὴ, ἡ ΧΑΛΔΑΪΚΗ γῆ » κ. τ. λ». Ἐνθάδε γὰρ τοὐναντίον, γραπτέον, ΧΑΛΚΙΔΙΚΗ.

ΣΕΛΙΔ. 164, στ. 23, Ἐνήρχετο.] Εἰς τοῦτο ἔτρεψα (σελ. 385) τὸ προδήλως ἡμαρτημένον Ἀνήρχετο· νῦν δέ μοι μᾶλλον ἀρέσκει καὶ τὴν πρόθεσιν ὅλως περιελόντα, γράφειν, Ἤρχετο.

ΣΕΛΙΔ. 173, στ. 7, Ἔλλαχε.] Τοῖς σημειωθεῖσι (σελ. 387) προστίθει, ὅτι ἡ προκειμένη γραφὴ Ἔλλαχε, συνᾴδει τῇ ἐν τῷ Ἀλεξάνδρου βίῳ (§ 53, Μέρ. Δ, σελ, 242,). Προέχει μέντοι ἡ ἑτέρα, Ἔμμορε τιμῆς, ὡς Ὁμηρικωτέρα (Ἰλιάδ. ό, 189. ἴδ. καὶ Πλουτάρχ. Μέρ. Δ, σελ. 152).

ΣΕΛΙΔ. 183, στ. 7, Πλησιανακτίῳ.] Ἴσως γραπτέον. Πλησιανακτείῳ, ἢ Πλησιανακείῳ, τουτέστι τῇ οὔσῃ πλησίον τοῦ Ἀνακείου· ἦν δὲ τοῦτο ἱερὸν Διοσκούρων, τῶν ἐπονομαζομένων Ἀνάκων, ἢ Ἀνάκτων. Τῆς γὰρ μνημονευθείσης (σελ. 391) τοῦ τε Σουΐδα καὶ Διογένους τοῦ Λαερτίου γραφῆς Πεισιανακτείῳ οὐδείς πω τὸ ἔτυμον ἔφρασεν.

ΣΕΛΙΔ. 251, στ. 18, Ὥσπερ * οὐ* τοῦ τρυφᾶν κ. τ. λ.] Ἐπήνεσα (σελ. 405) διτάζων τοὺς περιαιροῦντας τὴν ἄρνησιν· νῦν δὲ πάντως περιαιρετέαν εἶναί φημι, μάρτυρι χρώμενος αὐτῷ Πλουτάρχῳ, ὃς ἀλ-

λαχοῦ (Εἰ πρεσβυτ. πολιτευτ. § 4) παράλληλα τοῖς προκειμένοις λέγων φησί· «Ἔφη γὰρ ὁ Πομπήϊος [περὶ Λουκούλλου] ἀωρότερον» εἶναι γέροντι τὸ τρυφᾶν ἢ τὸ ἄρχειν».

ΣΕΛΙΔ. 299, στ. 29, Στέγαστρον.] Τοῖς σημειωθεῖσι (σελ. 428) ἐπελαθόμην προσθεῖναι, ὅτι Κασωβῶν ἐν τοῖς εἰς τὸν Συετώνιον (Sueton. Aug. cap. 83) ὑπομνήμασι, τοῦτο Πλουτάρχου τὸ χωρίον παρατιθέμενος, τὸ Στέγαστρον, οὔτε κεφαλῆς, οὔτ' ἀπήνης σκέπασμα δηλοῦν οἴεται, ἀλλὰ τοῦ σώματος ὅλου περιβόλαιον δερμάτινον, παραπλήσιον ταῖς παρὰ τῷ Πολυαίνῳ (Στρατηγημ. Η, ις, 2, σελ. 259) Γαλατικαῖς σισύραις, ἃς καὶ Διφθέρας ἁπλῶς ἐκάλουν (Θεοφράστ. Χαρακτ. δ', σελ. 26), οὐ μόνον περιβαλλόμενοι, ἀλλὰ καὶ ὑποστρωννύμενοι, καὶ καθεύδοντες ἐν αὐταῖς. Ὁ δ' ἡμεῖς, Γερράδερμον (ἀντὶ τοῦ Τεράδερμον) γράφειν δεῖν ᾠήθημεν, ὁ Κασωβῶν, ἀπιθάνως ἔμοιγε δοκοῦν, εἰς τὸ Στεγάδερμον, τρεπτέον εἶναι ὑπέλαβε.

## ΜΕΡΟΣ ΤΕΤΑΡΤΟΝ.

ΣΕΛΙΔ. 12, στ. 23, Νομίμων.] Ὤφειλον τὴν σημειωθεῖσαν (σελ. 332) ΔΓ, Μονίμων προελέσθαι· δῆλον γὰρ ἔκ τε τοῦ συναπτομένου Ὁπλιτικῶν, καὶ ἐκ τῶν ἑπομένων ἀντιθέτων, Φυγαῖς ἀπαύστοις ἀνθρώπων ὑπηνεμίων, ὅτι, Μονίμων, ἔγραψεν ὁ Πλούταρχος ὧδε, αἰνιττόμενος, οὓς ἀλλαχοῦ (Μέρ. Α, σελ. 208) διαῤῥήδην ἐκ τοῦ Πλάτωνος ὠνόμασε, Μονίμους ὁπλίτας. Εἰ δὲ ἐν τῷ προκειμένῳ χωρίῳ καλῶς ἔχει ἡ εἰς τὸ Μονίμων τροπή, καὶ ἐν τοῖς ἑξῆς (Πομπ. § 17, Μέρ. Δ, σελ. 114) ἀναμφισβητήτως γραπτέον ἐκ τῆς ΔΓ (σελ. 366) Μονίμων· ἐπεὶ κἀκεῖ, ὥσπερ ἐνθάδε, περὶ Μετέλλου ποιεῖται τὸν λόγον. Προστίθει τούτοις, ὅτι καὶ εὐεπίφορος ὁ Πλούταρχος εἰς τὰς Πλατωνικὰς ἐννοίας, καὶ δεινῶς φιλοπλάτων· ἢ δῆλον ἔκ τε πλείστων ἄλλων, καὶ αὐτῆς δὴ ταύτης τῆς Μονίμου μάχης, ἣν ἐν τῷ Φιλοποίμενος βίῳ (§ 9, Μέρ. Β. σελ. 317) τῇ δρομικῇ καὶ πελταστικῇ ἀντιτίθησιν. Ἔπιδι καὶ τὰ ἀνωτέρω (σελ. 470 τοῦδε τοῦ Μέρ.) σημειωθέντα.

ΣΕΛΙΔ. 95, στ. 10, Αἱ γὰρ ἀπάται τὸ παράδοξον ἐπάγουσι τοῖς πρὸς ἌΜΥΝΑΝ ὑπονοοῦσι καὶ προσδοκῶσι τρεπομένοις.] Πλούταρχον αἰτιασάμενος (σελ. 357) τοῦ δυσξυνέτου τῶν λεγομένων, νῦν ὀψὲ συνεώρακα τοὺς ἀντιγραφέας αἰτιατέον εἶναι. Γράφε τοίνυν καὶ στίζε· Αἱ γὰρ ἀπάται τὸ παράδοξον ἐπάγουσι τοῖς πρὸς ἌΜΥΝΑΝ·

ΩΝ ὑπονοοῦσι καὶ προσδοκῶσι, τρεπομένοις. Ὁ νοῦς πρόδηλος ἐξ ὧν ἐπιφέρει Πλούταρχος.

ΣΕΛΙΔ. 114, στ. 18, Νομίμων.] Ἐσημειωσάμην μικρὸν ἀνωτέρω (σελ. 483), ὅτι καὶ ἐνθάδε Μονίμων γράφειν δεῖ.

ΣΕΛΙΔ. 152, στ. 27, Τριχθὰ δὲ πάντα δέδασται.] Ἐξ Ὁμήρου (Ἰλιάδ. ὀ, 189).

ΣΕΛΙΔ. 187, στ. 8, Ἡγησίας ὁ Μάγνης.] Τίμαιον (οὐχ Ἡγησίαν) εἰρηκέναι τοῦτο τὸ ψυχρὸν ἀπόφθεγμα φησὶν ὁ Κικέρων ἐν τῷ Περὶ φύσεως θεῶν (De natur. Deor. II, 28) — στ. 26, Γράφων αὐτὸν κεραυνοφόρον.] Ἀποκαθίστη τὴν γραφὴν, Γράφων τὸν κεραυνοφόρον, χαίρειν ἐάσας τὴν ἐμὴν διόρθωσιν. Οὕτω γὰρ καὶ ἀλλαχοῦ (Περὶ τῆς Ἀλεξάνδρ. τύχ. ἢ ἀρετ. Β, § 2) εἴρηκε περὶ τοῦ Ἀπελλοῦ, Ὁ μὲν ἔγραψε τὸν κεραυνοφόρον, ἐλλειπτικῶς τοῦ Ἀλέξανδρον.

ΣΕΛΙΔ. 200, στ. 14, Ἀπήρραξε.] Γραπτέον, Ἀπήραξε (παρὰ τὸ Ἀποράσσω), ἢ Ἀπέρραξε (παρὰ τὸ Ἀπορράσσω). Ἔπιθι τὰς εἰς τὸν Ἡλιόδωρον (Β, σελ. 3 καὶ 35) καὶ τὰς εἰς τὸν Πλούταρχον (Μέρ. Α, σελ. 470) σημειώσεις.

ΣΕΛΙΔ. 225, στ. 6, Αἴτιον ... τὸ τὴν βαφὴν διὰ μέλιτος γίνεσθαι τῶν ἁλουργῶν.] Μέλιτι, φησὶν ὁ Οὐϊτρούϊος περιχεῖσθαι τὸ ἀνωτέρω (σελ. 481) σημειωθὲν Ὄστρειον, τοῦ μὴ ἀποξηραίνεσθαι ἕνεκα διὰ τὴν ἁλμυρίδα, propter salsuginem cito fit siticulosum, nisi mel habeat circumfusum, ὅπερ ἐξηγούμενος ὁ Σνεΐδερος (Vitruv. XIII, 2, § 3) καὶ τόδε παρατίθεται Πλουτάρχου τὸ χωρίον.

ΣΕΛΙΔ. 233, στ. 23, Πολύκριτος.] Ἴσως γραπτέον Πολύκλειτος. Στράβων γὰρ δὶς ὀνομάζει τὸν Πολύκλειτον (σελ. 509 καὶ 728), ὡς ἕνα τῶν ἱστορησάντων τὰ κατ' Ἀλέξανδρον. Λέγει δὲ καὶ ὁ Ἀθήναιος (σελ. 539) διαῤῥήδην, «Πολύκλειτος δὲ ὁ Λαρισσαῖος, ἐν τῇ ὀγδόῃ » τῶν Ἱστοριῶν, καὶ ἐπὶ χρυσῆς κλίνης κοιμᾶσθαί φησι τὸν Ἀλέξαν» δρον κ. τ. λ. ». Πολύκριτος δὲ Μενδαῖος ἦν, ἀπὸ Μένδης, Σικελικῆς πόλεως, ὅς, εἰ ἐστὶν ὁ αὐτὸς τῷ ὑπὸ Πλουτάρχου μνημονευθέντι ἀλλαχοῦ (Μέρ. Ε, σελ. 299), Ἀρταξέρξου ἰατρῷ, καὶ τῷ, ὥς φησι Διογένης ὁ Λαέρτιος (β, § 63) τὰ κατὰ τὸν νεώτερον Διονύσιον ἱστορήσαντι, οὐ πάνυ πιθανῶς ἂν νομίζοιτο καὶ τὰ κατ' Ἀλέξανδρον ἱστορηκέναι. Ἐγεννήθη γὰρ ὁ Ἀλέξανδρος τῷ δευτέρῳ μετὰ τὴν Διονυσίου ἐκ Σικελίας ὑπὸ Δίωνος ἐκβολὴν, καὶ πέμπτῳ μετὰ τὴν Ἀρταξέρξου τελευτὴν ἔτει· ὃ συμβαίνει, κατὰ μὲν τὴν ἐπὶ τέλει τοῦ παρόντος

τόμου χρονολογίαν, τῷ 354, καθ' ἑκατέρους δὲ, τῷ 356 πρὸ Χριστοῦ ἔτει. Ἐρεῖ τις ἴσως τὸν ἐν τῷ προκειμένῳ Πλουτάρχου χωρίῳ Πολύκριτον τὸν αὐτὸν εἶναι καὶ ὃν ὁ Στράβων ἀλλαχοῦ (σελ. 735) περὶ τῶν κατὰ Πέρσας ἐθίμων ἐπάγεται μάρτυρα· ἀλλὰ παρὰ τῷ Στράβωνι ἐνδέχεται μὲν ὀρθῶς ἔχειν τὸ Πολυκρίτου ὄνομα, ἐπεὶ οὔτ' Ἀλέξανδρος ἐκεῖ μνημονεύεται, ὡς ἐν τοῖς προδηλωθεῖσιν ἑτέροις δύο χωρίοις (σελ. 509 καὶ 728), οὔτ' ἀπεικὸς τὸν ἐν τοῖς Ἀρταξέρξου βασιλείοις συμβιώσαντα Κτησίᾳ, καὶ ἱστορίαν, ὥσπερ ὁ Κτησίας, Περσικὴν συγγράψαι· οὐ θαυμαστὸν δὲ, εἰ καὶ παρὰ τῷ Γεωγράφῳ, ἁμαρτίᾳ τῶν γραφέων ὁ Πολύκριτος τὸν Πολύκλειτον ἐξέωσε τῆς προσηκούσης χώρας.

ΣΕΛΙΔ. 234, στ. 27, Ἐν Χορτάνου.] Ταύτην προειλόμην (σελ. 444) διστάζων τὴν γραφὴν, ΑΤ, Ἐν χρόνῳ τινὶ, προσεικάσας γραπτέον εἶναι, Ἐν χορῷ τινί. Νῦν δὲ μεταμέλει μοι μὴ καταχωρίσαντι τὴν εἰκασίαν εἰς τὸ κείμενον· ἔστι γάρ ἡ, Ἐν χορῷ τινι, διόρθωσις οὐ μόνον ἐγγυτέρα τῆς παραλειφθείσης γραφῆς, ἀλλὰ καὶ μαρτυρεῖταί πως ὑφ' ἑτέρου παραλλήλου χωρίου τοῦ Πλουτάρχου (Περὶ τῆς Ἀλεξάνδ. τύχ. ἢ ἀρετ. Α, 11) « Ῥωξάνης ἐρασθεὶς [Ἀλέξανδρος] » τῆς Ὀξυάθρου θυγατρὸς ἐν ταῖς αἰχμαλώτισι ΧΟΡΕΥΟΥΣΗΣ, οὐχ » ὕβρισεν, ἀλλ' ἔγημε, φιλοσόφως ».

ΣΕΛΙΔ. 265, στ. 9, Οὔπω πάνυ μειράκιον ὤν.] Γραφικὸν ἡγησάμην (σελ. 468) ἁμάρτημα τὸ, Πάνυ, ἐπιλαθόμενος ὅτι καὶ ἀλλαχοῦ Πλούταρχος κέχρηται αὐτῇ τε ταύτῃ τῇ κακῇ φράσει, καὶ τῇ συνωνύμῳ (ἀνωτέρ. σελ. 111) « Οὔπω πάνυ γενειῶν ».

ΣΕΛΙΔ. 281, στ. 4, Μύρον ἀντ' ἐλαίου.] Ὁ μετὰ μικρὸν μνημονευθησόμενος Ὄππιος ἱστόρηκε τοῦτο, ὥς φησιν ὁ Συετώνιος, Circa victum C. Oppius adeo intifferentem (Cæsarem) docet, ut quondam ab hospite CONDITUM oleum, pro viridi adpositum, adspernantibus cæteris, solum etiam largius dicat adpetisse, etc. (Sueton. Cœs, cap. 53). Καὶ ὁ μὲν Κασωβὼν ἐν ταῖς εἰς τὸν Συετώνιον σημειώσεσι τοῦ Conditum τὴν μέσην μακρῶς ἐκφέρων Κονδῖτον, ὀρθῶς φησι τὸν Πλούταρχον τὸ conditum oleum μύρον ἑρμηνεῦσαι· ἕτεροι δ' ἀπιθάνως διατείνονται βραχέως προοιστέον εἶναι Κόνδιτον, ἵν' ᾖ ἐκ πολλοῦ ἀποκείμενον καὶ πεπαλαιωμένον ἔλαιον ἀντὶ νεαροῦ pro viridi.—στ. 12, Ὄππιον ἐκέλευσεν ἀναπαύσασθαι.] Ἱστόρηκε καὶ τοῦτο ὁ Συετώνιος (Sueton. Cœs. cap 72).

ἐξ αὐτοῦ Ὀππίου εἰκότως παρειληφώς· Ὄππιος γάρ ἐςι καὶ ὁ τὸ περὶ Μύρου ἱςορήσας, ὥσπερ δεδήλωται ἐν τῇ προτέρᾳ σημειώσει.

ΣΕΛΙΔ. 285, στ. 28, Γανύσιος.] Τὴν σημειωθεῖσαν (σελ. 480) ΔΓ, Τανύσιος, ὤφειλον προελέσθαι· Tanusius γάρ καὶ ὑπὸ τοῦ Συετωνίου ὀνομάζεται (Sueton. Cœs. cap. 9).

ΣΕΛΙΔ. 294, στ. 22, Ἀρίμινον, τῆς Κελτικῆς μεγάλην πόλιν.] Μεταμέλει μοι τῆς διορθώσεως (σελ. 484) τρέψαντι τὸ Κελτικῆς εἰς τὸ Ἰταλίας. Ἦν γάρ ἐν τῷ Πομπηίου βίῳ (§ 60, σελ. 159) πόλιν Ἰταλίας ὠνόμασε Πλούταρχος, τῆς Κελτικῆς αὐτὴν λέγων ἐνθάδε, οὐχ ἑαυτῷ ἀντιφάσκει· ἄμφω γάρ ἀληθῆ, οὐ μόνον διὰ τὸ περὶ τῆς ἐν Ἰταλίᾳ Κελτικῆς τὸν λόγον εἶναι, ἀλλὰ καὶ ὅτι, ὥς φησιν Ἀππιανὸς (Ἐμφυλ. Ῥωμ. Γ, § 46), ἀπὸ Ἀριμίνου ἤρχετο ἡ Ἰταλιῶτις αὕτη Κελτική.

ΣΕΛΙΔ. 295, στ. 3, Ὡς ἦλθεν ἐπὶ τὸν ὁρίζοντα κ. τ. λ.] Ἐπίθι τὸν Συετώνιον, διεξοδικώτερον ταῦτα διηγούμενον (Sueton Cœs. cap. 31 - 33).

ΣΕΛΙΔ. 307, στ. 10, Τοῦτ' ἐβουλήθησαν, ΕἸΣ ΤΟΥ͂ΤΟ ΜΕ ἈΝΑΓΚΗΣ ὙΠΗΓΑΓΟΝΤΟ, ἵνα... κἂν κατεδικάσθην.] Τοῖς σημειωθεῖσι (σελ. 490) προςίθει ὅτι Συετώνιος ταῦτα τὰ ῥήματα, παρὰ τοῦ Πολλίωνος Ἀσινίου κἀκεῖνος παρειληφώς, οὕτως ἐκφέρει Ῥωμ. ἵςί· Hoc voluerunt: tantis rebus gestis C. Cæsar condemnatus essem, nisi ab exercitu auxilium petissem (Sueton. Cœs. cap. 30)· ὅπου σημείωσαι ὅτι τὰς πέντε λέξεις, Εἰς τοῦτο με ἀνάγκης ὑπηγάγοντο, διὰ τὸ μὴ ἐνεῖναι τῇ Ῥωμαϊκῇ ῥήσει, μηδὲ ὑπὸ Πλουτάρχου γεγράφθαι ὑπείληφεν ὁ Κασωβῶν (ἐν ταῖς εἰς Συετών. σημειώσ.), ἀλλ' ὑφ' ἑτέρου τινὸς παρεμβεβλῆσθαι τῷ προκειμένῳ χωρίῳ.

ΣΕΛΙΔ. 327, στ. 10, Διέσπασαν ἐν μέσῳ τὸν ἄνθρωπον.] Πιθανώτατον μὲν, ὥσπερ ἐσημειωσάμην (σελ. 501), τοῦ παρακμάζοντος ἑλληνισμοῦ εἶναι τὴν φράσιν· ἐνδέχεται μέντοι καὶ τοῖς ἀντιγραφεῦσιν ἡμαρτῆσθαι, ἀντὶ τοῦ ἑλληνικωτέρου, Διέσπασαν μέσον τὸν ἄνθρωπον. Ὅμοιον δὲ τούτῳ τῷ ἀνωτέρω (σελ. 330) σημειωθέντι, Μέσος ἐρράγη.

## ΜΕΡΟΣ ΠΕΜΠΤΟΝ.

ΣΕΛΙΔ. 7, στ. 24, Μουσάων.] Ἀποκαθίστη τὴν ὀρθὴν γραφὴν Μουσέων, χαίρειν ἐάσας ἣν ἀντισπώμενος ὑπὸ λογισμῶν ἑτέρων ἐποίησα τροπήν — Ἐρατᾶν.] Πρὸς τὸ Μουσέων. Παρὰ δὲ τῷ Ἀθηναίῳ (ιδʹ, σελ. 627) Ἐρατὸν, πρὸς τὸ Δῶρον· οὕτω γὰρ παρ' ἐκείνῳ φέρονται τὰ Ἀρχιλόχεια ἔπη ταῦτα,

Εἰμὶ δ' ἐγὼ θεράπων μὲν Ἐνυαλίοιο ἄνακτος,
Καὶ Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος.

ΣΕΛΙΔ. 39. στ. 30, Ἀπὸ τοῦ δείπνου ἀνέλυεν.] Προσεπιμαρτυρείτω τῇ ἡμετέρᾳ διορθώσει καὶ ὁ Ἀθήναιος (άʹ, σελ. 16) « Ἔσπενδον δὲ » ἀπὸ τῶν δείπνων ἀναλύοντες, καὶ τὰς σπονδὰς ἐποιοῦντο Ἑρμῇ ».

ΣΕΛΙΔ. 45, στ. 5, Ἑκατέρωθεν τῆς ὁδοῦ παρακεκλιμένων.] Ἐπέχω νῦν περὶ τῆς διορθώσεως (σελ. 325).

ΣΕΛΙΔ. 85, στ. 2, Ὡς προείρηται.] Ἀποδεκτέον τὴν τῶν ΠΡ διόρθωσιν, Ὡς προῄρηται, ἣν ὅμως ὀρθωτέραν ἂν ποιήσαις τρέπων εἰς τὸ ὑπερσυντελικόν, Ὡς προῄρητο, ἢ τὸ παρατατικόν, Ὡς προῃρεῖτο. Ἔστι δὲ ἡ φράσις παραπλησία τῇ ἀλλαχοῦ (Ὅθ. § 5 Πλουτάρχ. Μέρ. τοῦδε σελ. 311) τῇδε, « Χρήσασθαι δὲ μὴ δυνηθέντας » ἐπὶ τῶν πραγμάτων, ὡς προῃροῦντο, τοῖς ἑαυτῶν λογισμοῖς ».

ΣΕΛΙΔ. 127, στ. 9, Μόθακας.] Τὴν εἰς τοῦτο τροπὴν τοῦ γελοίου Σαμοθράκας ὡς ἐμὴν ἐσημειωσάμην (σελ. 359) διόρθωσιν· καὶ ἔστιν ἀληθῶς ἐμή, εἴγε τῶν εὑρόντων τὰ εὑρισκόμενα γίνεται, ὅτ' ἂν μηδεὶς αὐτῶν μεταποιῆται. Νῦν δὲ τὴν τοῦ Οὐαλκενήρου εἰς τὰ Εὐριπίδου λείψανα διατριβὴν (σελ. 223) ἀναλεγόμενος, ἔμαθον ὅτι κἀκεῖνος τὴν αὐτὴν ἐμοὶ πρὸ ἐμοῦ παρῄνει διόρθωσιν. Γίνεται τοίνυν δικαίως οὐκ ἐμοῦ, ἀλλ' ἀμφοτέρων ἡμῶν, τοσοῦτον πίστεως προσλαβοῦσα, ὅσῳ καὶ μᾶλλον ἐπίσημος ἐν κριτικοῖς ὁ Οὐαλκενήρος. Καὶ ταῦτα μὲν πρὸς τοὺς μήτ' εἰδότας, μήτε μαθεῖν ἔχοντας, ὁποῖόν τι ἐστὶ τὸ τῆς τῶν συγγραφέων ἐκδόσεως ἔργον· οὗτοι γὰρ εἰσὶν οἱ μάλιστα τοὺς ἄλλους καταιτιώμενοι, ἀναίτιον αὐτοὶ μηδὲν ἔχοντες ἐπιδείξασθαι. Τοῖς δ' ὄντως σοφοῖς, ὧν καὶ μόνων ἄξιον ἐν τοῖς τοιούτοις ἐπιστρέφεσθαι, τὸ ἠγνοηκέναι με ἣν ἐμπλῶς ἅπαντες οἱ πρὸ ἐμοῦ τὰ Πλουτάρχου μεταχειρισάμενοι ἠγνόησαν τοῦ Οὐαλκενήρου διόρθωσιν, οὐ δόξει παράλογον.

ΣΕΛΙΔ. 131, στ. 31, Καὶ φιλανθρωπότερον τὸν οἶνον] Κατὰ παραπλησίαν μεταφορὰν εἴρηκε Δικαίαρχος (Ἑλλάδ. βίῳ, σελ. 485 ἐκδ. Βιένν. 1807) τὴν εἰς Ἀθήνας φέρουσαν ὁδὸν ἔχειν ὄψιν φιλάνθρωπον· οὕτως γὰρ παρ' ἐκείνῳ γραπτέον, « Ὁδὸς δὲ ἡδεῖα, γεωρ» γουμένη πᾶσα, ἔχουσα ΤΗΝ ΟΨΙΝ φιλάνθρωπον », καὶ οὐ, ΤΗ ΟΨΕΙ.

ΣΕΛΙΔ. 155, στ. 27, Καταβυρσώσαντας.] Τὰς διαφόρους ἐκδοχὰς τῆς λέξεως ἐκτιθεὶς (σελ. 369 καὶ 454) ἠγνόουν τὴν καὶ ὑπὸ τῶν πρὸ ἐμοῦ ἠγνοημένην τοῦ Κασωβῶνος ἐξήγησιν. Οὗτος γὰρ ἐν τοῖς εἰς τὸν Συετώνιον ὑπομνήμασι (Sueton Cœs. cap. 74), τοῦτο παρατιθέμενος τὸ χωρίον, φησὶ τὸν Πτολεμαῖον κελεῦσαι, εἰς βύρσαν ἐμβαλόντας τὸ σῶμα τοῦ Κλεομένους μέχρι τραχήλου, οὕτως περικεκαλυμμένον τῇ βύρσῃ ἀνασταυρῶσαι· συμπεραίνων τὸ, Μέχρι τραχήλου, ἐξ ὧν ἐν τοῖς ἑξῆς (σελ. 156) φησι Πλούταρχος, « Οἱ τὸ » σῶμα τοῦ Κλεομένους ἀνεσταυρωμένον παραφυλάττοντες εἶδον » εὐμεγέθη δράκοντα τῇ κεφαλῇ περιπεπλεγμένον, καὶ ἀποκρύπτοντα » τὸ πρόσωπον »· καὶ πιστοῦται τὴν ἐξήγησιν παραπλησίᾳ κολάσει τοῦ ὑπὸ Ἀντιόχου θανατωθέντος Ἀχαιοῦ, οὗ φησι Πολύβιος (ή, 23) τὸ σῶμα εἰς ὄνειον ἀσκὸν καταρραφθὲν ἀνασταυρωθῆναι.

ΣΕΛΙΔ. 165, στ. 12, Δεσμωτηρίων δὲ βαρβαρικῶν ἐμπεπλῆσθαι.) Δεσμωτήρια βαρβαρικὰ εἰκὸς εἰρηκέναι τὸν Πλούταρχον τὰ παρὰ Ῥωμαίοις καλούμενα μιξελληνικῶς ergastula, ὡς ὀρθῶς ἡρμήνευσεν ὁ Λατῖνος μεταφραστής. Οἱ γὰρ τοὺς πένητας ἐκβαλόντες τῶν κτημάτων, ὥς φησιν Ἀππιανὸς (Εμφυλ. Ῥωμ. Α, ζ́, Τομ. 2, σελ. 11), « Ὠνητοῖς εἰς αὐτὰ γεωργοῖς καὶ ποιμέσι χρώμενοι... πάμπαν » ἐπλούτουν· καὶ τὸ τῶν θεραπόντων γένος ἀνὰ τὴν χώραν ἐπλήθυε ». Τοὺς πολλοὺς οὖν τούτους ὠνητοὺς ἐκ βαρβάρων θεράποντας, τοῦ μὴ δραπετεύειν ἕνεκα, πεπεδημένους ἠνάγκαζον ἐργάζεσθαι· παρ' ὃ καὶ ergastulum (οἱονεὶ ἐργαστήριον) παρωνόμασται τὸ δεσμωτήριον, ὃ δῆλον καὶ ἐκ τῶν ἀρχαίων Ρωμαϊχελληνικῶν Λεξικῶν· « Ergastulum, » τόποι ἐν οἷς πεδῆται ἐργάζονται, δεσμωτήριον, δεσμός ». Καὶ τοῦτο μὲν οὐδετέρως· ἀρσενικῶς δὲ, ergastulus ἐκαλεῖτο αὐτὸς ὁ δεσμοῖς κατηναγκασμένος ἐργάτης, ἀναλόγως τοῖς παρὰ τοῖς Ἕλλησιν Ἑρκίταις· οὕτως γὰρ ἐκάλουν τοὺς κατὰ τοὺς ἀγροὺς οἰκέτας, οὓς Ἡσύχιος διὰ τοῦ η ἐκφέρει, «Ερκῆται, οἱ ἐν ἀγρῷ οἰκέται». Ἔοικε γὰρ καὶ τοῦτο παρὰ τὴν κάθειρξιν, καὶ φυλακὴν οὕτως ὠνομάσθαι, ὥσπερ καὶ ἡ « Ἑρκατὴ, φυλακὴ » παρὰ τῷ αὐτῷ Ἡσυχίῳ.

ΣΕΛΙΔ. 205, στ. 2, Συνεσχολακέναι Πλάτωνι.] Ἧς ἔχων (σελ. 389) τῆς καινῆς ταύτης σημασίας τοῦ Συσχολάζειν, ἕτερόν ἐστι παραθέσθαι μαρτύριον ἐκ τοῦ Ἀθηναίου (ιδ', σελ. 664), « Ὁ γραμματικὸς Ἀρι-» στοφάνης ἐσπούδασε συσχολάσαι αὐτῷ [τῷ Μάχωνι], νέος ὤν ».

ΣΕΛΙΔ. 227, στ. 15, Ὅσον εἶχε χρυσίδιον εἰς τὰς χεῖρας ΑΝΕΘΗΚΕ τοῦ ἀνδριάντος.] Τὸ παρ' ἅπασιν οὕτω φερόμενον ἐπελαθόμην διορθῶσαι τρέπων εἰς τό, ΕΝΕΘΗΚΕ. Παραπλήσιον δέ τι ἱστόρηται (Ἀθην. ά, σελ. 19) καὶ περὶ τοῦ ἀνδριάντος Κλέωνος, τοῦ Θηβαίου ᾠδοῦ. « Ὑπὸ τοῦτον τὸν ἀνδριάντα, ὅτε Ἀλέξανδρος τὰς Θήβας κατέ-» σκαπτε, φησὶ Πολέμων, φεύγοντά τινα, χρυσίον εἰς τὸ ἱμάτιον, κοῖ-» λον ὄν, ΕΝΘΕΣΘΑΙ· καὶ συνοικιζομένης τῆς πόλεως, ἐπανελθόντα » εὑρεῖν τὸ χρυσίον μετὰ ἔτη τριάκοντα ».

ΣΕΛΙΔ. 234, στ. 9, Καὶ πολλοὺς πολλάκις τῶν ὀρθῶν ἐπετάραξε λογισμῶν.] Μὴ μετακινεῖν τὴν γραφὴν συνεβούλευον (σελ. 410)· νῦν δέ μοι μετακινητέα πάντως δοκεῖ, ἀλλ' οὐ καθὰ διώρθουν οἱ ΠΡ. Μόνον τὸ Πολλούς, περιελών, καὶ τοῦ ῥήματος τὴν πρόθεσιν ἐναλλάξας, γράφε, Καὶ πολλάκις τῶν ὀρθῶν ἐξετάραξε λογισμῶν, τουτέστιν, ἡ φιλοδοξία ἐξέστησε πολλάκις τὸν Κικέρωνα τῶν ὀρθῶν λογισμῶν. Ἐπιθὲ τὰς εἰς τὸν Ἀντωνίου βίον σημειώσεις τοῦ παρόντος ἕκτου τόμου (σελ. 358).

ΣΕΛΙΔ. 254, στ. 4, Διασπαθήσας.] Τὸ παρατεθὲν (σελ. 419) ἐξ Ἡσυχίου, « ΣΠΑΘΩΣΙ, σκορπίζωσιν » διώρθου ἐκ τοῦ Φωτίου καὶ τοῦ Σουίδα, ΣΠΑΘΩΣΙ, σκορπίζουσι.

ΣΕΛΙΔ. 256, στ. 8, Πάνθ' ὁμοῦ πράγματα καὶ πάντας ἀνθρώπους ΣΥΓΚΥΚΩΝ ἐπ' αὐτόν.] Ἐπέχω νῦν περὶ τῆς εἰς τό, Συγκυκῶν τροπῆς τοῦ ΣΥΝΑΓΩΝ.

ΣΕΛΙΔ. 261, στ. 25, Φαιάν.] Ὅτι μὲν σημαίνει, χρώματος εἶδος τὸ Φαιόν, ἐσημειωσάμεθα ἤδη (σελ. 423) ἀποχρώντως· καὶ ἔστι τοῦτο τὸ παρὰ Ῥωμαίοις καλούμενον Pullum, ὃ καὶ αὐτὸ παρὰ τὸ Ἑλληνικόν, Πελόν, τὸ δηλοῦν τὸ μέλαν (Σουίδ. λέξ. Πελὸν) παρῆχθαι, ὑπειλήφασιν οἱ τὰ Ῥωμαίων ἐτυμολογήσαντες. Ἀλλ' ὥσπερ ἡ παρὰ Ῥωμαίοις Pulla vestis οὐ μόνον τὴν τοιούτῳ χρώματι βαφεῖσαν ἐσθῆτα σημαίνει, ἀλλὰ καὶ τὴν πιναράν, τουτέστι τὴν ὑπὸ πολυχρονίου ῥύπου ἐπὶ τοσοῦτον ἀλλοιωθεῖσαν, ὥστε παραπλησίαν εἶναι τῇ πελῇ ἢ μελαίνῃ, οὕτως καὶ ἐν τῷδε Πλουτάρχου τῷ χωρίῳ τὴν Φαιὰν ἐσθῆτα ἐπὶ τοῦ πιναρὰν ἐκδεκτέον εἶναί φησιν ὁ Κασωβῶν ἐν ταῖς εἰς τὸν Συετώνιον σημειώσεσι (Sueton. Aug. cap. 40.)

ΣΕΛΙΔ. 283, στ. 20, Ῥόαν. ] Τοῖς διττογραφουμένοις ὀνόμασι προστίθει καὶ τὸ, ῥ ο ι ά, ῥ ό α.

ΣΕΛΙΔ. 297, στ. 13, Ὑπὲρ τῶν μεγίστων, ὩΣ ὬΕΤΟ, παραβαλλομένη.] Ὕποπτον ἔφην (σελ. 446) εἶναι, καὶ φημὶ τὸ Ὡς ᾤ ε τ ο. Ἴσως ἐνοσφίσατο τὴν χώραν τοῦ Πλουτάρχῳ συνηθεστάτου, ὩΣ ΕΟΙΚΕ.

## ΜΕΡΟΣ ΕΚΤΟΝ.

ΣΕΛΙΔ. 76, στ. 19, Τὸν ἰατρόν. ] Διαγραπτέον, ὥσπερ ἔφην (σελ. 363), ὃ μηδὲν δέον προσέθηκα ἄρθρον. — Θρασυνάμενον. ] Τοῦτο δ' οὐ διόρθωσις, ἀλλ' ἁμάρτημά ἐστι τυπογράφου, ἀντὶ τῆς παρ' ἅπασι φερομένης γραφῆς, Θ ρ α σ υ ν ό μ ε ν ο ν.

ΛΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

# ΧΡΟΝΟΛΟΓΙΑ

## ΤΩΝ ΠΛΟΥΤΑΡΧΕΙΩΝ ΒΙΩΝ.

| Ἀπὸ κτίσεως κόσμου ἔτει. | Πρὸ τῆς πρώτης Ὀλυμπιάδος. | | Πρὸ κτίσεως Ῥώμης. | Πρὸ Χριςοῦ. |
|---|---|---|---|---|
| 2437 | 737 | ΚΑΤΑΚΛΥΣΜΟΣ ὁ ἐπὶ Δευκαλίωνος κληθεὶς, διὰ τὸ ἐπ' ἐκείνου συμβῆναι, ἐν ἔτει δηλονότι πεντεκαιδεκάτῳ, ἢ ἑκκαιδεκάτῳ πρὸ τῆς ἐξ Αἰγύπτου τῶν Ἰσραηλιτῶν ἐξόδου. | 761 | 1511 |
| 2547 | 627 | Μίνως πρῶτος, υἱὸς Διὸς καὶ Εὐρώπης, δικαιότατος ἀνθρώπων, ἐβασίλευσεν ἐν Κρήτῃ, ἐν ἔτει δεκάτῳ πρὸς τοῖς ἑκατὸν μετὰ τὸν κατακλυσμόν. | 651 | 1401 |
| 2698 | 486 | Μίνως δεύτερος, υἱὸς Λυκάστου, υἱωνὸς Μίνω τοῦ πρώτου, τύραννος, διεδέξατο τὸν πατέρα. | 500 | 1250 |
| | | **ΘΗΣΕΥΣ.** | | |
| 2720 | 454 | Ὁ τῶν Ἀργοναυτῶν πλοῦς γέγονεν ἐν ἔτει 2720 ἀπὸ κτίσεως κόσμου. Εἰκὸς οὖν τηνικαῦτα βιῶναι καὶ τὸν Θησέα· ἐπεὶ αὐτὸς μὲν συνεξέπλευσεν Ἰάσωνι, ὁ δ' υἱὸς αὐτοῦ, Δημοφῶν, τοῦ Τρωϊκοῦ πολέμου συμμετέσχε τοῖς Ἕλλησι, τεσσαρακοστῷ συμβάντος ἔτει μετὰ τὸν Ἀργοναυτῶν πλοῦν. | 478 | 1228 |
| 2768 | 406 | Τροίας ἅλωσις. Τηνικαῦτα καὶ Ἰεφθάε ἔκρινε τὸν Ἰσραήλ. | 430 | 1180 |
| 2847 | 327 | Κάθοδος Ἡρακλειδῶν εἰς Πελοπόννησον, ἔτει ὀγδοηκοστῷ μετὰ τὴν Τροίας ἅλωσιν. | 351 | 1101 |
| 2880 | 294 | Πρῶτος Ἀθηναίων πρὸς Σπαρτιάτας πόλεμος, ἐν ᾧ Κόδρος, Ἀθηνῶν βασιλεὺς, θνήσκει ὑπὲρ τῆς πατρίδος. Σαοὺλ βασιλεύει πρῶτος ἐν Ἰσραήλ. | 318 | 1068 |

| Ἀπὸ κτίσεως κόσμου. ἔτει | Πρὸ τῆς πρώτης Ὀλυμπιάδος. | | Πρὸ κτίσεως Ῥώμης | Πρὸ Χριστοῦ |
|---|---|---|---|---|
| 2894 | 288 | Εἵλωτες ὑποταγέντες ὑπὸ Ἄγιδος, βασιλέως Σπάρτης. | 304 | 1055 |
| 2908 | 266 | Ἰώνων ἀποικία ἐν ἔτει 140 μετὰ τὴν Τροίας ἅλωσιν. | 290 | 1040 |
| | | **ΛΥΚΟΥΡΓΟΣ.** | | |
| 3045 | 129 | Ἐβίω κατὰ τοὺς χρόνους Ἐλισαίου τοῦ προφήτου. Κατὰ τοὺς αὐτοὺς ἤκμαζε καὶ Θαλῆς ὁ μουσικός. | 153 | 904 |
| 3174 | 1 | ΟΛΥΜΠΙΑΣ ΠΡΩΤΗ. | 25 | 774 |
| | Ὀλυμπιάδος ἔτει. | **ΡΩΜΥΛΟΣ.** | Ἀπὸ κτίσεως Ῥώμης. | |
| 3198 | 7-ά | Ῥώμης κτίσις ἐν ἔτει πρώτω τῆς ἑβδόμης Ὀλυμπιάδος. | | |
| 3201 | 7-δ́ | Σαβίνων ἁρπαγή. | 4 | 747 |
| 3235 | 16-ά | Ῥωμύλου θάνατος. | 38 | 713 |
| | | **ΝΟΥΜΑΣ.** | | |
| 3236 | 16-γ́ | Ἀναγορεύεται βασιλεύς. | 39 | 712 |
| 3279 | 27-β́ | Ἀποθνήσκει. | 82 | 669 |
| | | **ΣΟΛΩΝ.** | | |
| 3350 | 45-ά | Οὐκ ἀντιλέλεκται ὁ χρόνος, καθ' ὃν ἤκμασεν ὁ Σόλων· ἐβίω γὰρ ἐπὶ Πεισιστράτου τοῦ κατὰ τὴν πεντηκοστὴν Ὀλυμπιάδα τυραννήσαντος Ἀθηνῶν, πέντε καὶ εἴκοσι, ἢ τριάκοντα ἔτεσιν ἐκείνου πρεσβύτερος. Κύλωνος συνωμοσία. | 153 | 598 |

| Ἀπὸ κτίσεως κόσμου ἔτει. | Ὀλυμπιάδος. | | Ἀπὸ κτίσεως Ῥώμης | Πρὸ Χριστοῦ. |
|---|---|---|---|---|
| 3354 | 46-ά | Ἐπιμενίδου εἰς Ἀθήνας ἐπιδημία. Ἑπτὰ σοφοί. Αἴσωπος. Ἀνάχαρσης ὁ Σκύθης. | 157 | 594 |
| 3356 | 46-γ´ | Σόλων, Ἄρχων. Κροῖσος, βασιλεὺς Λυδίας. | 159 | 592 |
| 3370 | 50-ά | Πυθαγόρας παραγίνεται εἰς Ἰταλίαν. | 173 | 578 |
| 3391 | 55-β´ | Κῦρος, βασιλεὺς Περσῶν. | 194 | 557 |
| 3401 | 57-δ´ | Κροῖσος ἁλίσκεται. | 204 | 547 |

## ΟΥΑΛΕΡΙΟΣ ΠΟΠΛΙΚΟΛΑΑΣ.

| | | | | |
|---|---|---|---|---|
| 3442 | 68-ά | Ὕπατος ἀναδείκνυται ἀντὶ τοῦ Κολλατίνου. Μάχη Βρούτου καὶ Ἄρωνος τοῦ πρεσβυτέρου τῶν Ταρκυνίου παίδων, καὶ θάνατος ἀμφοτέρων. | 245 | 506 |
| 3444 | 68-γ´ | Ποπλικόλας ὕπατος τὸ τρίτον. Ὡράτιος ὁ συνάρχων αὐτῷ καθιεροῖ τὸν τοῦ Καπιτωλίου Διὸς ναόν. Κόκλιος Ὡράτιος ἀνθίσαται Τυῤῥηνοῖς περὶ τὴν ξυλίνην γέφυραν. | 247 | 504 |
| 3448 | 69-γ | Ποπλικόλα θάνατος. | 251 | 500 |
| 3459 | 72-ά | Κατὰ τοῦτο τὸ ἔτος γενέσθαι λέγεται καὶ ἡ ἐν Μαραθῶνι μάχη πρὸς τοὺς Πέρσας, ϛρατηγοῦντος Μελτιάδου· τὸ δ᾽ ἀληθὲς δυσὶν ἔτεσι νεωτέρα, δηλονότι ἐν ἔτει τρίτῳ τῆς ἑβδομηκοϛῆς δευτέρας Ὀλυμπιάδος γέγονε· ἐν ᾗ καὶ Θεμιστοκλῆς καὶ Ἀριστείδης ἠγωνίσαντο. | 262 | 489 |

## ΚΟΡΙΟΛΑΝΟΣ.

| | | | | |
|---|---|---|---|---|
| 3460 | 72-β´ | Φυγαδευθεὶς, διὰ τὸ τὸν ἐκ Σικελίας σῖτον μὴ ἐᾶσαι νεμηθῆναι τῷ δήμῳ, εἰς Οὐολούσκους καταφεύγει. | 263 | 488 |
| 3462 | 73-ά | Ἡροδότου γέννησις. | 265 | 486 |

| Ἀπὸ κτίσεως κόσμου ἔτει | Ὀλυμπιάδος. | | Ἀπὸ κτίσεως Ῥώμης. | Πρὸ Χριςοῦ |
|---|---|---|---|---|
| 3463 | 73-β | Κοριολάνος πολιορκεῖ Ῥώμην. Μητρὸς καὶ γυναικὸς δεήσεσιν ἐπικλασθεὶς λύει τὴν πολιορκίαν· ἀναιρεῖται καταλευσθεὶς ὑπὸ Οὐολούσκων. | 266 | 485 |
| | | **ΑΡΙΣΤΕΙΔΗΣ.** | | |
| 3467 | 74-β | Ἐξοςρακισθεὶς μεθίσταται τῶν Ἀθηνῶν, καὶ μετὰ τρία ἔτη κατέρχεται. | 270 | 481 |
| | | **ΘΕΜΙΣΤΟΚΛΗΣ.** | | |
| 3470 | 75-α | Ἡ ἐν Σαλαμῖνι μάχη, ἐν ᾗ ἡττᾶται Ξέρξης ὑπὸ Θεμιστοκλέους, στρατηγοῦντος Ἀθηναίων, καὶ Εὐρυβιάδου στρατηγοῦντος Λακεδαιμονίων. | 273 | 478 |
| 3471 | 75-β | Ἡ ἐν Πλαταιαῖς μάχη, ἐν ᾗ ἡττᾶται Μαρδόνιος ὑπ' Ἀριστείδου καὶ Παυσανίου. | 274 | 477 |
| 3474 | 76-α | Θουκυδίδου γέννησις. | 277 | 474 |
| 3479 | 77-β | Ἐξοστρακισμὸς Θεμιστοκλέους. | 282 | 469 |
| | | **ΚΙΜΩΝ.** | | |
| 3480 | 77-γ | Κίμων ὁ Μιλτιάδου, μικρῷ Θεμιστοκλέους νεώτερος, ναυμαχίᾳ καὶ πεζομαχίᾳ νικᾷ τοὺς Πέρσας ἐν τῇ Ἀσίᾳ. | 283 | 468 |
| 3481 | 77-δ | Σωκράτους γέννησις. Ἐβίωσεν ἔτη ἐν πρὸς τοῖς ἑβδομήκοντα. | 284 | 467 |
| 3500 | 82-γ | Κίμωνος θάνατος. Ἀλκιβιάδου γέννησις. Ἀκμάζουσιν Ἡρόδοτος, καὶ Θουκυδίδης, δυώδεκα ἢ τρισκαίδεκα ἔτεσιν Ἡροδότου νεώτερος. | 303 | 448 |

| Ἀπὸ κτίσεως κόσμου ἔτει. | Ὀλυμπιάδος. | | Ἀπὸ κτίσεως Ῥώμης. | Πρὸ Χριςοῦ. |
|---|---|---|---|---|
| | | **ΠΕΡΙΚΛΗΣ.** | | |
| 3519 | 87-β́ | Περικλῆς ὁ Ξανθίππου, ἐπίτροπος Ἀλκιβιάδου, διεγείρει τὸν Πελοποννησιακὸν πόλεμον, τὸν καὶ ἐπ' Ἀρχιδάμου καλούμενον, διὰ τὸ Ἀρχίδαμον τηνικαῦτα βασιλεύειν ἐν Σπάρτῃ. Ἦν δ' ὁ Περικλῆς κομιδῆ νέος, ἡνίκα οἱ δέκα ἄνδρες Ῥωμαίων εἰς Ἀθήνας παρεγένοντο, τοὺς Σόλωνος νόμους αἰτήσοντες. | 322 | 429 |
| 3521 | 87-δ́ | Περικλέους θάνατος. | 324 | 427 |
| 3522 | 88-ά | Πλάτωνος γέννησις. Ξέρξης ἀναιρεῖται ὑπ' Ἀρταβάνου. | 325 | 426 |
| | | **ΝΙΚΙΑΣ.** | | |
| 3535 | 91-β́ | Ἀθηναῖοι τὸν πρὸς Σικελιώτας πόλεμον ψηφίζονται, συμβουλεύοντος Ἀλκιβιάδου, ᾧ μάτην ἀντέλεγε Νικίας. | 338 | 413 |
| 3537 | 91-δ́ | Νικίας ἡττᾶται ἐν Σικελίᾳ καὶ ἁλοὺς, ἀναιρεῖται λίθοις. | 340 | 411 |
| | | **ΑΛΚΙΒΙΑΔΗΣ.** | | |
| 3538 | 92-ά | Νεώτερος Νικίου, ᾧ ἀντεπολιτεύσατο. Ἀρχομένου τοῦ Σικελικοῦ πολέμου διέβη εἰς Σπάρτην· ἔνθεν πρὸς Τισαφέρνην ἔφυγε τὸν Δαρείου σατράπην. | 341 | 410 |
| 3539 | 92-β́ | Διονύσιος ὁ πρεσβύτερος τυραννεῖ Συρακουσίων. | 342 | 409 |
| | | **ΛΥΣΑΝΔΡΟΣ.** | | |
| 3545 | 93-δ́ | Τὸν ἔτεσιν ἑπτὰ καὶ εἴκοσι διαρκέσαντα καταλύσας Πελοποννησιακὸν πόλεμον, τριάκοντα τυράννους Ἀθήνησι καθίστησι. | 348 | 403 |

| Ἀπὸ κτίσεως κόσμου ἔτει. | Ὀλυμπιάδος. | | Ἀπὸ κτίσεως Ῥώμης. | Πρὸ Χριστοῦ. |
|---|---|---|---|---|
| 3546 | 93-δ́ | Ξενοφῶν ἀκμάζει καθ' ὃν χρόνον καὶ Θουκυδίδης, καίπερ ὢν νεώτερος τούτου (ὥσπερ ἦν οὗτος Ἡροδότου). Ἄρχεται τῆς ἱστορίας ἐκεῖθεν ὅπου Θουκυδίδης τὴν ἰδίαν ἐπέραινεν· ὥστε τὴν ὅλην Ἑλληνικὴν ἱστορίαν ὑπὸ τριῶν τούτων ἐξῆς γεγονότων συντετελέσθαι. | 348 | 403 |
| 3548 | 94-ά | Ἀλκιβιάδης Φαρναβάζου βουλῇ κτείνεται | 349 | 402 |
| | | **ΑΡΤΑΞΕΡΞΗΣ ΜΝΗΜΩΝ.** | | |
| 3549 | 94-δ́ | Υἱὸς Δαρείου, καὶ ἀδελφὸς Κύρου τοῦ νεωτέρου. Βασιλεύειν ἤρξατο, ἡνίκα Λύσανδρος Ἀθήνας εἷλε. Νικᾷ Κῦρον τὸν ἀδελφὸν μάχῃ. | 352 | 399 |
| 3550 | 95-ά | Σωκράτους θάνατος. | 353 | 398 |
| | | **ΑΓΗΣΙΛΑΟΣ.** | | |
| 3553 | 95-δ́ | Λυσάνδρου τοῦ ἑταίρου νεώτερος. Βασιλεύει Σπάρτης, Ἄγιδος τοῦ ἀδελφοῦ τελευτήσαντος. | 356 | 395 |
| 3554 | 96-ά | Πέμπεται Λύσανδρος ὑπ' Ἀγησιλάου ἐφ' Ἑλλήσποντον. | 357 | 394 |
| 3555 | 96-β́ | Τρέπει μάχῃ τὸ Περσῶν ἱππικὸν Ἀγησίλαος. Λυσάνδρου θάνατος. | 358 | 393 |
| 3561 | 97-δ́ | Ἡττῶνται Ῥωμαῖοι ὑπὸ Γαλατῶν παρὰ τὸν ποταμὸν Ἀλλίαν. | 364 | 387 |
| | | **ΚΑΜΙΛΛΟΣ.** | | |
| 3562 | 98-ά | Καταφεύγει ἐπὶ τὴν Ἀρδεατῶν πόλιν. | 365 | 386 |
| 3566 | 99-ά | Ἀριστοτέλους γέννησις. | 369 | 382 |
| 3569 | 99-δ́ | Δημοσθένους γέννησις. | 372 | 379 |
| 3574 | 101-ά | Νικᾷ Λακεδαιμονίους Χαβρίας. | 377 | 374 |
| | | | | 3579 |

| Ἀπὸ κτίσεως κόσμου. | Ὀλυμπιάδος ἔτει. | | Ἀπὸ κτίσεως Ῥώμης. | Πρὸ Χριςοῦ |
|---|---|---|---|---|
| 3579 | 102-β | Ἀθηναίων καὶ Λακεδαιμονίων εἰρήνη. Τῷ αὐτῷ ἔτει ἡ ἐν Λεύκτροις μάχη· ἐν ᾗ Λακεδαιμόνιοι, ἡγουμένου Κλεομβρότου, ἡττῶνται ὑπὸ Θηβαίων, ἡγουμένου Ἐπαμινώνδου. Θνήσκει Κλεόμβροτος ἐν τῇ μάχῃ. | 382 | 369 |

ΠΕΛΟΠΙΔΑΣ.

| | | | | |
|---|---|---|---|---|
| 3580 | 102-γ | Στρατηγὸς Θηβαίων· ἡγεῖτο τοῦ ἱεροῦ λόχου κατὰ τὴν ἐν Λεύκτροις μάχην. | 383 | 368 |
| 3582 | 103-α | Θάνατος τοῦ ἐν Σικελίᾳ τυράννου Διονυσίου τοῦ πρεσβυτέρου· ὃν διαδέχεται ὁ υἱὸς, Διονύσιος ὁ νεώτερος. | 385 | 366 |
| 3584 | 103-γ | Ἀκμάζει Ἰσοκράτης, Πλάτωνος νεώτερος. | 387 | 364 |

ΤΙΜΟΛΕΩΝ.

| | | | | |
|---|---|---|---|---|
| 3585 | 103-δ | Κτείνει τὸν ἀδελφὸν Τιμοφάνην Κορινθίων τυραννοῦντα. | 388 | 363 |
| 3586 | 104-α | Πελοπίδας Ἀλέξανδρον τὸν Φεραῖον τρέψας ἐν Θεσσαλίᾳ, θνήσκει ἐν αὐτῇ τῇ μάχῃ. | 389 | 362 |
| 3587 | 104-β | Ἡ ἐν Μαντινείᾳ μάχη, ἐν ᾗ νικήσας Ἐπαμινώνδας, θνήσκει ὅμως ὑπὸ τοῦ υἱοῦ Ξενοφῶντος τοῦ Ἱςορικοῦ. | 390 | 361 |
| 3588 | 104-γ | Θάνατος Καμίλλου. | 391 | 360 |
| 3589 | 104-δ | Θάνατος Ἀρταξέρξου, καὶ Ἀγησιλάου. | 392 | 459 |

ΔΙΩΝ.

| | | | | |
|---|---|---|---|---|
| 3593 | 105-δ | Καθαιρεῖ καὶ τῆς Σικελίας ἐκβάλλει Διονύσιον τὸν τύραννον. | 396 | 355 |
| 3594 | 106-α | Ἀλεξάνδρου τοῦ μεγάλου γέννησις. | 397 | 354 |
| 3596 | 106-γ | Φονεύεται Δίων ὑπὸ Καλλίππου. | 399 | 352 |

| Ἀπὸ κτίσεως κόσμου. | Ὀλυμπιάδος ἔτει. | | Ἀπὸ κτίσεως Ῥώμης | Πρὸ Χριστοῦ. |
|---|---|---|---|---|
| | | **ΔΗΜΟΣΘΕΝΗΣ.** | | |
| 3598 | 107-ά | Ἄρχεται τῶν κατὰ Φιλίππου δημηγορεῶν. | 401 | 350 |
| 3602 | 108-ά | Θάνατος Πλάτωνος. | 405 | 346 |
| 3605 | 108-δ´ | Στέλλεται Συρακουσίοις βοηθήσων εἰς Σικελίαν Τιμολέων. | 408 | 343 |
| 3607 | 109-β´ | Πέμπεται εἰς Κόρινθον Διονύσιος ὁ νεώτερος. | 410 | 341 |
| 3609 | 109-δ´ | Ἐπικούρου γέννησις. | 412 | 339 |
| 3610 | 110-ά | Νικᾷ μάχῃ Καρχηδονίους Τιμολέων. | 413 | 338 |
| 3612 | 110-γ´ | Ἡ ἐν Χαιρωνείᾳ μάχη, ἐν ᾗ Ἀθηναῖοι καὶ Θηβαῖοι ἡττῶνται ὑπὸ Φιλίππου. Ἐν ταύτῃ καὶ Ἀλέξανδρος, ὁ υἱὸς αὐτοῦ, θατέρου τῶν κεράτων ἡγεῖτο. | 415 | 336 |
| 3613 | 110-δ´ | Θάνατος Τιμολέοντος. | 416 | 335 |
| | | **ΑΛΕΞΑΝΔΡΟΣ Ο ΜΕΓΑΣ.** | | |
| 3614 | 111-ά | Τοῦ πατρὸς ἀποθανόντος, ἡγεμὼν ἁπάντων Ἑλλήνων ἀποδείκνυται ἐν τῷ πρὸς τοὺς Πέρσας πολέμῳ. | 417 | 334 |
| 3616 | 111-γ´ | Ἡ ἐν Γρανικῷ μάχη. | 419 | 332 |
| 3619 | 112-β´ | Ἡ ἐν Ἀρβήλοις μάχη. | 422 | 329 |
| 3623 | 113-β´ | Ἧττα Πώρου. | 426 | 325 |
| 3627 | 114-ά | Ἀλεξάνδρου θάνατος. | 430 | 321 |
| | | **ΦΩΚΙΩΝ.** | | |
| 3632 | 115-γ´ | Καταφεύγει ἐπὶ Πολυπέρχοντα· ὑφ᾽ οὗ προδοθεὶς Ἀθηναίοις ἀναιρεῖται. | 435 | 316 |
| | | **ΕΥΜΕΝΗΣ.** | | |
| 3634 | 116-ά | Τῶν Ἀλεξάνδρου στρατηγῶν σχεδὸν πρῶτος, στρατευσάμενος καὶ ὑπὸ Φιλίππῳ. Προδοθεὶς Ἀντιγόνῳ ἀναιρεῖται. | 437 | 314 |

ΒΙΒΛΙΟΘΗΚΗ ... ΒΕΝΙΑΜΙΝ ... ΛΕΣΒΟΥ ... 1876

| Ἀπὸ κτίσεως κόσμου. | Ὀλυμπιάδος ἔτει. | | Ἀπὸ κτίσεως Ῥώμης. | Πρὸ Χριστοῦ. |
|---|---|---|---|---|

## ΔΗΜΗΤΡΙΟΣ.

| | | | | |
|---|---|---|---|---|
| 3636 | 116-γ' | Ὁ ἐπονομασθεὶς Πολιορκητής, υἱὸς Ἀντιγόνου, Στρατηγὸς ὑπὸ τοῦ πατρὸς ἀναδείκνυται τῆς ἐν Συρίᾳ στρατιᾶς, οὔπω εἰκοστὸν καὶ δεύτερον ἔτος γεγονώς. | 439 | 312 |
| 3643 | 118-β' | Ἐλευθεροῖ τὰς Ἀθήνας. | 446 | 305 |

## ΠΥΡΡΟΣ.

| | | | | |
|---|---|---|---|---|
| 3670 | 125-α' | Βασιλεὺς Ἠπείρου, κατὰ τοὺς αὐτοὺς Δημητρίῳ χρόνους ζήσας. Εἰς Ἰταλίαν διαβάς, Λαιβίνον τὸν Ὕπατον μάχῃ νικᾷ. | 473 | 278 |
| 3685 | 128-δ' | Πρῶτος πόλεμος Καρχηδόνιος, ἔτη διαμείνας εἴκοσι πρὸς τοῖς τέσσαρσι. | 488 | 263 |
| 3696 | 131-γ' | Φιλοποίμενος γέννησις. | 499 | 252 |

## ΑΡΑΤΟΣ.

| | | | | |
|---|---|---|---|---|
| 3699 | 132-α' | Ὁ Σικυώνιος, ἐλευθεροῖ τὴν πατρίδα τῆς Νικοκλέους τυραννίδος. | 502 | 249 |

## ΑΓΙΣ ΚΑΙ ΚΛΕΟΜΕΝΗΣ.

| | | | | |
|---|---|---|---|---|
| 3723 | 138-β' | Κατὰ τοὺς αὐτοὺς Ἀράτῳ βιώσαντες χρόνους. Ἄρατον Κλεομένης μάχῃ νικᾷ. | 526 | 225 |

## ΦΙΛΟΠΟΙΜΗΝ.

| | | | | |
|---|---|---|---|---|
| 3727 | 139-β' | Ἔτος ἡλικίας ἦγε τριακοστόν, ἡνίκα Κλεομένης Μεγαλόπολιν εἷλε. Κατὰ τοὺς αὐτοὺς χρόνους ἤκμαζον Ἀννίβας, Μάρκελλος, Φάβιος Μάξιμος, Σκιπίων ὁ Ἀφρικανός. | 530 | 221 |

| Ἀπὸ κτίσεως κόσμου | Ὀλυμπιάδος ἔτει. | | Ἀπὸ κτίσεως Ῥώμης. | Πρὸ Χριστοῦ. |
|---|---|---|---|---|
| 3731 | 140-β́ | Δεύτερος πόλεμος Καρχηδόνιος ἔτη διαμείνας ὀκτωκαίδεκα. | 534 | 217 |
| 3733 | 140-δ́ | Ἀννίβας νικᾷ Φλαμίνιον τὸν Ὕπατον περὶ τὴν Θρασυμένην Λίμνην. | 536 | 215 |
| 3734 | 141-ά | Καὶ Βάῤῥωνα καὶ Αἰμίλιον τοὺς Ὑπάτους περὶ τὰς Κάννας. | 537 | 214 |
| 3736 | 141-γ́ | Ἡττᾶται ὑπὸ Μαρκέλλου. | 539 | 212 |
| 3738 | 142-ά | Μάρκελλος αἱρεῖ Συρακούσας. | 541 | 210 |
| 3741 | 142-δ́ | Φάβιος Μάξιμος αἱρεῖ τὴν Ταραντίνων πόλιν ἐκ προδοσίας. | 544 | 207 |
| 3747 | 144-β́ | Θάνατος Φαβίου Μαξίμου. | 550 | 201 |
| 3749 | 144-δ́ | Σκιπίωνος θρίαμβος ἀπὸ Λιβύων. | 552 | 199 |

## Τ. ΚΟΙΝΤΙΟΣ ΦΛΑΜΙΝΙΝΟΣ.

| | | | | |
|---|---|---|---|---|
| 3752 | 145-γ́ | Ὑπατεύει οὔπω τριακοστὸν ἔτος ἄγων. | 555 | 196 |

## ΚΑΤΩΝ Ο ΠΡΕΣΒΥΤΕΡΟΣ

Κατὰ τοὺς αὐτοὺς Φαβίῳ Μαξίμῳ γεγονὼς χρόνους· συνῆν γὰρ Φαβίῳ τὴν Ταραντίνων αἱροῦντι πόλιν, ἔτη γεγονὼς ὁμοῦ τι δύο πρὸς τοῖς εἴκοσι.

| | | | | |
|---|---|---|---|---|
| 3754 | 146-ά | Τ. Κοίντιος Φλαμίνιος ἐλευθεροῖ τὴν Ἑλλάδα ἅπασαν. | 557 | 194 |
| 3755 | 146-β́ | Τ. Κ. Φλαμινίνου θρίαμβος ἀπ' Ἰβηρίας. | 558 | 193 |
| 3766 | 149-ά | Θάνατος Σκιπίωνος τοῦ Ἀφρικανοῦ. | 569 | 182 |
| 3767 | 149-β́ | Θάνατος Φιλοποίμενος. Τῷ αὐτῷ ἔτει ὑπατεύει τὸ πρῶτον. | 570 | 181 |

## ΑΙΜΙΛΙΟΣ ΠΑΥΛΟΣ.

Υἱὸς Λευκίου Αἰμιλίου τοῦ ἡττηθέντος ἐν Κάνναις ὑπ' Ἀννίβου.

| Ἀπὸ κτίσεως κόσμου. | Ὀλυμπιάδος ἔτει. | | Ἀπὸ κτίσεως Ῥώμης. | Πρὸ Χριστοῦ. |
|---|---|---|---|---|
| 3782 | 153-ά | Ὑπατεύων τὸ δεύτερον νικᾷ καὶ ζωγρεῖ Περσέα τὸν Μακεδόνων βασιλέα. Κατὰ τούτους τοὺς χρόνους ἐβίω καὶ Ἰούδας ὁ Μακαβαῖος· ἤκμαζε δὲ καὶ ὁ Τερέντιος. | 585 | 166 |
| 3790 | 155-ά | Θάνατος Αἰμιλίου Παύλου. | 593 | 158 |
| 3794 | 156-ά | Μαρίου γέννησις. | 597 | 154 |
| 3801 | 157-δ́ | Τρίτος πόλεμος Καρχηδόνιος τετραετής. | 604 | 147 |
| 3804 | 158-γ́ | Σκιπίων ὁ νεώτερος, υἱὸς Αἰμιλίου Παύλου, καθαιρεῖ Καρχηδόνα. | 607 | 144 |

## Τ. ΚΑΙ Γ. ΓΡΑΚΧΟΙ.

| | | | | |
|---|---|---|---|---|
| 3827 | 164-β́ | Γ. Γράκχου νόμοι. | 630 | 121 |

## ΜΑΡΙΟΣ.

| | | | | |
|---|---|---|---|---|
| 3843 | 168-β́ | Εἰς Λιβύην στέλλεται ἐπὶ τὸν κατὰ Ἰουγούρθα πόλεμον. Κικέρωνος γέννησις. | 646 | 105 |
| 3844 | 168-γ́ | Πομπηΐου γέννησις. | 647 | 104 |
| 3846 | 169-ά | Μάριος ὑπατεύων τὸ δεύτερον στρατεύεται κατὰ Κίμβρων. | 649 | 102 |
| 3850 | 170-ά | Γεννᾶται Ἰούλιος Καῖσαρ, ὑπατεύοντος τὸ ἕκτον Μαρίου. | 653 | 98 |

## ΣΥΛΛΑΣ.

| | | | | |
|---|---|---|---|---|
| 3855 | 171-β́ | Στέλλεται μεθ' ἣν ἦρξε πολιτικὴν στρατηγίαν ἐπὶ Καππαδοκίαν. | 658 | 93 |
| 3862 | 173-ά | Καταλαμβάνει τὴν Ῥώμην. | 665 | 86 |
| 3863 | 173-β́ | Αἱρεῖ τὰς Ἀθήνας. Τῷ αὐτῷ ἔτει καὶ Μάριος τελευτᾷ. | 666 | 85 |

## ΣΕΡΤΩΡΙΟΣ.

| | | | | |
|---|---|---|---|---|
| 3867 | 174-β́ | Στέλλεται εἰς Ἰβηρίαν. | 670 | 81 |

| Ἀπὸ κτίσεως κόσμου. | Ὀλυμπιάδος ἔτει. | | Ἀπὸ κτίσεως Ῥώμης. | Πρὸ Χριστοῦ. |
|---|---|---|---|---|
| 3868 | 174-γ | Νικᾷ Μάριον τὸν νεώτερον· εἶτα τρέψας Τελεσῖνον ἐπὶ πύλαις τῆς Ῥώμης, εἰς τὴν πόλιν εἰσέρχεται, καὶ Δικτάτωρ ἀποδειχθεὶς, πολλὰ καὶ δεινὰ Ῥωμαίους ἐργάζεται. | 671 | 80 |

## ΜΑΡΚΟΣ ΚΡΑΣΣΟΣ.

Πλουτεῖ πορισάμενος ἐκ τῶν τοῦ Σύλλα προγραφῶν καὶ δημεύσεων. Ἦν Πομπηίου νεώτερος.

## ΠΟΜΠΗΙΟΣ.

| | | | | |
|---|---|---|---|---|
| 3869 | 174-δ | Εἰκοστὸν πέμπτον ἔτος γεγονὼς πέμπεται εἰς Λιβύην, ἔνθα νικᾷ Δομίτιον. | 672 | 79 |

## ΚΑΤΩΝ Ο ΝΕΩΤΕΡΟΣ.

Πομπηίου νεώτερος, ἐπεὶ τεσσαρεσκαιδέκατον ἦγεν ἔτος, ὅτε Σύλλας ἤκμαζεν ὠμότητι.

## ΚΙΚΕΡΩΝ.

| | | | | |
|---|---|---|---|---|
| 3870 | 175-α | Συνηγορεῖ Ῥοσκίῳ, ᾧ λάθρα Σύλλας ἐπεβούλευε. | 673 | 78 |
| 3871 | 175-β | Σύλλας ἀποδύεται τὴν δικτατορικὴν ἀρχὴν, καὶ τῷ ἑξῆς ἔτει θνήσκει. | 674 | 77 |
| 3874 | 176-α | Πομπήιος ἐν Ἰσπανίᾳ πολεμεῖ πρὸς Σερτώριον. | 677 | 74 |

## ΛΟΥΚΟΥΛΛΟΣ.

| | | | | |
|---|---|---|---|---|
| 3877 | 176-δ | Πέμπεται μετὰ τὴν ὑπατείαν κατὰ Μιθριδάτου. | 680 | 71 |
| 3879 | 177-β | Σερτώριος φονεύεται ἐν Ἰσπανίᾳ. Κράσσος συνυπατεύει Πομπηίῳ. | 682 | 69 |

| Ἀπὸ κτίσεως κόσμου. | Ὀλυμπιάδος ἔτει. | | Ἀπὸ κτίσεως Ῥώμης. | Πρὸ Χριστοῦ. |
|---|---|---|---|---|
| 3881 | 177-δ´ | Τιγράνης ἡττᾶται ὑπὸ Λουκούλλου. | 684 | 67 |
| 3887 | 179-β´ | Θάνατος Μιθριδάτου. Πομπήϊος ἐκπορθεῖ τὸν ἐν Ἱεροσολύμοις ναόν. Γέννησις Αὐγούστου. | 690 | 61 |

## ΙΟΥΛΙΟΣ ΚΑΙΣΑΡ.

| | | | | |
|---|---|---|---|---|
| 3891 | 180-β´ | Συνυπατεύων τῷ Βίβλῳ, λαμβάνει τῶν ἐπαρχιῶν τὴν ἐκτὸς καὶ τὴν ἐντὸς Ἄλπεων Κελτικήν, πρὸς δὲ καὶ τὴν Ἰλλυρίαν, μετὰ τεσσάρων ταγμάτων. Ἐκδίδωσι Πομπηΐῳ τὴν θυγατέρα Ἰουλίαν. | 694 | 57 |
| 3897 | 181-δ´ | Κράσσος ζωγρεῖται καὶ ἀναιρεῖται ὑπὸ Πάρθων. | 700 | 51 |
| 3902 | 183-α´ | Καῖσαρ νικᾷ Πομπήϊον ἐν Φαρσάλῳ. Φυγὴ Πομπηΐου εἰς Αἴγυπτον, καὶ θάνατος. | 705 | 46 |
| 3903 | 183-β´ | Καῖσαρ, Ἀλεξάνδρειαν ἑλὼν, καὶ τῆς Αἰγύπτου κρατήσας διαβαίνει ἐκεῖθεν εἰς Συρίαν, καὶ νικᾷ μάχῃ Φαρνάκην τὸν βασιλεύοντα Πόντου. | 706 | 45 |
| 3904 | 183-γ´ | Νικᾷ Ἰόβαν, Σκιπίωνα καὶ Πετρήϊον ἐν Λιβύῃ, καὶ κατάγει θριάμβους τέσσαρας. Κάτων αὐτοχειρίᾳ τελευτᾷ. | 707 | 44 |
| 3905 | 183-δ´ | Νικᾷ ἐν Ἰβηρίᾳ περὶ Μοῦνδαν Πόλιν τοὺς Πομπηΐου παῖδας. Τούτων, ὁ μὲν Γναῖος ἐν τῇ μάχῃ πίπτει· ὁ δὲ Σέξτος εἰς Σικελίαν φεύγει. Θριαμβεύει τὸ πέμπτον ὁ Καῖσαρ. | 708 | 43 |

## ΒΡΟΥΤΟΣ.

| | | | | |
|---|---|---|---|---|
| 3906 | 184-α´ | Κτείνεται Καῖσαρ ὑπὸ Βρούτου καὶ Κασσίου. | 709 | 42 |
| 3907 | 184-β´ | Διαβαίνει Βροῦτος εἰς Μακεδονίαν. | 710 | 41 |

Θ θ 4

| Ἀπὸ κτίσεως κόσμου. | Ὀλυμπιάδος ἔτει. | | Ἀπὸ κτίσεως Ῥώμης. | Πρὸ Χριστοῦ. |
|---|---|---|---|---|
| | | **ΜΑΡΚΟΣ ΑΝΤΩΝΙΟΣ.** | | |
| | | Τῷ αὐτῷ ἔτει ἡττᾶται περὶ πόλιν Μυτίνην Ἀντώνιος ὑπ' Αὐγούστου. | | |
| | | Καταφεύγει πρὸς Λέπιδον. Τριαρχία Αὐγούστου Λεπίδου καὶ Ἀντωνίου, διανειμαμένων τὴν σύμπασαν ἀρχὴν ἐν ἀλλήλοις. | | |
| 3908 | 184-γ | Η ἐν Φιλίπποις μάχη, ἐν ᾗ Βροῦτος καὶ Κάσσιος ἡττηθέντες ὑπ' Αὐγούστου καὶ Ἀντωνίου, αὐτοχειρίᾳ τελευτῶσι. | 711 | 40 |
| 3909 | 184-δ | Ἀντώνιος συνθήκας ποιεῖται πρὸς Σέξτον Πομπήϊον κατὰ τοῦ Αὐγούστου. | 712 | 39 |
| 3910 | 185-ά | Ἀντώνιος, ἀποθανούσης αὐτοῦ τῆς γυναικὸς Φουλβίας, διαλύεται πρὸς Αὔγουστον, καὶ γαμεῖ τὴν ἀδελφὴν αὐτοῦ Ὀκταβίαν. | 713 | 38 |
| 3918 | 187-ά | Νέου πολέμου ἀφορμαὶ Αὐγούστῳ καὶ Ἀντωνίῳ. | 721 | 30 |
| 3919 | 187-β | Η ἐν Ἀκτίῳ μάχη· ἐν ᾗ ἡττηθεὶς Ἀντώνιος ὑπ' Αὐγούστου, φεύγει μετὰ Κλεοπάτρας εἰς Αἴγυπτον. | 722 | 29 |
| 3920 | 187-γ | Αὔγουστος αἱρεῖ Ἀλεξάνδρειαν. Ἀντώνιος καὶ Κλεοπάτρα αὐτοχειρίᾳ τὸν βίον τελευτῶσι. | 723 | 28 |
| | | **ΓΑΛΒΑΣ.** | | Ἀπὸ Χριστοῦ. |
| 3947 | 194-β | Γεννᾶται τῷ αὐτῷ ἔτει, ἐν ᾧ καὶ Ἰησοῦς ὁ Χριστός. | 750 | 1 |
| 3981 | 202-δ | Ὄθωνος γέννησις. | 784 | 34 |
| 3982 | 203-ά | Ὑπατεία Γάλβα. | 785 | 35 |
| 4018 | 211-δ | Ἀπόστασις Οὐίνδικος. Νέρων φονεύεται. Γάλβας ἀναγορεύεται αὐτοκράτωρ. | 820 | 70 |

| Ἀπὸ κτίσεως κόσμου. | Ὀλυμπιάδος ἔτει. | | Ἀπὸ κτίσεως Ῥώμης. | Ἀπὸ Χριστοῦ. |
|---|---|---|---|---|
| | | **Ο Θ Ω Ν.** | | |
| 4019 | 212-ά | Ἀποστατεῖ τοῦ Γάλβα ὁ Ὄθων· ἀναγορεύεται αὐτοκράτωρ, φονευθέντος τοῦ Γάλβα, καὶ μετὰ τρεῖς μῆνας ἡττηθεὶς ὑπὸ Οὐϊτελλίου ἑαυτὸν ἀναιρεῖ. | 821 | 71 |

ΛΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" • ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878 •

ΛΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

# ΠΙΝΑΞ.

## ΕΛΛΗΝΙΚΩΝ ΛΕΞΕΩΝ.

### ΑΒ—ΑΝ


Αβάκης. 363.
'Αβλαβής. Ζ. Ἡδοναί.
'Αβουλία. 404.
*'Αγαθοκλῆς. 350.
'Αγαπᾶν. 387.
'Αγεννῶς. Ζ. 'Ατενῶς.
*'Αγίας. 414.
'Αγοραίως. 361.
'Αγοράσθαι ἔπος μέγα. 426.
*Ἄγρα καὶ Ἄγραι. Τὰ πρὸς Ἄγραν. 337.
*'Αγρίππας. 384.
'Αγριώνια. 360.
'Αγριώνιος. 360.
'Αγρός. Ζ. Ἐπιπορεύεσθαι.
'Αγχώμαλος. 471.
'Αδηφαγία. 434.
'Αεὶ (ὁ) ςρατηγῶν. 438.
*'Αέροπος. 332.
'Αετός. 471. Ζ. Καὶ Ἐναντίων.
'Αθροίζειν ἐκ παραγγέλματος ςρατιάν. 444.
Αἰγύπτιοι τροχοί. 477.
*Αἰνέβαρβος. 384.
Αἵρεσθαι. Ζ. Δύναμις, καὶ Πόλεμος.
Αἰωρεῖσθαι. 450. Αἰωρουμένη ςρατιά. 363.
Αἰώρησις. 450.
'Ακατάβρυςα θηρία. 393.
'Ακέςρια. 454.
'Ακριβέςερον τῆς ἁπάσης ἀκριβείας. 330.
*'Ακτή. 439, 416.
*'Αλαί. 379.
*Ἅλας. 410.
*'Αλέξανδρος. 381.
*'Αλέξανδρος ὁ Φεραῖος. 451.
*'Αλεξᾶς. 378, 380.
'Αλλόκοτος. 469.
*'Αλφηνός. 470.
*'Αλώπεκος. 482.
*'Αμανός. 351.
'Αμείβω. Ζ. Μορφήν.
Ἄμη. 435.
'Αμήχανος. 433.
Ἅμιλλα. 435.
'Αμιλλᾶν. 'Αμιλλᾶσθαι. 435.
'Αμιμητόβιος. 363.
*'Αμοιβέας, ἢ 'Αμοιβεύς. 440.
'Αμοιβὴ ὀχημάτων. 454.
'Αμφίγονος. 384.
'Αναγκαῖον ἦμαρ. 386. Ζ. Καὶ Τυχη, καὶ Βρῶσις.
'Ανάδοχος. 395.
'Αναζευγνύναι. 342.

Ἀνάζευξις. 343.
Ἀναζυγή. 342.
Ἀναιδὼν (τῶν) ἀναιδέστερος. 330.
Ἀναλύω. 344. — Ἀπὸ δείπνου. 487.
Ἀναμάχεσθαι. 394.
Ἀνάπνευσις. 340.
Ἀναπνοή. 340.
Ἀναπτοοῦμαι. 402.
Ἀναστέλλομαι. 402.
Ἀνατολή. Ζ. Ἀποστρέφομαι.
Ἀναφέρω. 332.
Ἀναχαιτίζειν τῶν πραγμάτων. 359.
*Ἀνδρία. 438.
Ἀνέθηκε. Ζ. Ἐνέθηκε.
Ἀνειπεῖν. 456.
Ἀνεκπλήκτως. 463.
Ἀνηθοποίητος. Ζ. Λόγος.
Ἀνιαρός. Ζ. Ἄρης.
Ἀνιγρός. Ζ. Ἄρης.
Ἀνιεὶς τὴν πορείαν. 436.
Ἀνοήτως διακεῖσθαι. 352.
*Ἀντίκυρα. 335, 378.
*Ἄντυλλος. 363.
*Ἀντώνιος. 354, 384.
Ἄνωθεν. Ζ. Ἔξωθεν.
*Ἄξιος. 347.
Ἀξίωσις. Ζ. Ἔγγραφος.
Ἀπαλείψουσι. Ζ. Ἀπολείψουσι.
*Ἀπάμα. 339.
Ἀπαμβλίσκειν. Ζ. Καρπούς.
Ἀπαράσσω, ἢ Ἀποῤῥάσσω. 484.
Ἀποῤῥίπτω, ἀπεῤῥιμμένος. 411.
Ἀποστρέφομαι, ἀπέστραπται τὰς ἀνατολάς. 476.
Ἁπλοκύων. 421, 422.
Ἁπλοῦς. Ζ. Βιβλίον.
Ἀποβάλλειν ὑπό. 421.
Ἀποδαρθεῖν. 398.
Ἀπόδειξις. Ζ. Γραμμική.
Ἀποκαίει καὶ Ἐπικαίει τὸ ψῦχος. 330.
Ἀποκόπτειν συγκέχ. τῷ Ἀποκρύπτειν. 428, 466.
Ἀπολείψουσι συγκέχ. τῷ Ἀπαλείψουσι. 432.
*Ἀπολλώνιος. 416.
Ἀποῤῥάσσω. Ζ. Ἀπαράσσω.
Ἀποστασία. 451.
Ἀποτρυχόω, ἀποτετρυχωμένος. 368.
Ἀποτίθεσθαι τὸ ἐλπίζειν. 379.
Ἀποτυμπανίζεσθαι. 400.
Ἀποφέρω. Ζ. Ὀγδόας καὶ Τέταρτα.
Ἄπρακτος. 332.
*Ἄρατος. 433.
*Ἀργεῖος. 466.
Ἀργύρια βασιλικά. 479.
*Ἄρης ἀνιαρός, ἢ ἀνιγρός. 386.
*Ἀρίμινον. 486.
*Ἀριοβαρζάνης. 327.
*Ἀρκάδιος. 466.
*Ἀρταουάσδης. 367.
*Ἀρτώριος. 359.
*Ἀρχέδημος. 395.
Ἀρχὴ συγκέχ. τῷ Γραφῇ. 478.
*Ἀρχίλοχος. 436.
*Ἀσιατικός. 461.
Ἀσάθμητος. Ζ. Φορά.
Ἄστικτον χωρίον. 478.
Ἀστράγαλος. 444.

*Ἀσώπιος κόλπος. 478.
Ἀταμιεύτως. 445.
Ἀτενῶς συγκέχ. τῷ Ἀγεννῶς. 465.
*Ἀτίλιος Βιργιλίων. 465.
Ἀτρεμεῖν συγκέχ. τῷ Ἀτολμεῖν. 432.
*Ἀτροπατηνή. 368.
*Ἀττίας. 364.
*Ἀττικός. 465.
Αὔγουρες [Augures]. 355.
Αὐθάδεια ἐρημία συνοικοῦσα. 390.
Αὐτὸς ἀφ' ἑαυτοῦ. 341.
Αὐτοτελῶς. 328.
Ἀφὴ ἄφυκτος. 363.
Ἀφής. 363.
Ἀφιδρῦω. 419.
Ἀφιέναι μεγάλας πράξεις ἐκ τῶν χειρῶν. 387. Ζ. καὶ Λόγον.
Ἀφιππεύω. 416.
Ἄφρακτος. 417.
Ἄφυκτος. Ζ. Ἀφή.
Ἀχάνη. 436.
Ἀχαρίστερος. 326.

B.

Βάθος. Ζ. Βάρος.
Βαθύς. Ζ. Πάχνη.
*Βαμβύκη. 367.
Βαρβαρικός. Ζ. Δεσμωτήρια.
Βάρος συγκέχ. τῷ Βάθος. 402.
Βασίλειον τῆς ψυχῆς. 392.
*Βασίλειος ςοά. 479.
Βασιλεὺς σατύρων. 480.
Βασιλικά. Ζ. Ἀργύρια.
Βασιλικὴ [Basilica]. 479.
*Βάταβοι, ἢ μᾶλλον Βαταῦοι [Batavi]. 470.
Βαφὴ διὰ μέλιτος. 483.
Βελτιοῦμαι. 350.
*Βητριακόν. 470.
Βιβλίον ἁπλοῦν. 373.
*Βίβλος. 414.
Βίον ἐπιδανείζεσθαι. 421.
*Βιψανία παςάς. 465.
Βολίς. 327.
*Βόττεια. 482.
Βουλιμιᾶν. 419.
Βραχία. 437.
Βρεντάγιορ. 445.
Βρέτας. 445.
*Βρίγες. 428.
*Βριξίλλον [Brixillum]. 469, 470.
*Βροῦτος. 410.
*Βρύσων. 396.
Βῶτις ἀναγκαία. 350.
*Βυλλίς. 420.

Γ.

*Γάϊος Ἀκυλάριος. 414.
Γαῖσον καὶ Γαισός. 378.
*Γαλάτης. 446.
Γαμβρός. 340.
*Γανύσιος. Ζ. Τανύσιος.
Γὰρ (σύνδεσμος) ὑπερθετικοῖς ὀνόμασιν ἑπόμενος. 325.
*Γελλιανός. 455.
Γέλως λαμβάνει. 447.
Γένεσις. 365.
Γερμανικός. 462.
**Γερράδερμοι. 483.

Γῆ. Ζ. Ὀλυμπία.
Γίνεσθαι πρός τινι. 433. Ζ. καὶ Εἶναι.
*Γλαῦκος. 388.
Γλυκύπικρος. 335.
Γράμμα. 417.
Γραμμικὴ ἀπόδειξις. 481.
Γραφ.. 419. Ζ. καὶ Ἀρχή.
*Γύκτα. 403.
Γυμνασιαρχική. Ζ. Ῥάβδος.

Δ.

Δαίμων. Ζ. Σύν.
*Δαιτεύς. 449.
Δεδιττόμενος. 439.
Δεήσεων (ὁ ἐπὶ τῶν). 317.
Δεῖπνον. Ζ. Ἀνκλύω.
Δεκιης [ Decies ] 355.
Δεξιὰν καταπέμπειν. 367.
Δέρμα. 398.
*Δέτιος. Ζ. Δαίσιος.
Δετμωτήρια βαρβαρικά. 488.
*Δηιόταρος. 375, 412.
*Δημήτριος. 323, 3 7.
Δημιουργός. 447.
*Δημώ. 335, 337.
Διάγγελος. 4 3.
Διαγων ή. 332.
Διαδηματοφόρος. Ζ. Καυσία.
Διαζωννύω. Ζ. Φλόξ.
Διάθεσι . 419, 431.
Διαθητόμενος. Ζ. Διαψηφιούμενος.
Διαθρύπτει . 401. Διαθρύπτεσθαι. 464.
Διακαρκδοκεῖν. 372.
Διακεῖσθαι. Ζ. Ἀνοιτως.
Διακοσμεῖν. 401.
Διάκοσμος. 401.
Διαλαμβάνειν. 366.
Διαλείψει . 439.
Διάμετρος. 346.
Διάνοια. Ζ. Ἔχειν καὶ Τροπήν.
Διαντλεῖν. Ζ. Νότον.
Διαπλέκειν τὸν στρατόν. 370.
Διαπυρτεύειν. 328.
Διασκευάζεσθαι. 467.
Διασπασθῆν. 489.
Διασπᾶν μέσον. 429, 436.
Διαψηστόμενος συγκέχ. τῷ Διαθησόμενος. 351.
Διαφυγόντας (τοὺς μὴ) τὸ σωθῆναι. 421.
Διαφύω. Διεπερύκει τῆς τυραννίδος. 392.
Διδασκάλια. 357.
Δίδωμι. Ζ. Ἡδονή.
Διειμένος. 346.
Διεκπαιστάμενος. 431.
Διέξοδος. 411.
Δίκαια (τὰ) τοῖς ξένοις ποιεῖν. 403. Ζ. καὶ Πάντα.
Δικτύων διὰ πόρου καθιεμένων. 4 0.
Διλίκια. Delicia. 374.
*_ίον (τὸ) καὶ Δία (ἡ) 44 .
Διονύσια. 3 0.
*Διονύσιος ὁ τύραννος. 332, 450, 451.
*Διονύσου. Οἱ περὶ τὸν Διόνυσον τεχνῖται. 471.
Διοπτήρ. 463.
Διοσημεῖαι καὶ Διοσημίαι. 433.
Δίπλωμα. 451.

Διωθεῖσθαι τὰς θύρας. 421.
*Δολοβέλλας ἢ μᾶλλον Δολαβέλλας [Dolabella]. 469.
Δολόφρων χερί. 342.
Δραθεῖν. 398.
*Δρομοκλείδης. 331.
Δρόμος. Ἔξω δρόμου. 458.
*Δυμαῖοι. 448.
Δύναμις ἀρεταί. 348.
Δυσεκβίαστος. 448.
Δυσεντερικός. Ζ. Ὑδερικός.

E

Ἔγγραφος ἀξίωσις. 347.
Ἐγκράζειν. 347.
Ἐθελοδούλως ἔχειν. 442.
Εἰκονικός. 433.
Εἰκών. 419.
Εἰλητάριον. 372.
Εἰλιγγιᾶν καὶ Ἰλιγγιᾶν. 444.
Εἴλιγγος καὶ Ἴλιγγος. 444.
Εἶναι. Εἶναι πρός τινι, καὶ Γενέσθαι πρός τινι. 343. Μὴ εἶναι τῶν ἑαυτοῦ λογισμῶν. 368.
**Εἰρη. 476, 476.
Εἰρήνη. 476.
Εἰρήνη. 476. Ζ. καὶ Τρέπω.
Εἰρητής. 476.
Εἰσάγειν τὸν χορόν. 353.
Εἴσειμι. 402.
Εἰσέρχεσθαι. Ἄλλου εἰσῆλθεν. 461.
Εἶωθε. 472.
Ἑκατοντάρχης. 423.
Ἐκβολή. 350.
*Ἔκδηλος. 436.
Ἐκθεῖναι πρὸς τὴν Ἰταλίαν. 393.
Ἐκλογισμός. 470.
*Ἔκνομος. 397.
Ἐκπαιτάμενος. 431.
Ἐκπαίω. 431.
Ἔκρηγμα. 354.
Ἐκσείειν, ἢ Ἐκταράττειν τῶν λογισμῶν. 358, 489.
Ἐκταράττειν. Ζ. Ἐκσείειν, καὶ Ἐξίστασθαι.
Ἐκτήμορος. 478.
Ἐκτραχηλίζειν. 4°0.
*Ἑλίκων ὁ Κυζικηνός. 396.
Ἑλληνικός συγκέχ. τῷ Πολιτικός. 448.
Ἐλπίδας ἐνδιδόναι. 392.
Ἐλπίζειν. Ζ. Ἀποτίθεσθαι.
Ἔμβολον. 377.
Ἐμμέλεια. 369.
Ἔμμορε τιμῆς. 482.
Ἔμπροσθεν. Ζ. Ὀλίγαις.
Ἐναντίων συγκέχ. τῷ Ἀετῶν. 471.
Ἐνδιδόναι. Ζ. Ἐλπίδας.
Ἐνέθηκε συγκέχ. τῷ Ἀνέθηκε. 489.
Ἐνήλικος. 411.
Ἐντόνως. 416.
Ἐντυγχάνειν. 417.
Ἐντύνειν ἑαυτόν. 362.
Ἐξάγειν τὸν Ἴακχον. 481.
Ἐξαγριαίνειν. 390.
Ἐξανεστηκμένη συγκέχ. τῷ Ἐξεσαρμένη. 479.
Ἐξαργυρίζειν. 412.

Ἐξίςασθαι τοῦ καθεστηκότος. 338.
Ἐξόν. 411.
Ἐξοσιοῦσθαι. 450.
Ἔξω δρόμου. Ζ. Δρόμος.
Ἔξωθεν εἴσοδοι, ἢ Ἄνωθεν πάροδοι. 341.
Ἐπαφή. 482.
Ἐπάφησις (1). 482.
**Ἐπεγρηγορώς (2). 423.
Ἐπέχειν πρός τινα τόπον. 378.
Ἐπηβολώτατος. 438.
Ἐπητής. 476.
Ἐπιδανείζεσθαι. Ζ. Βίον.
Ἐπίδοξος. 448.
Ἐπιδρομῆς (ἐξ). 381.
Ἐπικαίειν. Ζ. Ἀποκαίει.
Ἐπινυςάζειν. 423.
Ἐπίπλεως. Ζ. Περίπλεως.
Ἐπιπολῆς (οἱ) τοῦ σωροῦ νεκροί. 471.
Ἐπιπορεύεσθαι τοὺς ἀγρούς. 475.
Ἐπιῤῥακτός. Ζ. Θύρα.
Ἐπισιτίζεσθαι. 368.
Ἐπισιτισμός. 350.
Ἐπισταθμεύεσθαι. 337.
Ἐπιτύφω. Ἐπιτεθυμμένος. 393.
Ἐπιφορά. 450.
Ἐπίχειρα. 449.
Ἐπίχυσις. 335
Ἐποπτικός. 337.
Ἔπος μέγα. Ζ. Ἀγορᾶσθαι.
Ἐπώνυμος. 329.
Ἔργον εἶναι. 405.
Ἐρημία συνοικεῖν. Ζ. Αὐθάδεια.
Ἐρκατή. 488.
Ἐρκήτης, ἢ Ἐρκίτης. 488.
Ἑσμός. 424.
Ἑταιρεία. Ζ. Περιτρέχουσα.
Ἑτέραν ὁδὸν τραπόμενος. 458.
*Εὔδαιος. 481.
Εὕδει συμφορά. 366.
*Εὔδοξος. 396.
*Εὐθύδημος. 361.
Εὐπαθείαις (ἐν) εἶναι. 372.
Εὐσύμβολος. 331.
**Ἐφαπτός. 482.
Ἐφικτῷ (ἐν) εἶναι. 368.
Ἐφοδεύειν κώδωνι. 436.
Ἔχω. Ἔχειν πρὸς ἑαυτὸν τὴν διάνοιαν. 407. — Ζ. Ὥσπερ.

Ζ.

Ζωάγριον αἴρειν. 449.
Ζωμάρευσις. 376.

Η.

*Ἡγησίας. 484.
Ἡδέως γίνεσθαι. 329. Ἡδέως εἶχε τὸν Ὄθωνα ἀναγορευθῆναι. 461.

---

(1) Ἡμάρτηκα φήσας μὴ κατακεχωρίσθαι τοὔνομα ἐν τοῖς Λεξικοῖς· σεσημείωται γὰρ ἀμαρτύρως ὑπὸ τοῦ Σνειδέρου.

(2) Ἴσως ἐγέγραπτο ἐπιθετικῶς, Ἐ π ε γ ρ ή γ ο ρ ο ς.

Ἥδουαι

Ἡδοναὶ ἀβλαβεῖς. 480.
Ἡδονῇ διδόναι ἑαυτόν. 332.
Ἠθικὸς λόγος. 430.
Ἠθικῶς μειδιᾶν. 430. — Λέγειν. 430.
Ἦθος. Ζ. Συντετριμμένος.
Ἠλακάτη. 383.
Ἡλιοτρόπιον. 401.
Ἦμαρ. Ζ. Ἀναγκαῖον.
Ἡμερώτατα προσφέρεσθαι. 359.
*Ἡριδιανός. 416.
*Ἡρώδης, Ὀρώδης ἢ Ὑρώδης. 365.

Θ.

Θάλασσα. Ζ. Κοίλη.
Θαλία. 379.
Θαλιάζειν. 380, 380.
Θαῤῥῶ. 481.
Θεῖος. Ζ. Θετός.
Θέμις. 347.
*Θεόδοτος. 421.
Θεός. Ζ. Σύν.
Θερμότερος. Ζ. Πυρός.
Θετὸς συγκεχ. τῷ Θεῖος. 467.
Θεωρητικός. 332.
Θηρατικός. 436.
Θηρίῳ δεινῷ συμπλέκεσθαι. 351. Ζ. καὶ Ἀκατάψαυστα.
Θρασύδειλος. 335.
Θύρα καταῤῥακτή, ἡ, Ἐπιῤῥακτή. 443. Ζ. καὶ Διωθεῖσθαι.
*Θύρσος. 380.

Ι.

*Ἴακχος. Ζ. Ἐξάγειν.
*Ἰάλυσος. 334.
Ἱερὰ ἐλαία. Ζ. Μορία.
*Ἱερώνυμος. 346.
*Ἰθωμάτας. 418.
*Ἰθώμη. 448.
*Ἴκελος. 454, 461.
Ἰλιγγιᾶν. Ζ. Εἰλιγγιᾶν.
Ἴλιγγος. Ζ. Εἴλιγγος.
*Ἰνσήϊος. 377.
*Ἰόνιος [κόλπος]. 364.
*Ἰουλία. 384.
Ἱππεύς. Ζ. Λογάδην.
*Ἰσσός. 352.
*Ἰσχάς. 335.
*Ἶψος ἢ Ἴψος. 340

Κ.

Καθ' ἕνα. 437.
Καθαγίζειν. 416.
Καθαίρεσις. 382.
Καθελκύσθαι. 382.
Καθεστηκὸς (τὸ παρὰ τὰ δεινά), 414. Ζ. καὶ Ἐξίστασθαι.
Κάθημαι. Ζ. Τορύνη.
Καθίεσθαι. Ζ. Δικτύων.
Καθίζειν. 382.
*Καισονία. 384.
Κακοπραγμονεῖν. 405.
*Καλβίσιος. Ζ. Καλουίσιος.
Καλεῖν μῦθον. 337.
*Κάλλιππος, ἢ Καλλικράτης. 406.
*Κάλλιστος. 454, 455.
Κάλλυντρον. 408.
*Καλουίσιος [Caluisius]. 373, ἢ Καλβίσιος. 457.
Κάλπη καὶ Κάλπις. 352.
Κάλπος. 353.

Κάλυξ. 353.
*Καμούριος [Camurius]. 466.
*Καμουλάτος. 429.
Κάμπος. 424.
*Κανίδιος. 411.
Κανόνος ὀρθώτερος. 330.
*Κάνος 460.
*Καρίναι. 365.
*Καρμιόνη. Ζ. Χάρμιον.
*Καρποὺς ἀπαμβλίσκειν. 445.
Κασσάνδρεια. 349.
*Κάσσανδρος. 328.
Καταβάλλειν ἑαυτόν. 351.
Καταβυρσόω. 488.
Καταιβασία. 329.
Καταιβάτης. 329.
Κατάκοπος. 436.
Κατάλυμα. 343.
Κατάλυσις. 343.
Καταλύειν. 342.
Καταπέμπειν. Ζ. Δεξιάν.
Καταῤῥακτός. Ζ. Θύρα.
Κατάρχεσθαι. 449.
Καταρώμενος ἡμῖν. 392.
Κατασκευή. 393.
Κατειρωνεύεσθαι. 447.
Κατηγορικός. 454.
*Κάτλος. 452.
Καυσία διαδηματοφόρος. 372.
Κηδεστής. 339.
Κηδεύω. 339.
Κίδαρις. 479.
Κινεῖν. 399.
Κίταρις. 372, 480.
Κλᾶν. 402.
*Κλαύδιος. 467.
Κλαυσίγελως. 335.
Κλεισίον. 479.
*Κλεψύδρα. 366.
*Κλεοπάτρα, ἡ Σελήνη. 384.
*Κλεωναί. 444.
Κλῆμα. 465.
Κληρουχίᾳ οἰκίζεσθαι. 375.
*Κλουνία [Clunia]. 453.
Κνηστίς. 383.
Κοίλη θάλασσα. 356.
*Κοκκήϊος. 473.
Κόκκυξ. 444.
Κόλπος. Ζ. Ἀσώπιος.
Κομψός. 456.
Κομψότης. 456.
Κονδυλίζειν. 413.
Κόνδυλος. 413.
Κόπτειν. 347.
Κορεῖν. 408.
Κόρηθρον. 408.
Κόρημα. 408.
Κορινθίοις οὐ μέμφεται τὸ Ἴλιον. 388.
*Κορνήλιος Λάκων. 457.
*Κοῤῥαῖος. 326.
Κορώνη. 335.
**Κοττίζειν. 444.
**Κοττίον. 444.
**Κόττος. 444.
*Κοτύλων. 359.
Κούρεια (τά). 409.
*Κουρτίου λάκκος [Curtii ἢ Curtius lacus]. 466.
Κουφότερον γίνεσθαι. 347.
Κρεωδαισία. 329.
*Κριτίας. 475.
*Κύδνος. 362.
*Κύθηρις. 356.

*Κύϊνδα(τά). 339.
**Κύλινδρος. 373.
*Κυπράνωρ. 478.
Κύταρον. 377.
Κώθων. Ζ. Ἐφοδεύειν.
Κώνειον. 330.

Λ.

Λάκτις. 376.
Λαμβάνειν. Ζ. Χρόνος, καὶ Γέλως.
*Λαμία. 332, 335, 386.
*Λαμίσκος. 396.
Λάσιος. 357.
Λαφυραγωγεῖν. 453.
Λέγειν. Ζ. Μέγα, καὶ Ἠθικῶς.
**Λέγμα. 474.
*Λέπιδος. 359.
*Λευκονοεύς. 335.
*Λευκόνοον. 335.
Λίσγος. 434.
Λογάδην ἱππεῖς (1). 470.
Λογεῖον. 341.
Λογισμός. Ζ. Ἐκσείειν, καὶ Ἐκταράττειν.
Λόγον ἀφῆκα μέγαν. 425. Ζ. καὶ Ἀγοράσθαι, καὶ Μέγα.
Λόγος ἠθικός. — ἀνηθοποίητος. 430. Ἐξ ἑνὸς λόγου. 399.
*Λουκίλλιος. 429.
*Λουκρῖνος λάκκος. 466.
Λόχος. Ζ. Ὀρθίους.
Λύκαια (τά). 357.
*Λυκόφρων. 451.
*Λυσιάδης. 444.
Λυχνία. Λυχνίον. 391.

Μ.

Μαγγάνευμα. 362.
Μαίνοιτο μέντ' ἄν, εἰ μὴ μαίνοιτο. 335.
*Μάκρος. 453. καὶ Μάκρων. 459.
*Μαλέα. 438.
*Μάλλιος. 410.
*Μάλχος. 357.
*Μανία. 337.
Μανιπουλάριος [Manipularis]. 464.
*Μαντίνεια. 447.
*Μαρκιανὸς Ἴκελος. 454.
**Μάῤῥον. 435.
Μέγα λέγειν. 426. Μεγάλα λίαν λέγειν. 426. Μέγας λόγος. 426. Ζ. καὶ Ἀγοράσθαι.
Μεγίστη ῥοπή. 456.
*Μεγιστόνους. 446.
Μειδιᾶν. Ζ. Ἠθικῶς.
*Μεθώνη, καὶ Μοθώνη. 438.
*Μέλανθος, ἢ Μελάνθιος. 439.
Μέλημα. 375.
Μέλι. Ζ. Βαφή.
*Μέλιττα. 337.
Μέσαυλος. Ζ. Μέταυλος.
Μέση θύρα. 341.
Μέση δυοῖν γεφυρῶν. 476.
Μεσημβρινή. Ζ. Τροφή.

(1) Κατὰ τὸ Θουκυδίδειον (Δ, 31), Λίθων λογάδην, εἴρηται τὸ, Λογάδην ἱππεῖς· ὅπερ αἰνίττεσθαι ἔοικε καὶ Φώτιος, «Λογάδην, ἐπίλεκτος».



ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΝΙΑΜΙΝ ΠΛΩΜΑΡΙΟΥ ΛΕΣΒΟΥ

Μεσόλευκος. 449.
Μέσον. Ζ. Τιθέναι.
Μεσοπόρφυρος. 449.
Μεσοποταμία νῆσος. 468.
Μέσος ἐῤῥάγη. 330. Ζ. καὶ Διασπᾶν.
*Μεσσήνη. 448.
*Μέςριος Φλῶρος [Mestrius Florus]. 471.
Μετακοσμεῖν. 444.
Μεταμφιέννυσθαι. 349.
Μέταυλος, καὶ Μέσαυλος. 443.
*Μηδία. συγκ. τῷ Μήδεια. 349.
Μῆκος. Ζ. Χρόνος.
*Μηνᾶς. 365.
Μίαν (εἰς). 398.—Μίαν μίαν. 437.—Φοράν. 378.
Μιγάς. 415.
Μικρὸν μὲν, σαπρὸν δέ. 360.
Μόθακες. 487.
*Μοναίτης. 367.
Μόνιμος συγκέχ. τῷ Νόμιμος. 470, 483, 484.
Μορία. 366.
Μορφὴν ἀμείβειν. 349.
*Μοῦρκος. 466.
Μῦθος. Ζ. Καλεῖν.
Μύρον. 486.
*Μυρσίλος. 435.
Μυςιλᾶσθαι. 377.
Μυςίλη. 377.
*Μυτίνη. 358.
Μωρόσοφος. 335.

Ν.

*Νάειρα. 375, 383.
*Ναννάριον. 335.
Ναῦς. Ζ. Στρογγύλη.
Ναύςαθμος. 351.
*Νεάλκης. 439.
Νεανικός. 414.
*Νέρων. 332.
*Νικοκλῆς. 437.
Νόμιμος. Ζ. Μόνιμος.
Νόσον διαντλεῖν. 449.—ἔχειν. 479.
*Νυμφιδία. 454.

Ξ.

*Ξενόφιλος. 436.
Ξίφη (ἡ). 458.
Ξυλοκοπεῖν. 400.
Ξυλοκοπία. 400.
Ξυναλλαγή. 390. Ζ. καὶ Συναλλάσσειν.

Ο.

Ὀαριςής. 347.
Ὀγδόας (τῶν κτημάτων τὰς) ἀποφέρειν. 373.
Ὁδὸν (καθ') λέγειν. 458. Ζ. καὶ Ἑτέραν.
Οἰκίζειν. Ζ. Κληρουχία.
Οἶκοι (πρὸς τά). 349.
Ὀκρίβας. 341.
Ὀλίγαις ἡμέραις ἔμπροσθεν. 424.
Ὄλπα, καὶ Ὄλπις. 353.
*Ὀλυμπία γῆ. 474.
*Ὀλυμπιάς. 345.
*Ὄλυμπος. 382.
Ὄναρ καὶ ὕπαρ. 327.
Ὀνόματα εἰς ΙΣ καὶ ΙΑ. 451.—ἐπίθετα καὶ προσηγορικὰ εἰς ΟΣ καὶ ΩΝ. 459.

*Ὄνου γνάθος. 438.
Ὀξίνης. 373.
Ὀξυβελής. 346.
Ὀξύμωρος. 335.
Ὀπτίων [Optio]. 463.
Ὁρᾷν. Ζ. Πολλοῖς.
Ὀρθίους λόχους ποιεῖν. 405.
Ὀρθός. Ζ. Κανόνος.
Ὁρισμὸς καὶ συνθήκη. 373.
Ὁρμῆς (ἀπὸ μιᾶς). 398.
*Ὀρχαλίδης. 482.
*Ὀρώδης. Ζ. Ἡρώδης.
Ὀστρειογραφής. 481.
Ὄστρειον. 481, 481, 484.
*Οὐαλέριος [Valerius]. 478.
*Οὐερανία [ Verania]. 466.
*Οὐεργίνιος [Verginius]. 456.
*Οὐετούριος [Veturius]. 463.
*Οὐίνιος [Vinius]. 452.
*Οὐϊτέλλιος [Vitellius]. 462.
Οὔπω πάνυ. 485.
Ὄχημα. Ζ. Ἀμοιβή.
Ὄψεως ἕνεκα. 377.

Π.

*Πάδος. [Padus]. 416.
Παιδεία. 406.
Πάλιν. Ζ. Πάνυ.
Πάντα τὰ δίκαια. 448.
Παντοπώλιον. 406.
Πάνυ συγκέχ. τῷ Πάλιν. 348. Οὔπω πάνυ. 485.
Παραβόλως. 361.
Παράγγελμα. Ζ. Ἀθροίζειν.
Παράγειν. 363. — τὸν χρόνον. 352, 436.
Παραθεωρεῖν. 435.
Παράθρανος. Ζ. Πάροδος.
Παραιωρούμενος συγκέχ. τῷ Παρεωρούμενος. 381.
Παρακεκλιμένος συγκέχ. τῷ Παρακεκριμένος. 364, 437.
Παρακοή. 395.
Παράκουσμα. 394.
*Πάραλος. Ζ. Σύναλος.
Παράσημος. 411.
Παρείκει. 455, 460. Κατὰ τὸ παρεῖκον τῶν καιρῶν. 455.
Παρεῖναι. 467.
Παρενεγκεῖν τὸ ῥηθέν. 447.
Παρεωρούμενος. Ζ. Παραιωρούμενος.
Πάροδοι (ἄνωθεν). 341, 442.
Πάροδος, ἡ Παράθρανος. 348.
*Πασέας. 435.
Παστάς. 407. Ζ. καὶ Βεψανία.
Πατέρας [Πρᾳς] συγκέχ. τῷ Πρᾴους. 418.
*Πατρόβιος. 460.
Πάχνη βαθεῖα πίπτει. 330.
*Πείσαυρα. 375.
*Πεισιανάκτειος στοά. 432.
Πελατῶν. Ζ. Πλαστῶν.
Πελεκίζειν. 378.
Πέπλος. 329.
Περιδέραιον. 460.
Περιῤῥομβεῖν. 378.
Περίπλεως συγκέχ. τῷ Ἐπίπλεως. 383.
Περιτρέχουσα ἑταιρεία. 406, 407.
Περιττός. 439.
Πέρκνωμα. 441.
*Περσεύς. 327.

*Πετῖνος. 460.
*Πέτρα. 379.
Πιέζεσθαι τῷ πολέμῳ. 446.
*Πλάγκος. 359.
Πλάζεσθαι. 352.
Πλαίσιον. 363.
Πλαςῶν συγκέχ. τῷ Πελατῶν. 391.
Πλεῖστος. Ζ. Χρόνου.
Πλήκτης. 402.
Ποιεῖν. Ζ. Δίκαια.
Πόλεμος αἴρεται. 348.
Πόλεων. Ζ. Πολλῶν.
Πολιτεία. 422.
Πολιτικός. Ζ. Ἑλληνικός.
Πολλὰ τλᾶσα καρδία. 376.
Πολλοῖς ὄμμασιν ὁρᾶν. 412.
Πολλῶν συγκέχ. τῷ Πόλεων. 448.
Πολυκαισαρίη. 382.
*Πολυκράτεια. 418.
*Πολύκλειτος. 460, 484.
*Πολύκριτος. 484.
*Πολύξενος. 396.
*Πολύφρων. 451.
Πόνηρος. 364.
Πόνῳ πολλῷ καὶ μεγάλαις πραγματείαις. 439.
*Πόπλιος Σιλίκιος. 420.
*Ποππαία. 455, 461.
Πορεία. Ζ. Ἀνιείς.
*Πορθμὸς (ὁ περὶ Σικελίαν). 396.
Πόρος. Ζ. Δικτύων.
Πρᾶγμα συγκέχ. τῷ Γράμμα. 450. Ζ. καὶ Ἀναχαιτίζειν.
Πραγματεία. Ζ. Πόνῳ.
Πρακνόν. Ζ. Πρεκνόν.
Πρακτεῖον. 440.
Πρακτικός. 361.
Πράκτωρ. 441.
Πρᾶξις. 440.
Πράους. Ζ. Πατέρας.
Πράς. Ζ. Πατέρας.
Πράσει (ἐπί). 469.
Πρεκνὸν καὶ Πρακνόν. 441.
Πριγκίπια [Principia]. 456.
*Πρίσκος Ἑλβίδιος [Priscus Helvidius]. 466.
Προβάλλειν. 420.
Πρόγονος. 384.
Προνομή. 350.
Πρόῤῥησις. 453.
Προσαγορεύειν. 370.
Προσαγωγεύς. 400.
Προσεῷος. 359.
Προσθήκη. 376.
Προσιέναι. 448.
Προσμιγνύω. Προσέμιξεν ἑαυτόν. 354.
Προσπίπτειν. 404.
Προσπταίειν. 348.
Προστρέπεσθαι. 401.
Προστρόπαιος. 472.
Προσφέρεσθαι. Ζ. Ἡμερώτατα.
Προσχωρεῖν. 456.
Προχύτης. 401.
*Πρωτογένης. 334.
Πτεροφόρος. 468.
*Πτολεμαῖος ὁ Αὐλητής. 332.— ὁ Ἀντωνίου υἱός. 384. — ὁ μάντις. 463.
Πυροβόλος. 404.
Πυρὸς θερμότερος. 330.

ΠΛΩΜΑ ΤΟΥ "ΒΕΝΙΑΜ... ΕΤΟΣ ΙΔΡΥΣΗΣ 18..

Ρ.

Ῥάβδος γυμνασιαρχική. 365.
Ῥαίζειν. 350.
Ῥαχία. 437.
Ῥέκτης. 414.
*Ῥόδη. 382.
*Ῥόδων. 382.
Ῥόμβος. 378.
Ῥωπή. 402. Ζ. καὶ Μεγίστη.
Ῥυθμίζειν. 457.
Ῥυθμός. 457.
Ῥύμη. Ζ. Ῥώμη.
Ῥυτῆρος. (ἀπὸ). 404.
Ῥώμη συγκέχ. τῷ Ῥύμη. 331.
*Ῥωξάνη. 345.
*Ῥωσός. 339, 352.

Σ.

Σάγμα. 442.
Σάγος στερεός. 354, 355.
Σαμβυκίστρια. 357.
Σαίρω καὶ Σαρόω. 408.
Σαπρία. 441.
Σαπρός. Ζ. Μικρόν.
Σάρμα. 408.
Σάρον. 408.
Σάτυρος. Ζ. Βασιλεύς.
*Σέλευκος. 463.
*Σελήνη. Ζ. Κλεοπάτρα.
*Σεμπρώνιος Ἴνδιστρος. 465.
Σίλλος. 393.
*Σίμος καὶ Σίμων. 459.
**Σίσανος. 374.
Σκαπάνη, καὶ Σκαφίον. 434, 435.
Σκελετός. 380.
*Σκέλλιος. 378.
Σκιάς. 362.
*Σκριβωνία. 462.
*Σκύλλα. 396.
Σκύφος ὁμηρικός. 452.
Σκωπαῖος. 375.
Σοβαρός. 338.
*Σόλοι οἱ Κιλίκιοι. 333.
Σοφοὶ σοφοὺς σώζουσιν, ἂν ὦσι σοφοί. 381.
Σπάσμα. 473.
*Σπεύσιππος. 393.
*Σπῖκλος [Spicillus]. 454.
*Σπόρος. 455.
Σταθμοδότης. 335.
*Στατιανός. 368.
*Στατίλιος. 414.
Στέγαστρον. 483.
Στεφανοῦν. Ἑκατὸν μναῖς ἐστεφάνωσαν. 402.
Στίλπωνες. 375.
Στοά. Ζ. Βασίλειος.
Στόμα. 413.
Στρατεύεσθαι ὑπό. 417.
Στρατηγικὴ συγκέχ. τῷ Τραγικῇ. 349.
Στρατήγιον. 427.
Στρατηγῶν συγκέχ. τῷ Στρατιωτῶν. 349.
Στρατιά. Ζ. Αἰωρουμένη.
Στρατιωτικὰ φρονεῖν. 468.
Στρατόπεδον. 443.
Στρατός. Ζ. Διαπλέκειν.
Στρογγύλη ναῦς. 397.
Στρόφιον. 449.
Σύγκλυς. 416.
Συγκυκᾶν. 480.

Συλλογίζειν. 459.
Συλλύειν. 343.
Συμπλέκεσθαι. Ζ. Θηρίῳ.
Συμφορά. Ζ. Εὕδει.
Σὺν Θεῷ τινι, Κατὰ Θεόν τινα, Κατὰ δαίμονα. 434.
Συναλλάσσειν. 390.
*Σύναλος, ἢ Πάραλος. 397.
Συναναστρέφειν. 456.
Συναποθανούμενοι. 380.
Συναποθνήσκοντες. 380.
Συνεκφερόντων συγκέχ. τῷ Συνεκφαινόντων. 333.
Συνθήκη. Ζ. Ὁρισμός.
Συντείνειν ἑαυτόν. 412.
Συντετριμμένος τὸ ἦθος. 392.
Σύντονος. 337.
Συσκευάζεσθαι. 362, 438.
Συσκευή. 438.
Συσχολάζειν τινί. 489.
Σχηματισμός. 448.
Σχολαστής. 412.
Σώζεσθαι. Ζ. Διαφυγόντας.
Σωρός. Ζ. Επιπολής.

Τ.

Ταλασία. 357.
*Τανύσιος συγκέχ. τῷ Γανύσιος. 486.
*Τατιανός. Ζ. Στατιανός.
Τέλος. 390.
*Τερέντιος. 466.
Τεσσαρακοντήρης. 348.
Τεσσεράριος [Tesserarius]. 463.
Τέταρτα (τὰ) τῶν καρπῶν ἀποφέρειν. 373.
Τεχνίτης. Ζ. Διόνυσος.
Τιάρα. Τιαρίς. 372.
*Τιβέριος. 479.
Τιθέναι εἰς μέσον. 437.
Τίθεσθαι. 481.
Τιμή. Ζ. Ἔμμορε.
*Τίμων. 379.—ὁ Φλιάσιος. 393.
*Τίτιος. 373.
Τλᾶν. Ζ. Πολλά.
Τόπον. Ζ. Τρόπον.
Τορύνη (ἐπὶ τῇ) κάθηται. 376.
*Τουρπιλιανός. 459.
Τραγική. Ζ. Στρατηγική.
Τραχηλίζειν. 366.
*Τρεβώνιος. 415.
Τρέπεσθαι. Ζ. Ἑτέραν. Εἰς εἰρήνην τρέψαι. σελ. λγ΄.
**Τρίβος (ὁ). 442.
*Τροταία. 438.
Τροπαία. 465.
Τροπὴν ἔσχεν ἡ διάνοια. 338.
Τρόπον συγκέχ. τῷ τόπον. 401.
Τροφὴ μεσημβρινή. 461.
Τροχός. Ζ. Αἰγύπτιοι.
Τυμπανίζεσθαι. 400.
Τυρόκνηστις. 410.
Τύχας (εἰς) ἐλθεῖν ἀναγκαίας. 385, 386.

Υ.

*Ὑβρέας. 361.
Ὑδερικὸς συγκέχ. τῷ Δυσεντερικός. 371.
Ὑπάγειν. 403.
Ὕπαιθρος καὶ Ὑπαίθριος. 438.
Ὕπαρ. 327. Ζ. καὶ Ὄναρ.
Ὑπεξανίστασθαι. 415.

Ὑπερείπεσθαι. 467.
Ὑπερφαίνεσθαι. 403.
Ὑπόδειξις. 345.
Ὑποζώννυσθαι. 351.
Ὑποικουρεῖν. 468.
Ὑπολύεσθαι τὰς κρηπῖδας. 441.
Ὑπόνομος. 437.
Ὑποςέλλειν. 448.
Ὑποςέλλεσθαι. 350.
Ὑποςύφειν. 362.
Ὑποφθέγγεσθαι. 423.
Ὑποψίαις (ἐν) ἔχειν. 403.
*Ὑρώδης. Ζ. Ηρώδης.

Φ.

*Φαβρίκιος. 467.
Φαικάσιον. 365.
Φαιός. 489.
Φάλαγξ. 413.
Φαλαρίκη [Falarica]. 465.
*Φάλαρις. 398.
Φαλερῖνος οἶνος. 374.
Φανερῶς συγκέχ. τῷ Φοβερός. 344.
*Φεραῖος. 450.
Φθόη. 449.
*Φίλα. 331.
Φιλαθήναιος. 359.
Φιλάνθρωπος οἶνος.—ὄψις. 486.
*Φίλιππος. 327.
*Φίλιςος. 403.
*Φιλόκυπρος. 478.
Φλὸξ διαζώσασα. 420.
Φοβερός. Ζ. Φανερῶς.
Φορὰ ἀςάθμητος. 417. Ζ. καὶ Μίαν.
Φορειοφόρος. 465.
*Φούρνιος. 373.
*Φραόρτης, ἢ Φραάτης. 367, 368.
Φράττεσθαι. 417.
Φρονεῖν. Ζ. Στρατιωτικά.
Φρουρουμένη αἰκίσασθαι. 383.
Φυά. 433.
Φυγαί. 481.
Φύσει τὸ γενναῖον ἐπιπρέπει. 433.

Χ.

Χαλδαϊκὴ συγκέχ. τῷ Χαλκιδικῄ. 482.
Χαμαιτύπη. 357.
*Χάρης. 443.
Χάρις. 326, 333.
*Χάρμιον, ἢ Καρμιόνη. 383.
Χαρωνίτης. 358.
Χεῖρα (ὑπὸ). 435.
Χειρίς. 469.
Χιλίαρχος. 423.
Χορός. Ζ. Εἰσάγειν.
Χρηματίζειν. 372.
Χρήσιμος. 480.
Χρηςὸς δαίμων. 456.
Χρόνος (ὁ) μῆκος λαμβάνει. 415. Ζ. Παράγειν. Τοῦ χρόνου τὸν πλεῖςον. 352.
*Χρυσίς. 335.
Χωρίον. Ζ. Ἄςικτον.

Ψ.

Ψαῦσις. 393.
Ψευδοκύων. 422.
Ψόα, ἢ Ψοιά. 490.

ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" ΣΧΟΛΕΙΟΝ ΕΤΟΣ ΙΔΡΥΣΕΩΣ

Ψύδραξ. 441.
Ψυχή. Ζ. Βασίλειον.
Ψύχος. Ζ. Ἀποκαίει.

Ω.

Ὠμηστής. 360.
Ὥσπερ εἶχε. 334.

## ΠΙΝΑΞ ΛΕΞΕΩΝ ΤΗΣ ΣΗΜΕΡΙΝΗΣ ΓΛΩΣΣΗΣ.

Α.

Ἀγέστα. 476.
Ἀγὸς καὶ ἀγωγός. 437.
*Ἀλέκος. 378.
Ἀλλαγή. 454.
Ἀλλογειός. Ζ. Λογεῖον.
Ἀνάδοχος (χυδ. Νουνὸς ἢ Παΐρῆς). 395.
Ἀναλογεῖον. Ζ. Λογεῖον.
Ἀναπνέω. Ἄφες με ὀλίγον νὰ ἀναπνεύσω. 340.
Ἀνασαίνω. 340.
Ἀναφορὰ (Τουρκοχυδ. Ἀρζιχάλιον). 347.
Ἀποῤῥήκτω καὶ Ἀποῤῥήχνω. 411.
Ἀποστασία. 451.
Ἀσγαβάδα. 378.
Ἀσκοθάλασσα. 356.
Ἀστράγαλος, καὶ Ἀστραγάλιον (Τουρκοχ. Κότσι). 444.
Αὐτὸς ἀφ' ἑαυτοῦ μου, Αὐτὸς ἀφ' ἑαυτοῦ σου, Αὐτὸς ἀφ' ἑαυτοῦ. 341.
Ἀφίνω. Ἀφῆκεν ἀπὸ τὰ χέριά του τὸ πρᾶγμα, καὶ Ἀφῆκε νὰ τοῦ φύγῃ κ. τ. λ. 387.

Β.

Βάλλω. Τὰ ἔβαλεν εἰς τὴν μέσιν. 437.
*Βαρδάρι. 347.
Βαρῶ. 402.
Βόλια. 327.
Βράχος. 437.

Γ.

Γοῦρνα. 352.
Γρουθίζω, ἢ Γρουθοκοπῶ. 413.
Γρόνθος, ἢ Γρουθία. 413.

Δ.

Δέρνω. Ζ. Ἐδάρθη.
Δίδω. Ἐδόθη εἰς τὰς ἡδονάς. 332.
Δρόμος. Ἔξω τοῦ δρόμου ἐλάλησεν, ἢ ἔπραξεν (χυδ. Ἔξω τῆς στράτας, ἢ παράστρατα· γραικικώτερον, Παράδρομα). Ὁ λόγος σου εἶναι τοῦ δρόμου. Ἐπίασεν, ἤ, ἐπῆρεν ἄλλο δρόμον. 458.

Ε.

Εδάρθη. 398.
Είδωλον. 445.
Είναι (δὲν) μὲ τὰ λογικάτον. 368.
Ἐλαφρότερα εἶναι. 347.
Ἐλάφρυνεν ὀλίγον. 348.
Ἐμπλέκω. Μὲ κακὸν θηρίον ἔμπλεξε. 351.
Ἕνας ἕνας, ἤ, Ἀπὸ ἕνα ἕνα. 437.
Ἐξαγριαίνω, καὶ Ἐξαγριόνω. 390.
Ἐξεδάρθη. 398.
Ἔπεσε πάχνη. 330.
Ἐσμάριον. 424.
Εὐχαριστοῦμαι. 387. Εὐχαριστήθη εἰς αὐτά. 388.

Ζ.

Ζόνω. Ἡ φλόγα ἔζωσεν ἀπ' ὅλα τὰ μέρη τὴν πόλιν. 420.

Η.

Ἠλακάτη (χυδ. Ρόκκα, ἐκ τοῦ Ἰταλικοῦ Rocca). 383.

Θ.

Θεός. Ἀπὸ Θεοῦ· ἤ, Ὁ Θεὸς ἔκαμε· ἤ, ἐλλειπτικῶς, Ὁ Θεός. Ἀπὸ Θεοῦ ἔτυχα καθήμενος· ἤ, Ὁ Θεὸς ἔκαμε νὰ τύχω καθήμενος· ἤ, Ὁ Θεὸς κ' ἔτυχα καθήμενος. 434.
Θρούβαλα. 404.

Κ.

Καθίζω. 382.
Καιρός. Ὁ κατὰ καιρὸν στρατηγός. Ὁ κατὰ καιρὸν βασιλεύς. 438. Ὁ καιρὸς λαμβάνει μάκρος. Ὁ καιρὸς ὑπάγει εἰς μάκρος. 415.
Καίω. Ζ. Κρύος.
Κακόμοιρος. 364.
Κακοσυνεύω, καὶ Κακοτερίζω, ἢ Χειροτερεύω, καὶ Χειροτερίζω. 350. Ἐκακοσύνευσεν ἡ πληγή. 351.
Κακοσύνη. 350.
Καλητερεύω καὶ Καλητερίζω. 350.
Καλὸν ἢ κακὸν συναπάντημα. 331.
Καλοπόδαρος. 331.
Καλοσυνεύω. 350.
Καλοσύνη. 350.
Καλούπιον, Καλουπάκιον καὶ Καλπάκιον. 353.
Κάμνω δικαιοσύνην. 401.
Κάμπος. 424.
Καππότα, καὶ Κάππα [Ἰταλ. Cappotto, καὶ Cappa). 355.
Καρροβελόνη. 383.
Καταβάλλω, καὶ Καταδίδω. 400.
Καταβάλτης, καὶ Καταδότης. 400.
Καταιβασία, ἤ, Κατηβασία. 329.
Κατακομμένος. 436.
*Καταμάγουλον, ἤ, Ονου καταμάγουλον. 438.

Κατήφορος. 329.
Καυμένος (χυδ. Καϊμένος). 364.
Κινητὰ ἀγαθά. 393.
Κινῶ. 399.
Κλαδευτήριον. 458.
Κλαιβανή. 443.
Κονδυλίζω (χυδ. Κουτελίζω). 413.
Κόπος. Μὲ πολὺν κόπον καὶ μὲ μεγάλα βάσανα. 439.
Κότσι. 444.
Κοῦκκος. 414.
Κουτάλα. 376.—377.
Κουτάλιον, καὶ Χουλιάριον. 376. 377.
Κρεωμοιρασία. 329.
Κρατῶ. Κρατεῖ εἰς τὸν Μορέαν· ἤ, Βάλλει τὴν πλώρην εἰς τὸν Μορέαν. 378.
Κρύος (τὸ) ἔκαυσε τὰ ἀμπέλια. 330.
Κύταλον. 377.

Λ.

Λαλῶ, ἤ, Ὁμιλῶ μεγάλα. 425.
Λισγάριον, ἢ Λίσγος. 434, 435.
Λογεῖον, καὶ Ἀναλογεῖον (χυδ. Ἀλλογειός). 341.

Μ.

Μία. Ἀπὸ μιᾶς, ἤ, Ἀπομιᾶς. Ἀπομιᾶς τρελός. 399.—Εἰς μίαν, Διὰ μίαν, ἢ Διὰ μιᾶς (χυδ. Γιαμιά). 399.
**Μιγάδιον. 416.
*Μοθώνη. 438.

Ν.

Νοννός. Ζ. Ἀνάδοχος.

Ξ.

Ξόανον. 445.
Ξυλοκοπῶ. 400.

Ο.

Ὀλιγόϋπνος. 423.
Ὁμιλῶ. Ζ. Λαλῶ.
Ὀμμάτια (διὰ τά). 377.

Π.

Παίρης. Ζ. Ἀνάδοχος.
Παράδρομα. Ζ. Δρόμος.
Παρακούω. 394.
Παραλυμένος. 392.
Παραλυσία. 392.
Παράστρατα. Ζ. Δρόμος.
Πάχνη. Ζ. Ἔπεσε.
Περίεργος. 439.
Περιττός. 439.
Πέρνω· τὸν ἐπῆραν τὰ γέλια. 417. Ζ. καὶ Δρόμον.
Πιάνω. Ζ. Δρόμον.
Πισκίνα [Piscina], καὶ Φισκίνα. 367.
Πλέκω. 370.
Πολιτικὸν (τό). Εἰς καιρόν, ὅτις χρειάζεται πολιτικόν. 422.
**Πρακνάδες. 441.
Προγονός. 384.
**Προσεγείρομαι. 415.
Προσηκόνομαι. 415.
Πρόσπεσμα. 404.
Προσπίπτω. 404.
Πύκνωσις. 329.
Πυροβόλα, ἤ, Πυροβολικά. 405.

Ρ.

Ῥόκκα. Ζ. Ἠλακάτη.
Ῥουκάνα. 457.
Ῥουκανίζω. 457.
Ῥουκάνιον. 457.

Σ.

Σαγία. 355.
Σαγμάριον. 442.
Σαρόνω, ἢ Φλοκαλῶ (χυδ. Σκουπίζω· ἐκ τοῦ Ἰταλ. Scopare). 408.
Σάρωμα, Φιλοκαλία καὶ Φλοκαλία. 408.
Σηκόνω. Ἐσήκωσε πόλεμον. Ἐσήκωσε στράτευμα. 348.
Σκαλίδα. 458.
Σκελετὸς καὶ Σκέλετρον. 380.
**Σκληρία. 351.
Σκοῦπα [Ἰταλ. Scopa]. 408.
Σκουπίδια. 408.
Σκουτέλα. 377.
Σκουτέλιον. 377.
Σμίγω. Ἔσμιξε μὲ κακοὺς ἀνθρώπους. 354.
*Σταντία, ἢ Στανδία. 342.
Στοίχημα. 373.
Συμπενθεριάζω. 339.
Συμπένθερος. 339.
Συναναστρέφομαι. 456.
Συναπάντημα. Ζ. Καλόν.
Συντυχένω. 417.

Τ.

Ταλαίπωρος. 364.
*Τριανταφυλλία. 382.
*Τριαντάφυλλος. 382.
Τσάπα, καὶ Τσαπίον. 434, 435.
Τσαπράδες, καὶ Τσεπράδες. 441.
Τσόχα. 355.
Τυμπανίζω, Τουμπανίζω, καὶ Στουμπανίζω. 400.
Τυροξύστρα. 410.
Τύχη. Ἡ καλή σου τύχη. 456.

Υ.

Ὑπάγω, καὶ Ὑπαγένω (χυδ. Παγένω). 403.
Ὑποψία. Εἶχαν εἰς ὑποψίαν. 403.

Φ.

Φέρομαι. Ἐφέρθη ἡμερώτατα. 359.
Φιλοκαλία, καὶ Φλοκαλία. Ζ. Σάρωμα.
Φισκίνα. Ζ. Πισκίνα.
Φλόγα. Ζ. Ζόνω.
Φλοκαλία. Ζ. Σάρωμα.
Φλοκαλῶ. Ζ. Σαρόνω.
Φορά. Μίαν φοράν. Κάθε φοράν. 379.

Χ.

Χειροβαλίστρα. 405.
Χειροτερεύω, καὶ Χειροτερίζω. Ζ. Κακοσυνεύω.
Χερόμυλος. 458.
Χουλιάριον. Ζ. Κουτάλιον.

ΛΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

## ΟΙ ΔΙΟΡΘΩΘΕΝΤΕΣ, ΕΞΗΓΗΘΕΝΤΕΣ, Η ΟΠΩΣΟΥΝ ΚΡΙΘΕΝΤΕΣ ΠΟΙΗΤΑΙ ΚΑΙ ΣΥΓΓΡΑΦΕΙΣ.

Ἀθήναιος. 475 (δὶς).
Αἰσχύλος. 343.
Ἀρτεμίδωρος. 434.
Γλωσσάρια (παλαιά). Ζ. Λεξικόν.
Δικαίαρχος. 488.
Διογένης Λαέρτιος. 373.
Διόδωρος ὁ Σικελιώτης. 398.
Ἔκδοσις (Ἐμὴ) Ἡλιοδώρου. 365.
Ἐτυμολογικὸν (Μέγα). 482.
Εὐστάθιος. 372, 443.
Ἡρόδοτος. 387, 393.
Ἡσύχιος. 327, 347, 361, 362, 363, 366, 367, (δὶς), 372, 412, 437, 438, 441, 457, 458, 468 (δὶς), 476 (δὶς), 482.
Θεόφραστος. 434.
Ἱπποκράτης. 325, 327, 374.
Κορνοῦτος. 476.
Λεξικὸν Ῥωμαϊκελληνικόν. 435.
Μελέτιος. 339.
Πλάτων. 395 (τρὶς), 406.
Πλούταρχος. 410, 472.
Σχολιαστὴς Ὀππιανοῦ. 387.
Φώτιος. 374, 411.

ΤΕΛΟΣ.

# ΚΑΤΑΛΟΓΟΣ ΣΥΝΔΡΟΜΗΤΩΝ.

—

## ΑΘΗΝΩΝ.

Ἡ Κυβέρνησις τῆς Α. Μ. 38

### Ὑπουργοί.

Α. Κριεζῆς. 1

### Ἱερὰ Σύνοδος.

Ὁ Κυκλάδων Ἄνθιμος. 1
Ὁ Σελασίας Θεοδώρητος. 1
Θεοφάνης Σιατιστεὺς. Γραμ. 1

3

### Συμβούλιον τῆς Ἐπικρατείας.

Γεώργιος Αἰνιάν. 1
Νικόλαος Πότασης. 1
Ῥῆγας Παλαμήδης. 1
Π. Σοῦτσος. 1
Ἰωάννης Ζαφειρόπουλος. 1
Δημήτριος Μπουρνᾶς. 1

6

### Καθηγηταί.

Μιχαὴλ Ἀποστολίδης. 1
Κ. Κοντογόνης. 1

2

### ΓΡΑΜΜΑΤΕΙΑΙ.
### Τῶν Οἰκονομικῶν.

Γ. Καμπούρογλους. 1
Π. Βάρβογλους. 1
Ἀριστείδης Λογοθέτης. 1

3

### Τῶν Ἐσωτερικῶν.

Π. Παππαδημητρακόπουλος. 1
Χ. Χριστόπουλος. 1
Η. Καλαμογδάρτης. 1

3

### Τῶν Ναυτικῶν.

Ν. Δραγούμης, Διευθυντής. 1

### Ἐλεγκτικὸν Συνέδριον.

Ν. Σηλίβεργος, Πρόεδρος. 1
Δ. Λεβίδης. 1
Ι. Μάτζας. 1
Κ. Ζαχαριάδης. 1
Ι. Ποῖχος. 1
Ν. Χαριτίδης. 1
Α. Καλίνσκης. 1
Σ. Κυδωνάκης. 1

8

### Γενικὸν Ταμεῖον.

Στ. Δάῤῥας, Γ. Ταμίας. 1
Β. Φώτζιος. 1
Κ. Μαργαρίτης. 1

3

### Διοίκησις Ἀττικῆς.

Γ. Εὐκλείδης, Γραμ. 1

ΛΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

Γ. Δοῦκας. 1

2

## Δημαρχία.

Δ. Καλλιφρονᾶς, Δήμαρχος. 1
Σ. Ν. Βαλέττας, Γραμ. 1

2

## Πρωτοδικεῖον.

Ν. Φλογαΐτης, Πρόεδρος. 1
Σ. Α. Σταματάρας, Γραμ. 1
Ι. Α. Μωραΐτης. 1

3

## Εἰρηνοδικεῖον.

Ν. Χρυσόγελως. 1

## Ταμεῖον Ἀττικῆς.

Χ. Ῥωσόπουλος. 1
Π. Ὀθωναῖος. 1

2

## Ταμεῖον Ἐκκλησιαστικόν.

Μ. Παλλάδιος. 1

## Συμβολαιογράφοι.

Κ. Κοκκίδης. 1

## Δικηγόροι.

Π. Νικολαΐδης. 1

Π. Κένταυρος. 1
Κ. Ράμφος. 1
Κ. Δασκαλόπουλος. 1
Χ. Ζῶτος. 1
Κ. Πολυάδης. 1
Α. Τολμήδης. 1
Α. Καραβέλλας. 1
Γ. Α. Ἀγγελόπουλος. 1

9

## ΓΥΜΝΑΣΙΟΝ.

### Καθηγηταί.

Κ. Γ. Οἰκονομίδης. 1
Α. Κωστόπουλος. 1
Ν. Σ. Κράνειος. 1
Ι. Γ. Πατάκης. 1

4

### Μαθηταί.

Γ. Χρηστοφῆς. 1
Μιχαὴλ Καλουδάκης. 1
Δημήτριος Πετρίδης. 1
Προκόπιος Παπαγεωργίου 1
Διονύσιος Θεοδώρου. 1
Νεόφυτος Κωνστ. Ἱεροδ. 1
Ἀμφιλόχιος Σγαρδέλης, Ἱεροδ. 1
Ναθαναὴλ Γολφῖνος. Μ. Σπηλ. 1
Κοσμᾶς Πανάγου. Μ. Σπηλ. 1
Ἱερεμίας Καζάκος. 1
Κύριλλος Θεοδώρου. 1
Δαμιανὸς Βασιλειάδης. 1
Δοσίθεος Ἀσημακίδης. 1
Ἱπποκράτης Λυκοῦργος. 1
Νικόλαος Χοτζόπουλος. 1
Ἰωακεὶμ Ἀναστασίου. 1

16

Ἰωάννης Βλάχος. 1

Ἰωάννης Σοροκιάδης. 1
Παῦλος Καλληγᾶς. 1
Ἰωάννης Νικολαΐδης Σάμιος. 1
Σπυρίδων Σπυλιώτης. 1
Σπυρίδων Μακρῆς ἐκ Θήρας. 1
Ἐλευθέριος Μαγκάκης. 1
Δ. Στ. Μπουδούρης. 1
Ν. Βενιαμίν. 1
Μ. Βερνάρδος. 1

Τὸ ὅλον 119

## Σύρας.

Κ. Κανάρης, Ὑποναύαρχος. 1
Λ. Καμπάνης, Πρωτοσύγκελλος. 1
Λουκᾶς Θρ. Λιβάνιος Σερίφιος. 1
Φρ. Μ. Κριεζῆς. 1
Ἀπόστολος Μιλωνᾶς. 1
Π. Βασιλόπουλος. 1
Ἰωάν. Τ. Κοτζᾶς. 1
Δ. Μ. Καράλης. 1
Ι. Λ. Ῥάλλης. 1
Γεώργιος Ἀγγελικάρας, Ψαριαν. 1
Μ. Π. Κυριακοῦ, Δημοδιδάσκαλ. 1
Ἐμμ. Μαγκάκης. 1
Κωνσταντῖνος Ι. Πηλείδης. 1
Ἰω. Ν. Βαλέττας. 1
Ἡ Ἐφορεία τοῦ Ἑλλ. Γυμνασίου διὰ τὴν Βιβλιοθήκην. 1
Δημήτριος Ἰω. Γρυμάλδης. 1
Γ. Σουρίας. 1
Γεώργιος Δ. Ῥοδοκανάκης. 1
Νικόλαος Φ. Καμπάνης. 1
Κωνς. Τσακάλης, Ψαριανός. 1
Πέτρος Ι. Γρηγοράκης. 1
Ν. Χριστοδούλου. 1
Κ. Παρασκευᾶς, Λέσβιος. 1
Κωνςαντῖνος Ξενοκράτης. 1
Ἀθανάσιος Ἡλιόπουλος. 1
Κωνςαντῖνος Μαυρογένης. 1
Γεώργιος Φ. Σαλάχας. 1
Γεώργιος Κωνσταντινίδης. 1
Ἰωάννης Ἀνδρέου Κοζῆ. 1
Νικόλαος Παπαδάκης. 1

30

## ΝΑΥΠΛΙΟΥ.

Γ. Μ. Ἀντωνόπουλος, Δήμαρχ. 1
Δ. Γ. Κιγάλας, Ταμίας. 1
Α. Μ. Παπαγεωργόπουλος, Δήμ. Γενεσίου. 1
Γεώργιος Σακολέβας, Δήμ. Ἰναχίας. 1
Χ. Βλάσσης, Δήμ. Ἄργους. 1
Δ. Ἰωαννόπουλος, Δημοδιδάσκ. 1
Β. Γεωργιάδης, Γραμ. Δημαρχ. 1
Ἰωάννης Κορενετόπουλος. 1
Γ. Ι. Στεφόπουλος. 1
Ἰάκωβος Θεοφιλᾶς, Ἰατρός. 1
Εὐςάθιος Νικολαΐδης. 1
Π. Μανουσάκης. 1
Α. Γ. Δουρούτης. 1
Β. Παυλίδης. 1
Δ. Ἀμπελᾶς, Ἐπιθεωρ. Τελων. 1
Δ. Οἰκονόμου. 1
Ἐμμ. Δανδρές. 1
Ἠλίας Βάβουλας. 1
Α. Α. Πατεράκης. 1
Θεόδωρος Γ. Ὀρφανίδης. 1
Ῥήγας Καγιᾶς. 1
Χ. Παπαδόπουλος. 1
Μ. Μιχαλόπουλος. 1

23

## ΚΕΦΑΛΛΗΝΙΑΣ.

Ὁ Μητροπολίτης Κεφαλληνίας Παρθένιος. 1
Γεράσιμος Ἱερεὺς Σολομός. 1
Γεώργιος Ἱερεὺς Βυζάντιος. 1
Γεώρ. Μηνιάτης Δημητριάδης. 1
Παναγῆς Ζερβὸς Ἰακώβου. 1
Νικόλαος Ζερβὸς Δημητρίδης. 1

Κοσμᾶς Γερασίμου Λευκαδίτης. 1
Ἄγγελος Ζερβὸς Γεωργίου. 1
Σπυρίδων Ζερβὸς Καναλλάτος. 1
Δημήτριος Δαβῆς. 1
᾿Ανδρέας Κατζαήτης. 1
Γεράσιμος Φ. Ἰγγιώστρης. 1
Νικόλαος Σ. Φωκᾶς. 1
᾿Αντώνιος Μυλωνᾶς. 1
Γεράσιμος Κρασσᾶς ποτὲ Σπύρου.
Δόκτωρ Στελλιανὸς Μ. Σβορῶνος. 1
Νικόλαος Μ. Μαντζουράτος ᾿Ανδρεάδης. 1 1
Εὐαγγελινὸς Πεκατῶρος ποτὲ Γεωργίου. 1
Νικόλαος Πανᾶς ᾿Ιατρός. 1
Ἰωσὴφ Ν. Μομφεράτος. 1
Σπυρίδων Δαλαπόρτας Νικολαΐδης. 1
Γεώργιος Α. Καλλυγᾶς Μαγκίνας. 1
Νικόλαος Διονυσιάδης, Φερεντῖνος. 1
Γρηγόριος Καροῦσος. 1

24

## ἌΝΔΡΟΥ.

Π. Ζάνος. 1
Λουκᾶς Καλογερόπουλος. 1
᾿Αριστοκλῆς Α. Τύμπας. 1
Θ. Π. Μαρκόπουλος. 1
Κ. Θ. Δαρειώτης. 1
Γεώργιος Γουμάλδος. 1
Ἰωάν. Δ. Καμπάνης. 1
Κωνς. Γεωργιάδ. Βυζάντιος. 1
᾿Αρετόφιλος ᾿Αμπανόπουλος. 1
᾿Αν. Μενδῶρος. 1
Πανταλέων ᾿Ιωσὴφ Μακεδών. 1
Νικ. Δημητριάδης Βυζάντιος. 1
Ι. ᾿Ιωαννίδης Φιλιππουπολίτης. 1
᾿Αντώνιος Θεοδ. Φιλιππουπολ. 1
εΓώργιος ᾿Αθανασίου Σιτοβίτης. 1

Μουσίνιος ᾿Αλεξανδράκης. 1
Χριστοκλῆς ᾿Ιωαν. Βυζάντιος. 1
Τιμόθεος Βουτζηνᾶς. 2
Νικόλαος Θ. Λεώπουλος. 1
᾿Αληθαγόρας Χρηστίδης. 1
Παναγιώτης Π. Θερμογιάννης. 1
Θεόδωρος Ῥίζος. 1

23

## ΚΟΡΙΝΘΟΥ.

Ν. Μπλατζῆς, Ἐπιστάτ. Τελων. 1
Ν. Μ. Οἰκονομίδης. 1
᾿Ιωάννης Εὐθυμίου. 1
Π. Πολύδωρος. 1
Στ. Νικολάου. 1
Δημ. Λεωνκαρδόπουλος. 1
Κωνς. Νικολάου. 1
Μ. Θεοχαρόπουλος. 1
Γρηγόριος Κυριακόπουλος. 1
Διονύσιος ᾿Αραβαντινός. 1
᾿Ιωάν. Λεωνκαρδίδης, Οἰκον. ᾿Επίτροπος. 1
Θεόδωρος Π. Δεληγιάννης. 1
᾿Ιωάννης. Ν. Δεληγιάννης. 1
Χρῆστος Κορδογιαννόπουλος. 1
Χαράλαμπης Δημητριάδης. 1
Θεοχάρης Ῥένδης. 1
᾿Αλέξανδ. Νικολ. Τζήντζος, ἐξ Ἄργους. 1
Ζ. Μαθᾶς, ᾿Αρχιδιάκων. 1

18

## ΛΑΜΙΑΣ.

Ἱερόθεος ᾿Αθανασόπουλ. Πρωτοσύγκελλος. 1
Γ. Κλήρης, Οἰκονομ. ᾿Επίτρ. 1
Δημήτριος Αἰνιάν, Πρόεδρος τοῦ Πρωτοδικείου. 1
Κ. Τασσίκας, Ταμίας. 1

Ζ. Παναγιωτίδης, Σχολάρχης. 1
Στέφανος Καμπρέκος. 1
Νίκος Ἰωάννου Φέρης. 1
Ἀριστοτέλης Μ. Κερκηρόπουλος. 1
Ἀνδρέας Φαρδῆς καὶ Ἀντ. Ἀβερώφ. 1
Σωτ. Π. Σκουμπρούσης. 1
Κωνς. Ν. Φτερίδης. 1
Σωτ. Π. Σκουμπουρδῆς. 1
Ἀπόςολος Π. Π. Ἰωάννου Τρικαῖος. 1
Ι. Ἀδαμαντίδης. 1
Παντελῆς Ζαχαριάδης. 1
Νάκος Οἰκονομίδης, Δημοδιδ. 1
Κωνσταντῖνος Γαδαδᾶς. 1

17

## ΠΥΡΓΟΥ.

Π. Ἐμμ. Γιαννόπουλος, Ταμ. 1
Θαλῆς Θεοδωρίδης. 1
Διογένης Λεονταρίτης. 1
Χρῆστος Δαραλέξης. 1
Φώτιος Καρίδης. 1
Ἰωάν. Α. Πασκουαλίγκος. 1
Π. Παπ. Ἀθανασόπουλος, Ταμίας Τριφυλίας. 1
Γ. Χριστόπουλος, Ταμ. Ἀντιπ. Ὀλυμπίας. 1
Π. Σόλων Κριςενίτης. 1
Ἀνδρέας Α. Ἀθανασόπουλος. 1

10

## ΓΑΣΤΟΥΝΗΣ.

Κωνςαντῖνος Ι. Σισίνης. 1

## ΚΥΜΗ ΚΑΡΥΣΤΙΑΣ.

Ὁ Καρυςίας Δανιήλ. 1
Ἰάσων Θετταλομάγνης, Ἑλλην. Διδάσκαλος. 1
Γεώργιος Παπανικολάου. 1
Νικόλαος Ι. Σταμέλος. 1
Ναθαναὴλ Ἱερομόναχος. 1
Τὸ Κοινὸν τῆς Μονῆς ὁ Σωτήρ. 1
Ἰάκωβος καὶ Γεράσιμος Ἱερομ. 1
Εὐστάθιος Μ. Στεφάνου. 1
Θεόδωρος Μ. Σέῤῥος.
Ἀλέξανδρος Χρυσοβέργης. 1

10

## ΜΕΣΟΛΟΓΓΙΟΥ.

Α. Τρικούπης, Τελώνης. 1
Χ. Ματζάνος. 1
Δημήτριος Χαλανδριτζάνος. 1
Φρ. Σαλαμών. 1
Α. Βρανός. 1
Μανώλης Τζινόπουλος. 1
Δ. Μ. Μητζάκης. 1

7

## Π. ΠΑΤΡΑΙ.

Ὁ Ἀχαΐας Μελέτιος. 1
Θεόφιλος Πρωτοσύγκελλος. 1
Π. Α. Ζαΐμης. 1
Κωνστ. Θ. Τζελιάνης. 1
Α. Ι. Βλασσόπουλος. 2
Σιδέρης Πράτζικος. 1
Θεόδωρος Τζῆνος. 1
Ε. Α. Ἰγγλέσης. 1

9

ΛΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

## ΑΙΓΙΟΥ.

| | |
|---|---|
| Ἀναςάσιος Λόνδος. | 1 |
| Π. Χρυσανθακόπουλος. | 1 |
| Ἀλέξιος Ἰγγλέσης. | 1 |
| Δ. Ι. Ὀρεινός. | 1 |
| Παναγιωτάκης Κωνςαντῆ. | 1 |
| Ἀχιλλεὺς Σ. Χαραλάμπ. Γραμ. | 1 |
| | 6 |

## ΒΟΝΙΤΣΗΣ.

| | |
|---|---|
| Μάρκος Δαμιράλης, Διοικητής. | 1 |
| Δ. Σακκελαρόπουλος, Γραμ. | 1 |
| Δημήτριος Ν. Δέλης. | 1 |
| Ν. Μαγγινόπουλος. | 1 |
| Ἀναςς. Ἰωαν. Γαβριλάκης. | 1 |
| Π. Τζιμπουλάκης. | 1 |
| Ἰωάννης Τζακάλης, Δήμαρχ. Παλέρου. | 1 |
| Ἡ Δημόσιος Ἑλλ. Σχολὴ Πρεβέζης. | 1 |
| | 8 |

## ΚΑΛΑΜΩΝ.

| | |
|---|---|
| Ι. Κ. Σοῦτσος, Διοικητής. | 1 |
| Ἀθανάσιος Σκανδαλίδης, Ταμίας. | 1 |
| Γεώργιος Π. Καλιτσῆς, Δημοδιδ. | 1 |
| Ἰωάννης Ζηλήμων. | 1 |
| Γεώργιος Α. Δεπάςας. | 1 |
| Χαραλάμπης Παπαντωνόπουλος. | 1 |
| Ι. Δ. Τομαρόπουλος. | 1 |
| Ι. Τζάνες. | |
| Καλλίνικος Καςόρχης, Σχολάρχ. | 1 |
| Ἰω. Κυριακίδης, Διδάσκαλος. | 1 |
| Ἰω. Ζάρκος, Δικηγόρος. | 1 |
| | 11 |

## ΠΥΛΟΥ.

| | |
|---|---|
| Δ. Κανελλόπουλος, Οἰκ. Ἐπίτρ. | 1 |
| Ι. Νικολαΐδης, Διοικ. Ταμίας. | 1 |
| Ν. Σκαρβέλης, Ἀντισυνταγματ. | 1 |
| Δ. Ἀξιώτης, Ἀνθυπολοχαγός. | 1 |
| Ι. Π. Κορωναῖος, Λοχαγός. | 1 |
| Δ. Γιάννουκλας, Δημοδιδάσκαλ. | 1 |
| Δ. Σ. Κυπαρίσσης. | 1 |
| | 7 |

## ΑΣΤΡΟΥΣ.

| | |
|---|---|
| Δ. Ὀρφανός, Διοικητής. | 1 |
| Ἰωάν. Γ. Σαῤῥιωάννης, Δημοδιδ. | 1 |
| Ἰωάννης Μερούσης. | 1 |
| Ι. Ζαφειριάδης. | 1 |
| Ἰωάννης Γεννοβέλης. | 1 |
| Κυριάκος Λυγινός. | 1 |
| | 6 |

## ΛΕΒΑΔΕΙΑΣ.

| | |
|---|---|
| Γ. Ν. Μάχου, Οἰκονομ. Ἐπίτρπ. | 1 |
| Ν. Π. Νάκος, Διοικ. Ταμίας. | 1 |
| Λεβ. Γ. Φωτιάδης, Λαρισσαῖος, Δημοδιδ. | 1 |
| Ἀναγνώςης Παπαζησίμου, διὰ τὸν υἱόν του Ἀνδρίκον. | 1 |
| Ἰωσὴφ Δεςομήτης, Σχολάρχης. | 1 |
| Σ. Δ. Μακρυναῖος. | 1 |
| | 6 |

## ΤΡΙΠΟΛΙΤΣΑΣ.

| | |
|---|---|
| Προκόπιος Οἰκονόμου, Ἀρχιδιάκ. | 1 |

| | |
|---|---|
| Μιχαὴλ Μ. Καραμάνος. | 1 |
| Γ. Ἀδαμίδης, Ταμίας. | 1 |
| Πέτρος Ἀνιέζης. | 1 |
| | 4 |

## ΑΙΓΙΝΗΣ.

| | |
|---|---|
| Ν. Δοῦκας. | 50 |
| Ὁ Αἰγίνης Σαμουήλ. | 1 |
| Α. Κάλαβρος, Δήμαρχ. Αἰγινητ. | 1 |
| Α. Γ. Μάτζας. | 1 |
| Ἰω. Νικολάου. Δήμ. Ἀγκιστρίου. | 1 |
| Παῦλος Πέπας. | 1 |
| | 6 |

## ΜΕΓΑΡΩΝ.

| | |
|---|---|
| Ἀθ. Μαρκέλλος, Δήμαρχ. Μεγαρ. | 1 |
| Ἀν. Μπιρπίλης, Δήμαρχ. Σαλαμ. | 1 |
| Ἀθ. Τέτες, Δήμαρχ. Ἐλευσῖνος. | 1 |
| Μιχαὴλ Α. Ἰωαννίδης, ἐξ Ὀλυμπ. | 1 |
| | 4 |

## ΜΗΚΩΝΟΥ.

| | |
|---|---|
| Κωνσταντῖνος Κονταρίνης. | 1 |
| Μιχαὴλ Σολομῶν. | 1 |
| Π. Ἰαννακόπουλος. | 1 |
| Ἀθανάσιος Βάμβαρης. | 1 |
| | 4 |

## ΠΑΝΟΡΜΟΥ ΤΗΝΟΥ.

| | |
|---|---|
| Ἰωάννης Μ. Γλίνης, Δημοδιδ. | 1 |

| | |
|---|---|
| Εὐστράτιος Μ. Παρίσης, Ἀντων. Ἀρμέος καὶ Πέτρ. Καραμανλῆς. | 1 |
| Σ. Π. Μανέας. | 1 |
| | 3 |

## ΘΗΒΩΝ.

| | |
|---|---|
| Δημ. Ἀθανασίου, Οἰκον. Ἐπίτρ. | 1 |
| Σταμέλος Ν. Βρυζάκης. | 1 |
| Α. Γοζαδῖνος, Δημοδιδάσκαλος. | 1 |
| | 3 |

## ΝΕΑΣ ΜΕΝΙΤΣΕΛΑΣ.

| | |
|---|---|
| Κωνσ. Χριστοδούλου Δημοδιδ. | 1 |
| Γεώργιος Γριζιάνος. | 1 |
| | 2 |

## ΞΗΡΟΧΩΡΙΟΥ.

| | |
|---|---|
| Στέφ. Ἀβέλιος, Δημοδ. Ἱστιέων. | 1 |
| Γιαννιὸς Ἀντωνίου. | 1 |
| | 2 |

## ΓΥΘΕΙΟΥ.

| | |
|---|---|
| Α. Τσάνογλους, Τελώνης. | 1 |
| Κ. Μεγαλόφωνος, Ἐλεγκτής. | 1 |
| | 2 |

## ΓΟΡΤΥΝΟΣ.

| | |
|---|---|
| Χ. Οἰκονομίδης, Οἰκον. Ἐπίτρ. | 1 |

ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ ΛΕΣΧΗ ΑΓΑΛΟΜΑΡΙΟΥ ΕΤΟΣ ΙΔΡΥΣΕΩΣ 1928

Ἀθ. Ἀντωνόπουλος, Ταμίας. 1

2

## ΠΕΤΣΩΝ.

Ν. Γαζέτης, Διοικητής. 1
Ἀνάργ. Λ. Χ. Ἀναγύρου, Δήμ. 1
Π. Σμυρνάκης. 1

2

## ΧΑΛΚΙΔΟΣ.

Σ. Καλλογερόπουλος. 1
Π. Καλεβρᾶς, Εἰρηνοδίκης. 1
Ν. Κρίτζος, Ταμίας. 1
Μ. Βατάλης. 1

4

## ΝΑΞΟΥ.

Χριστόδουλος Χρύσης, Ἑλληνοδιδ. 1
Δωρόθεος Τζώτης, Πρώην Ἡγούμ. Φανερωμένης. 1

2

## ΣΠΑΡΤΗΣ.

Ι. Παπαβασιλειάδης, Δημοδιδ. 1
Ι. Ροσσόπουλος. 1
Β. Βαλέττας, Οἰκονομ. Ἐπίτρ. 1
Α. Κορφιατάκης. 1
Ἀννινος Μικελάκης. 1
Ι. Κοντίδης 1

## Κυλλήνης.

Δ. Αὐγερινός, Τελώνης. 1

Χαράλαμπος Νικολάου. 1

2

## ΚΥΠΑΡΙΣΣΙΑΣ.

Α. Διμπερακόπουλος. 1
Π. Πετροκόπουλος. 1

## Εὐρυτανίας.

Α. Οἰκονομίδης, Διοικητής. 1
Δ. Ζάμπος, Γραφεύς. 1

2

## ΣΚΙΑΘΟΥ.

Σπυρίδων Κυριακίδης. Δημοδιδ. 1

## ΑΓΡΙΝΙΟΥ.

Π. Ἀθανασιάδης, Δημοδιδ. 1

## ΚΕΑΣ.

Σ. Μ. Σαλουμηδης. Δημοδ. 1

## ΠΕΤΑΛΙΔΙΟΥ.

Χ. Ἰωαννίδης, Δημοδ. 1

## ΓΑΛΑΞΙΔΙΟΥ.

Ἀθανάσιος Παπακῶστας, Δημοδ. 1

## ΕΠΙΔΑΥΡΟΥ ΛΙΜΗΡΑΣ.

Θεοδόσιος Ἱερομ. Ἀνδρεάδης Ἑλληνοδιδάσκαλος. 1

ΒΕΝΙΑΜΙΝ ΛΕΣΒΟΥ ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

ΛΟΙΔΩΡΙΚΙΟΥ.

Κωνς. Πάνος, Ἠπειρώτης, Μολοσσός. 1

ΚΑΡΥΣΤΟΥ.

Ἰωάννης Θ. Καζάνος. 1

ΑΝΔΙΤΣΑΙΝΗΣ.

Γ. Π. Ζαρειφόπουλος. 1

ΛΕΝΙΔΙΟΥ.

Ἰωάννης Μάρκου, Ἑλληνοδιδ. 1

ΥΔΡΑΣ.

Ἰωάννης Χωματιανός. 1

ΝΗΣΙΟΥ.

Ὁ Μεσσήνης Ἰωσήφ. 1

ΥΠΑΤΗΣ.

Δημ. Οἰταιοκαρύδης, Ἑλληνοδ. 1

ΑΜΦΙΣΣΗΣ.

Ν. Παπαδόπουλος, Ἑλληνοδ. 1
Κώς. Ἰωαννίδης Ἀναγνώςου. 1
Κωνς. Ἰω. Γρηγορόπουλος. 1
Ἀθ. Ξηροθανασόπουλος. 1
Ἀναγν. Γεωργιάδης. 1
Νικόλαος Βασιλείου. 1
Εὐθύμιος Σταματόπουλος. 1

Ζαφυρούλα Παππᾶ Κοκκίνου. 1
Δημήτριος Κατζαμποῦρος. 1
Ἰωάννης Καϊμάκης. 1
Χαράλαμπος Καμαρογεῶργος. 1
Εὐςάθ. Ἀγγελόπουλ. ἐκ Κρίσσης. 1
Λουκᾶς Ἀναγνώςου, Δημοδ. 1

13

ΣΚΟΠΕΛΟΥ.

Ι. Π. Γάμμος, Ἑλληνοδ. 1
Γεώργιος Ἀντωνιάδης. 1
Ἰωάννης Κ. Δρακιώτου. 1
Βασίλειος Δ. Χατζάκου. 1
Ἀπόςολ. Γαροφάλου, Ζαγοραῖος. 1
Νικόλαος Ἐμμ. Κατζικογιάννης. 1
Γυαλῆς Καμπαίλας. 1
Νικόλαος Α. Βαρελιτζῆς. 1

8

ΣΙΦΝΟΥ.

Ν. Σπεράντζας, Σχολάρχης. 1
Γ. Ψαράντης. 1
Ἀβράμιος Μαγκανάρης. 1

3

ΤΡΙΕΣΤΙΟΥ.

Ὁ Καισαρείας Παλαιςίνης Ἀγαθάγγελος. 5
Ἡ ἐν Τριεςίῳ Ἑλλ. Σχολή. 1
Δημήτριος Ν. Ἀποςολόπουλος. 1
Γεώργιος Ε. Ἰωαννίδης. 1
Α. Μ. Ἀντωνόπουλος. 1

9

## ΛΙΒΟΡΝΟΥ.

Παναγιώτης Πάλης, Πρόξενος. 1
Ἀγγελικὴ Βαρθελεμῆ. 1
Παντελέων Γιάμαῤῥης. 1

3

## ΖΑΚΥΝΘΟΥ.

Κ. Κανελλέτιος. 1
Ἀλοΐσιος Κούρτζουλας, Δικηγόρος. 1
Δημήτριος Πελεκανῆς, Ἰατρός. 1
Ἀνδρέας Κουτούρης, Διδάσκ. 1
Βασίλειος Παπαθεοδώρου, Ἔμπορος. 1

## ΕΤΙ ΕΞ ΑΜΦΙΣΣΗΣ.

Ν. Μπεϊντάνης. 1
Ἰωάννης Ἠλιόπουλος. 1
Νεκτάριος Ἱερομόναχος, ἐκ τῆς Μονῆς τοῦ Προφήτου Ἠλιοῦ. 1

## ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

Ἰωάννης Λαζαρίδης. 18
Ἄλλοι διάφοροι Κύριοι. 12

## ΠΡΕΒΕΖΗΣ.

Σπυρίδων Ῥενιέρης, Γραμματ. τοῦ Ἑλλην. Προξενείου. 1

## ΜΑΣΣΑΛΙΑΣ.

Γ. Τζιτζίνιας, Πρόξενος εἰς Μασσαλίαν. 1

## ΜΙΤΥΛΗΝΗΣ.

Παῦλος Ἀναςασιάδης. 1
Βασίλειος Ζωτάδης, ἐκ Μεσμβρ. 1
Ἀν. Δουλούδογλους, ἐξ Ἀγχιάλ. 1
Παλαιολόγος Ἰωαννίκιος, Λέσβιος. 1
Πορφύριος Ἱερομόναχος. 1
Παῦλος Γεωργίου, ἐξ Ἄγρας. 1

6

ΛΕΣΧΗ ΜΑΓΑΡΙΤΟΥ "ΒΕΝΤΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

ΛΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878